Πρὶν ἐκστρατεῦσαι τὸν τῆς κραταιᾶς βασιλείας ἐπιτηρητὴν Σουλεϊμᾶνον, ἀπὸ μὲν Γαλλίας πρέσβυς ἐλθὼν ὁ Γιραρδίνου ἐκυρώσατο τὴν μεταξὺ φιλίαν καὶ ἀπῆλθε διατρίψων ἐν Κωνσταντινουπόλει· ὀλίγου δεῖν διάστασίς τις ἀνεφύη, ἐνισταμένου τοῦ πρέσβεως, ἀνισταμένου αὐτοῦ καὶ ἐνδυομένου ὡς ἔθος ἐν ταῖς πρώταις συνελεύσεσι τὴν βασιλικὴν στολήν, ἐγερθῆναι καὶ τὸν τῆς βασιλείας ἐπιτηρητήν· μηδὲν δὲ νεώτερον κατορθώσας ἡσύχασεν ὁ πρέσβυς τοῖς ἔκπαλαι εἰθισμένοις.

Ἔτι δὲ καὶ ὁ ἀπὸ Μοσχοβίας, ὁ Νικήτας Ἀλεξοβίτζιος, καὶ ἀπὸ τοῦ Ἰωάννου Σαμουηλουβιτζίου, τοῦ χατμάνου τῆς Καζακίας, ὁ Ἰωάννης, ἐλθόντες ἐζήτησαν τοὺς ὑποκειμένους αὐτοῖς ἐλευθέρως ἐκπορεύεσθαι εἰς τὰς ἅλυκάς, τὰς πρὸς τῷ Μέλανι πελάγει, μηδὲν τέλος ἀποτίοντας·

www.dacoromanica.ro

καὶ ἐπιτυχόντες τῶν αἰτουμένων καὶ δῶρα κομισάμενοι, ὁ μὲν Νικήτας πεντακοσίους λεοντίους, ὁ δὲ Ἰωάννης τριακοσίους, περιχαρῶς ἀπῆλθον, οὕτω κυρωθείσης τῆς μεταξὺ φιλίας καὶ ἀγάπης.

Τῇ α' Ἰουνίου ἤλθομεν εἰς Μουσταφά-πασα-κιοπρουσί. Ηὕραμεν παμπληθὲς νέον κριθάρι καὶ ἤρξατο πωλεῖσθαι τριαρίων ἓξ τὸ τέταρτον τοῦ κοιλοῦ.

Τῇ β' Ἰουνίου ἤλθομεν εἰς Χαρμανλὶ βιαστικῶς ὥρας ἕξ, κἀκεῖ τῆς εὐθηνίας αὐξανομένης ἔχαιρον ἐν τῷ στρατῷ· εἴχομεν δὲ ὁδὸν εὔδατον καὶ ξηράν.

Τῇ γ' τοῦ Ἰουνίου ἤλθομεν εἰς Γγιοδεντλί, ἀποκείμενον ἓξ ὥρας, κἀκεῖ πωλουμένου κριθοῦ τεττάρων παράδων· ἦλθε καὶ ἀπὸ τοῦ κατ' Οὐγγρίαν στρατηγοῦ γράμμα μηνύον τὴν τοῦ Σαρδαρίνου κατάληψιν· οἱ δὲ Γερμανοὶ τοῦτο κατακαύσαντες εἰς Σολνοκῖνον ἀπῆλθον.

Τῇ δ' ἤλθομεν εἰς τὸ Καγιαλί, ὅπου αἱ τῶν ἐγχωρίων γυναῖκες ἐλευθέρως ἑστῶσαι πρὸ τῶν θυρῶν ἐπώλουν τὰ εὑρισκόμενα ἐν ταῖς οἰκίαις αὐτῶν ἐδώδιμα· πρᾶγμα πάντως παράξενον ἐν ταῖς ἐκστρατείαις τῶν Τουρκῶν.

Τῇ ε' ἤλθομεν εἰς Παπαζλί, πέντε ὥρας διεστηκός, ὅθεν ἐστάλησαν τὰ γράμματα, τὸ μὲν εἰς τὸν κόμητα Βοθιανόν, τὸ δὲ εἰς τὸν μαρκίονα Βαδενίου, τὸν ἐπιτηρητὴν τοῦ καίσαρος.

Τῇ ϛ' ἤλθομεν εἰς Φιλιππούπολιν, ὅπου καὶ στάσις μιᾶς ἡμέρας διελαλήθη.

Τῇ η' ἤλθομεν εἰς τὸ Τατάρ-Παζαρτζίκι, διεστηκὸς ὥρας ἓξ ἀπὸ Φιλιππουπόλεως.

Τῇ θ' ἐκονεύσαμεν ὑποκάτω τῶν Δεσποτικῶν ὀρέων, μακρὰν τοῦ Σαρχάν-μπεγλὶ δύο ὥρας. Ἤρχοντο πανταχόθεν ἀγγελίαι συνάζεσθαι τοὺς Γερμανοὺς ἐν τῷ Παρκάνῳ, ἀντίκρυ Στρυγονίου, ἀγνοουμένης τῆς βουλῆς αὐτῶν.

Τῇ ι' διαπεράσαντες τὸ Δεσποτικὸν ὄρος ἐκονεύσαμεν εἰς Ἰχτιμάνι.

Τῇ ια' ἤλθομεν εἰς τὸ χάνι τοῦ Ἀχμέτ-πασα. Ἐκονεύσαμεν εἰς τόπον εὐρύχωρον, εἴχαμεν τὰ ἀναγκαῖα.

Τῇ ιβ' ἤλθομεν εἰς Σοφίαν. Ἐκονεύσαμεν εὐρυχώρως. Ἦλθον πανταχόθεν ἀγγελίαι, αἱ μὲν ἀπὸ τῆς Οὐγγρίας μηνύουσαι ἄρξασθαι τοὺς Γερμανοὺς τῇ ϛ' Ἰουνίου πολιορκεῖν τὴν Ποῦδαν ἑκατέρωθεν, ἀπὸ μὲν Πέστου ὁ Βαρβαρικὸς δούξ, ἀπὸ δὲ τοῦ ἀντίπεραν μέρους ὁ Λιταρίγγος.

Ἦσαν δὲ ἐν τῇ Πούδῃ περὶ τὰς ἕνδεκα χιλιάδας στρατιωτῶν, ἄρχοντος αὐτῆς τοῦ πρώην ἀγᾶ τῶν γιανιτζάρων Ἀπτή-πασα. Ἔτι δὲ ἀπὸ τὸν Μορέα, μηνύουσαι τοὺς Ἑνετοὺς ἄρξασθαι πολιορκεῖν τὴν τοῦ Ἀναβαρίνου πόλιν ἔχουσαν εὐρὺν λιμένα. Ἐκάθισε δὲ τὸ ὀρδὶ τρεῖς ἡμέρας ἐν τῇ Σοφίᾳ, διὰ δὲ τὰς ῥηθείσας ἀγγελίας ἠγέρθη.

Τῇ ιϛ' ἤλθομεν εἰς Χαλκαλὶ-μπουνάρι.

Τῇ ιζ' ἤλθομεν εἰς μενζίλι λεγόμενον Σαρὶ-γιοῦρτι. Εἴχομεν ἐν ἀμφοτέροις τὰ ἀναγκαῖα. Ἦλθεν ἀπὸ τῆς Πόλεως ὁ Μουσλή-αγας διαγγέλλων ὀργισθέντα τὸν βασιλέα κατὰ τοῦ σεϊζαδὲ-χοτζασὶ Φεϊζουλλὰχ-ἐφέντη (ὅτι εὑρέθησαν δύο ἵπποι αὐτοῦ ἐν τῷ βασιλικῷ τζαΐρι, τῷ πλησίον τοῦ παλατίου τοῦ Ἰμπραΐμ-πασα) ἐξῶσαι αὐτὸν καὶ προβιβάσαι ἀντ' αὐτοῦ τὸν ἰμάμ-ἐφέντην, τὸν αὐτοῦ πρῶτον, Ἰμπραΐμ-ἐφέντην.

Τῇ ιη' ἤλθομεν εἰς Σιάρκιογι. Ἐκονεύσαμεν εἰς τόπον πολύχορτον. Ἦν ὁ ἐπίτροπος λίαν λυπούμενος καὶ θορυβούμενος περὶ τὴν πολιόρκησιν τῆς Πούδας καὶ ἐν τοῖς στρατεύμασι δέος πολὺ καὶ θόρυβος.

Τῇ ιθ' ἤλθομεν εἰς τὸ κάστρον τοῦ Μουσά-πασα, διεστηκὸς ὥρας ἕξ. Ἐκονεύσαμεν πλησίον τοῦ ποταμοῦ, ἦτον δὲ ὁ τόπος πολλὰ στενόχωρος.

Τῇ κ' ἤλθομεν εἰς Νύσσαν, διεστηκυῖαν ὥρας ὀκτώ· ἦν δὲ ἡ πόλις αὕτη πολλῷ μᾶλλον τοῦ πρότερον ἐρημωθεῖσα. Ἦλθον δὲ ἀπὸ τὴν Μπόσναν τινὲς ἀγγέλλοντες τὴν ἐκεῖσε καταδρομήν.

Τῇ κα' ἤλθομεν εἰς Ἀλεξίντζαν. Ἐκονεύσαμεν εἰς τόπον στενόχωρον καὶ λογγώδη. Ἔπεσαν τὰ τζαδίρια συγκεχυμένα.

Τῇ κβ' ἐπεράσαμεν τὸ τζιφτιλίκι τοῦ Κιναλόγλου καὶ ἐκονεύσαμεν ἔξω τῆς στράτας, μέλλοντες τῇ ἐπιούσῃ νὰ φθάσωμεν εἰς Γιαγοδίνα. Ἀπὸ δὲ τοῦ γιανιτζάραγα ἐλθόντος μηνύματος ἀποκεκμηκέναι τοὺς γιανιτζάρους καὶ μὴ δύνασθαι χρῆσθαι μακρᾷ ὁδοιπορίᾳ, τῇ κγ' ἐκονεύσαμεν ἐν Περακίνῳ, πολιχνίῳ ὄντι. Εἴχομεν δὲ ἁπλοχωρίαν καὶ πάντα τὰ πρὸς τροφὴν

www.dacoromanica.ro

ἀναγκαῖα. Ἀπὸ Μορέως ἦλθε μήνυμα τῆς ἁλώσεως τοῦ Ἀναβαρίου, φυγαδευθέντος πρότερον τοῦ στρατηγοῦ Ἰσμαήλ-πασα.

Τῇ κδ' ἤλθομεν εἰς Γιαγουδίναν, διεστηκυῖαν ὥρας τέσσαρας. Ἐκονεύσαμεν ἐν εὐρυχώρῳ τόπῳ (εἴχομεν τὰ ἀναγκαῖα), ὅπου καὶ ἀνάπαυσις ἐγένετο μιᾶς ἡμέρας.

Τῇ κϛ' ἤλθομεν εἰς Πατίτζιναν, διεστηκυῖαν ὥρας ἕξ. Αἱ σκηναὶ ἐτάθησαν εὐρυχώρως. Ἦλθον ἀγγελίαι πολιορκῆσαι δεινῶς τὴν Πούδαν εἰκοσιτέσσαρσιν ἑλεπόλεσι πυραυλικαῖς, ταῖς λεγομέναις βομβάρδαις, ἀπὸ τεσσάρων μερῶν βαλλομένην, ὁρμῆσαι δὲ τοὺς Γερμανοὺς κατ' ἀρχὰς τῆς πολιορκήσεως ἐπι τὴν ὑδροφόρον ὁδόν, τάφροις διακόψαντες ταύτην, ἀπὸ δὲ τῶν Τουρκῶν συχνῶν ἐξελθόντων, πολλῶν καταβληθέντων, παραιτήσασθαι τὴν ἐπιχείρησιν.

Τῇ κζ' ἤλθομεν εἰς παλάγγαν τοῦ Χασάν-πασα, ἀποκειμένην ὥρας ἑπτά.

Τῇ κη' ἤλθομεν εἰς χωρίον Κολάρ, διεστηκὸς ὥρας τέσσαρας.

Τῇ κθ' ἤλθομεν εἰς Βέλγραδον, διεστηκὸς ὥρας πέντε. Ταύτας δὲ τὰς ἡμέρας ἐγένοντο ὑετοὶ ῥαγδαῖοι, ὥστε διὰ τὸν πολὺν πηλὸν διαφθαρῆναι πολλὰ κτήνη. Πορευομένοις δὲ εἰς Βέλγραδον ὑπαντίασε σφοδρὸς ἄνεμος μετὰ πολλοῦ καὶ συνεχοῦς ὑετοῦ καὶ μεμιγμένης χιόνος, ὥστε καταβαπτισθῆναι πάντας καὶ ἐννεοὺς γενέσθαι τῷ ἀσυνήθει τῆς ἀκαταστασίας τοῦ ἀέρος. Τέτταρας δὲ ἡμέρας ἡσυχίαν εἶχον τὰ στρατεύματα, προσποριζόμενα ταῖς ἀναγκαίαις τροφαῖς καὶ καταλείποντα ὅσα περιττὰ ἄχθη. Ἐλθόντι δὲ τῷ πρώτῳ βεζιρίῳ εἰς Μπέλγραδον, ἐμήνυσεν ὁ στρατηγὸς Ἀχμέτ-πασας, ὅτι πέντε χιλιάδες ἱππέων ὥρμησαν ἐπὶ τὸ Πέστον βοηθῆσαι τοῖς πολιορκουμένοις ἐν τῷ Πούδει, καὶ διὰ πολλῶν στρατιωτῶν, ἁρπασθέντων ἀπὸ τοῦ Γερμανικοῦ στρατοπέδου, δῆλον ἐγένετο δεινῶς πιέζεσθαι παρὰ τῶν Γερμανῶν τοὺς Πουδηνούς, ἑλεπόλεσι καὶ πυροφόροις σφαίραις μακρόθεν συχνὰ βαλλομένους, ὥστε λυπεῖσθαι τὸν βεζίριον.

Ἐνταῦθα ὁ Τεοκολίος προσεκύνησε τῷ ἐπιτρόπῳ κατ' ἰδίαν, τέτταρσιν ὑπηρέταις ἐλθὼν εἰς τὴν μεγάλην σκηνήν, παρομαρτοῦντος τοῦ ἑρμηνέως Ἀλεξάνδρου. Ἐξ ἀγγελίας κατ' αὐτὸν ἀπῆλθε δίχα βασιλικῆς ἐσθῆτος, λαβὼν προσταγὴν ἄχρι τῆς τοῦ ἐπιτρόπου ἐπανελεύσεως διατρίψειν ἐν τῷ Μπελγράδῳ· τῶν δὲ περὶ αὐτὸν Μουσουλμάνων καὶ χριστιανῶν στρατιωτῶν μετενεχθέντων εἰς τὴν στρατιὰν τοῦ ἐπιτρόπου, ἔμεινε μετά τινων Οὔγγρων οἰκείων αὐτῷ, τῶν ἀναγκαίων μόνον εἰς τροφὴν χορηγουμένων παρὰ τοῦ ἐν Μπελγράδῳ ἀρχικηπουροῦ.

Τῇ δὲ ε' Ἰουλίου, διαπεράσαντες τὸν Σάβαν ποταμόν, ἐπεπήγεσαν αἱ σκηναὶ ἐν τῷ πεδίῳ πλησίον χωρίου Ζεμούνου λεγομένου, ὅπερ πολυανθρωπότατον ἦν τὸ πρότερον, καταφυγόντων εἰς αὐτὸ τῶν ἐγχωρίων, ὅσοι κατέλιπον τὰς οἰκείας ἑστίας διὰ τὸν φόβον τῶν Γερμανῶν. Ἦλθον δὲ ἀγγελίαι ἀπὸ μὲν Λογάσου καὶ Σεπέσου, τῶν παρακειμένων τοῖς ὁρίοις τῆς τῶν Ἐρδελιτῶν γῆς, μηνύουσαι τὴν τῶν Γερμανῶν ἐπὶ τὰ ἐνδότερα μέρη τῆς Ἐρδελίας ὁρμήν, αὐξανόντων τῷ πλήθει, καὶ ὑποτοπάζουσαι τὸ ἀμφιῤῥεπὲς καὶ κίβδηλον τῆς γνώμης τοῦ ἐκεῖσε κρατοῦντος Ἀραπίου· ἀπὸ δὲ τοῦ Ἰστολνίκου Βελγράδου βεβαιοῦσαι τὴν τῆς Πούδης δεινὴν καὶ μοχθηρὰν πολιορκίαν, εἰ καὶ οἱ ἔνδον ἰσχυρῶς ἀντεπολέμουν, ἐσθ' ὅτε ἐξερχόμενοι καὶ ἐπιβάλλοντες τοῖς τάφροις τῶν Γερμανῶν· ὅμως προχωρῆσαι αὐτούς, ὥστε καὶ ὑπόγειον ὄχημα τοῖς τείχεσι προσβαλλόμενον καταμηχανηθῆναι, δὶς μὲν τοῦ ἐξαφθέντος πυρίου θείου ἐξορμήσαντος κατ' αὐτῶν τῶν ὑποτιθέντων, ἅπαξ δὲ αὐτὸ τὸ ὄχημα ἐν τῷ ὑπογείῳ παρὰ τῶν πολιτῶν καταλειφθὲν καὶ ἀφαιρεθέν.

Τῇ δὲ ϛ' παρὰ τῷ Ζεμούνῳ τῶν στρατευμάτων ἡσυχίαν ἀγόντων.

Τῇ δὲ ζ' πορευθέντα ὀκτὼ ὡρῶν ὁδὸν ἐκαθίσαντο παρὰ τοῖς φρέασι πλησίον χωρίου Πάρκας ἐν τοῖς Σιρμίοις πεδίοις, ὅπου χειμῶνος μὲν διὰ τὸ ἄμετρον ψῦχος, θέρους δὲ διὰ τὸν ἀκρατῆ καύσωνα αἱ τῶν ἐγχωρίων ἑστίαι ὑπὸ γῆς ᾠκοδόμηνται, πενίαν πολλὴν καὶ ἀκτημοσύνην τῶν οἰκείων ὑποδεικνύουσαι.

Τῇ η' ἤλθαμεν εἰς Μητροβίτζαν, ὥρας ἑπτὰ ἀποκειμένην, παρὰ τῷ Σάβῳ ποταμῷ· ἦν δὲ τὸ πρότερον ἠλαττωμένη, ἀμοιροῦσα τῶν πρὸς τροφὴν ἀναγκαίων. Προσέμειναν τὰ στρατεύματα ἡμέρας δύο, ὅτι, ἀπόντων ἔτι μακρὰν τῶν Σκυθῶν, οὐκ ἦν ἀνάγκη ταχείας χρῆσθαι ὁδοιπορίας. Ἦλθον ἀγγελίαι μηνύουσαι, τῶν Γερμανῶν ἐν τῷ Πέστῳ συχνὰ καθεζομένων καὶ παροδευόντων, μηδόλως τολμῆσαι τὸν στρατηγὸν Ἀχμέτην ἐπικουρῆσαι τοῖς πολιορκουμένοις,

www.dacoromanica.ro

πορευθέντα δὲ μετὰ τὸν περὶ αὐτὸν τιμαριωτῶν. Ἐντεῦθεν ἐπέμφθη εἰς τὴν Βασιλεύουσαν ὁ Χασεκή-αγας.

Τῇ κ' διεπεραιώσατο τὴν γέφυραν ὁ Ἀχμέτ-πασας, ἐπιδείξας τοὺς ὑπ' αὐτὸν στρατιώτας. Ἦλθον δὲ ἀπὸ Βουδίνης ἄνδρες τρεῖς φέροντες γράμματα τοῦ Ἀπτή-πασα, μηνύοντα προσπελάσαι τοὺς Γερμανοὺς τοῖς τείχεσι, καταβάντες εἰς τὸν τάφρον (πυροφόρον δέ τινα σφαῖραν ἐπιπεσοῦσαν τῇ πυρίῳ σκόνει, κατέκαυσαν αὐτήν, παμπληθῆ οὖσαν), καὶ προσκαλοῦντα τὸν ἐπίτροπον εἰς ἐπικουρίαν τὴν ταχίστην.

Τῇ κα' διέβησαν πολλὰ στρατεύματα διὰ γεφύρας καὶ ἀκολούθως ὁ ἐπίτροπος. Ἔδειξεν ἀλάϊ ὁ τῆς Ἀνατολῆς χασνατὰρ Χασάν-πασας. Τὸ κριθάρι ἐπωλεῖτο ἑκατὸν σαράντα καὶ ἑκατὸν πενῆντα παράδες τὸ κοιλόν· ταΐνι μηδαμῶς, βοὴ καὶ κλαυθμὸς πολὺς τῶν ἐκστρατευομένων, μὴ ἐχόντων ὅπως θρέψωσι τὰ κτήνη αὐτῶν.

Τῇ κγ' ἔγινεν ὀτουράκι. Ἦλθε τοῦ χάνη ὁ υἱὸς καὶ ἀντάμωσε τὸν ἐπίτροπον καὶ ἔγινε τὸ τόϊ τῶν Ταττάρων μὲ ψημένα βώδια καὶ πρόβατα. Ἐκάθισαν δὲ τὰ στρατεύματα παρὰ τὴν Δάρταν ἡμέρας τρεῖς.

Τῇ κς' ἤλθομεν εἰς Πουρνοβάρι, περάσαντες τὴν γέφυραν εὐρυχώρως. Ὁ ἐπίτροπος ἦλθε πρὸς τῇ ἑσπέρᾳ, ὅτι ἔδωκε τὰ ῥουσούσια τῶν σιπαΐων, τῶν σερδεγγετζήδων, ὁποῦ ἦτον εἰς τὸ Ὄσεκι. Ἐνταῦθα ἦλθον γράμματα τοῦ ἐν τῇ Βουδίνῃ Ἀπτή-πασα, ἀγγέλλοντα τὸν τῆς πόλεως κίνδυνον καὶ ζητοῦντα ταχυτάτην ἐπικουρίαν· οἱ γὰρ Γερμανοὶ κυκλώσαντες κάτωθεν τὸν κατακεχωσμένον πύργον καὶ πύριον σκόνιν ἐγκλείσαντες ἀνέτρεψαν αὐτόν, καὶ ἀναβάντες ἐπέθηκαν πυραυλικὰς ἑλεπόλεις, ὥστε τοὺς πολιορκουμένους πάσχειν τὰ ἔσχατα· ἀνθ' ὅτου ὁ ἐπίτροπος προσέταξε τῷ τῶν Σκυθῶν Καγιλγαΐῳ καὶ τῷ προμάχῳ στρατάρχῃ ὁμοθυμαδὸν ἵεσθαι ἐπὶ τοὺς Γερμανούς.

Τῇ κζ' αὐτὸς ὁ ἐπίτροπος, λίαν ἀχθόμενος ἐπὶ τῷ κινδύνῳ τῆς Πουδίνης, σπουδαίως ταχυπορῶν καὶ διαβὰς τὸ Μιχάτζιον καὶ τὰ ἐκεῖ πεδία, ὅπου περιβόλαιον ᾠκοδόμηται παρὰ τοῦ ποτὲ βασιλέως Σουλεϊμὰν εἰς μνήμην τῆς κατὰ τοῦ Λουδοβίκου νίκης, ἦλθε πλησίον Πατοσεκίου.

Τῇ κη' ἤλθομεν εἰς Σεξαρινόν, κείμενον παρὰ τῷ Σαρβιτζίῳ ποταμῷ, πλησίον τοῦ Δουνάβεως, πορευθεὶς ὥρας ιε' ἐν δυσὶν ἡμέραις.

Τῇ κθ' ἤλθομεν εἰς χωρίον Μποῦσκε λεγόμενον, παρελθόντες τὴν Μπάξαν, ὀχύρωμα οὖσαν καὶ κατακαυθεῖσαν παρὰ τῶν Γερμανῶν. Ἦλθον δὲ ἀγγελίαι μηνύουσαι τοὺς Γερμανοὺς ἰσχυρῶς ἐπιβάλλειν τῇ Βουδίνῃ καὶ καταλαβεῖν τόν τε κατακεχωσμένον καὶ τὸν Φραγγικὸν πύργον, καὶ τῇ κδ' Ἰουλίου μετὰ πολλῆς βίας καὶ δυνάμεως ἐπιδραμόντες ἔσω τῆς πόλεως ἄχρι τῶν πάλων ἐξωσθῆναι παρὰ τῶν πολιτῶν, πολλῶν πεσόντων.

Τῇ λ' ἤλθομεν εἰς Παντελί, ἄπω κείμενον τοῦ Φουτβαρινοῦ ὀχυρώματος (κατερημωθέντος παρὰ τῶν Γερμανῶν) ὥρας δύο. Εἴχομεν εὐρυχωρίαν, σπάνιν δὲ τῶν ἀναγκαίων· σαρανταὲξ τριαρίων τὸ δεύτερον τοῦ κοιλοῦ ἐπιπράμεθα τὸ κριθάρι.

Ἐνταῦθα οἱ Τοῦρκοι ἐπεύχοντο τοῖς Σκύθαις τοῖς περὶ τὸν σουλτάνον Καγιλγάϊον καὶ τοῖς περὶ τὸν στρατηγὸν Ἀχμέτ-πασαν βασιλικοῖς στρατοῖς νίκην κατὰ τῶν Γερμανῶν· ἔμελλον γὰρ οὗτοι ἐπιβαλεῖν ἐν τῷ τάφρῳ τοῖς Γερμανοῖς. Ὁ δὲ τῆς Ἐρδελίας πρέσβυς ἤγαγεν ἐμοὶ ἀστρολογικὰ ἐγχειρίδια ἐν σχήματι καλενταρίου· ἐν ᾧ μὲν τὴν τῶν Γερμανῶν νίκην ἐμεμηνύκει (αὐτὸν μέλλειν κρατῆσαι τῶν ἀντιπάλων αὐτοῦ διελάμβανεν), ἐν ᾧ δὲ τὴν κατὰ τὸ ἐνεστὸς ἔτος τῇ αὐτῇ ἑβδομάδι νίκην τῶν Τουρκῶν κατὰ τῶν Γερμανῶν προὐμήνυε (κύνα γὰρ αἴσχιστον τηρεῖν τὰς θύρας τῶν Γερμανῶν) καὶ μέλλειν ἐπισκέψασθαι Βιένναν καὶ τὸ Ἰλλυρικόν, ἤτοι Κροατικόν. Ἐθαύμασα δέ, ὅτι ἤδη πρὸ τῶν θυρῶν ἦν τὰ τῶν Τουρκῶν στρατεύματα· εἰ δὲ καὶ κρατήσουσι, Θεὸς οἶδεν.

Ἐνταῦθα διακόσιοι στρατιῶται Οὖγγροι γλῶσσαν ζητοῦντες ἄφνω ἐπὶ τὸ βασιλικὸν στρατόπεδον ἦλθον· ἑωρακότες δὲ ἀπό τινος λόφου τὰς σκηνὰς καὶ καταλαβόντες τῶν Τουρκῶν ἡρώων ὁποῖαί τινες σκηναὶ εἶεν· μαθόντες δὲ παρεῖναι τὸν βεζιραζέμην μετὰ παμπληθῶν στρατευμάτων, αὐτοὶ μὲν λίαν δεδοικότες ἔφευγον· διαδοθείσης δὲ εἰς τὸν στρατὸν τῆς φήμης τῆς ἐπελεύσεως τῶν Οὔγγρων, μέγας ἐγένετο θόρυβος, τρεχόντων ἄνω καὶ κάτω μίγδην τῶν στρατιωτῶν,



www.dacoromanica.ro

τῶν μὲν παρασκευαζόντων τοὺς ἵππους, τῶν δὲ δίχα σημαιῶν ἀτάκτως ὁρμώντων, τῶν δὲ καὶ τὰς σκηνὰς καθελόντων καὶ ἐπιφορτιζόντων τοῖς κτήνεσι τὰ σκεύη αὐτῶν καὶ μόλις παραιτήσασθαι τὴν ἀκάθεκτον ταύτην ὁρμήν, μηδενὸς ἐναντίου ἐπερχομένου ἢ ἀντιπαρατασσομένου. Παρὰ δὲ τοῦ Καγιλγαΐου ἦλθον γράμματα μηνύοντα μετὰ τῶν Σκυθῶν ἐπιδαλεῖν αὐτὸν τῷ τῶν Γερμανῶν στρατοπέδῳ καὶ πολλοὺς ἐκεῖθεν ἀφαρπάσαι, τὰ δὲ τῶν Γερμανῶν στρατεύματα ἤρξαντο τάφρῳ ὀχυροῦν τὸ στρατόπεδον αὐτῶν, μάλιστα ἀντικρὺ τοῦ κατακεχωσμένου καὶ τοῦ Φραγγικοῦ πύργου ἀσφαλίζοντες ἑαυτούς· ἐντόνως δὲ ἐπολέμουν οἱ Γερμανοί, ἐπισπεύδοντες τῇ ἁλώσει τῆς πόλεως παντοίαις μηχαναῖς καὶ τεχνουργήμασιν, ἡσυχίαν δὲ ἀγαγόντες πλησίον Φουτδαρινοῦ.

Τῇ λα' ἤλθομεν εἰς Ἁλώνι, τὴν νῦν λεγομένην Τζαν-κουρταράνιον, διεστηκυῖαν ὥρας ἕξ. Ἠκούοντο δὲ κατὰ τὸν δρόμον αἱ βοαὶ τῶν σιδηρῶν σφαιριδίων, τῶν ἐκβαλλομένων ἀμφοτέρωθεν διὰ πυραυλικῶν ὀργάνων. Ὁ δὲ βεζιραζέμης ὠργίζετο λίαν κατὰ τοῦ στρατηγοῦ Ἀχμέτη, ὅτι ῥαθύμως καὶ δειλῶς κατεδαπάνα τὸν χρόνον διατρίβων ἐν τῇ Ἰουλίᾳ, ἤτοι Στολνικῷ Μπελγράδῳ, μηδέπω ἐπικουρῶν τοῖς πολιορκουμένοις, οὖσιν ἐν κινδύνῳ πολλῷ.

Ἐνταῦθα ἦλθον ἀγγελίαι μηνύουσαι οὐδὲν ἰσχύσαι τοὺς Τούρκους κατὰ τοῦ Γερμανικοῦ στρατοπέδου, κραταιῶς ἀνθισταμένους καὶ ἀποσοβοῦντας τὰς ἐκείνων ὁρμάς· ὥστε, γενομένης βουλῆς κοινῶς, ἔγνωσται σὺν πᾶσιν ἄχθεσθαι καὶ σκηναῖς ὁμοῦ πάντας ἵεσθαι ἐπὶ τὸ Γερμανικὸν στρατόπεδον οἴσοντας ἐπικουρίαν τῇ Βουδίνῃ. Ὅθεν τῇ α' Αὐγούστου ἕωθεν προηγήσατο ὁ τῆς Βόσνας πασᾶς Σιαούσης· ἠκολούθει ὁ Μεσοποταμίας Χουσεΐνης· δεξιῶς ᾤχετο ὁ τῆς Ἀνατολῆς Χασάνης· ἠκολούθει ὁ Ἀδένων Τζερκὲζ-Ἀχμέτης· εἵπετο τὴν εὐθεῖαν βαδίζων ὁ γιανιτζάραγας Χασάνης· ἠκολούθουν τὰ ἀχθοφόρα κτήνη καὶ αἱ κάμηλοι καὶ αἱ ἅμαξαι· μετὰ δὲ ὁ ἐπίτροπος, δεξιῶς καὶ ἀριστερῶς πορευομένων τῶν σιπαΐων, πολυπληθῶν ὄντων. Καὶ ἐλθόντες εἰς Ἔρτζινον ἐκάθισαν παρὰ τῷ Δουνάβει. Πρὸς τῇ ἑσπέρᾳ ἠγγέλθη ἱππεῖς ὡσεὶ ἑξήκοντα χιλιάδας μέλλειν ἐπιβαλεῖν τοῖς Τούρκοις, ἀλλὰ ψευδῶς, μὴ ὄντων τοσούτων ἱππέων Γερμανῶν.

Τῇ β' Αὐγούστου τῇ αὐτῇ παρατάξει ἤλθομεν εἰς Πύργον Κυνῶν, καὶ διαβάντες ἐκαθίσαμεν ἐν τῷ Καραμπουρνί· ὅθεν ὁ ἐπίτροπος προπορευθεὶς καὶ συνάξας τοὺς μεγιστάνους, συμβούλιον εἶχον ὅπως ἂν ἐχρῆν ἐπιβαλεῖν τοῖς Γερμανοῖς.

Ἐνταῦθα ἠγγέλθη τῇ προϊούσῃ φονευθῆναι τὸν κεχαγιᾶν Ἀλήπασαν τῆς Τύρου, ὁ δὲ ἐπίτροπος μετὰ τῶν πασάδων ἐβουλεύσατο τῇ μὲν ἐπιούσῃ ἐπιδείξας τοῖς Γερμανοῖς τὰ στρατεύματα φόβον ἐμποιήσειν αὐτοῖς τῷ πλήθει. Ὥστε τῇ γ' τοῦ Αὐγούστου παρατεταγμένοι ἐφάνησαν τοῖς ἀντιπάλοις, κἀκείνων ταὐτὸ τοῦτο ποιησάντων, ἔξω τῶν περὶ τὸ στρατόπεδον τάφρων ἑστώτων ἄχρις ἑσπέρας. Ἦν δὲ τὸ Γερμανικὸν στρατόπεδον θαυμασίως ὀχυρωθὲν τάφροις καὶ πύργοις ὑπαντιάζουσι διὰ τῶν πυραυλικῶν ὀργάνων καὶ ἀσφαλῶς ἐπιτηρούντων τὸν χάνδακα τοῦ στρατοπέδου.

Τῇ δὲ δ' τοῦ Αὐγούστου, ἡμέρᾳ Τετράδῃ, ἕωθεν ἐξῆλθον οἱ Τοῦρκοι εἰς πόλεμον, ὁ μὲν στρατηγὸς Ἀχμέτ-πασας μετὰ τῶν Ἰλλυρίων πεζῶν καὶ τοῦ Σιαούς-πασα καὶ τοῦ Ζεϊλέλ-πασα καὶ τῶν ὑπὸ τούτων στρατευμάτων ἐρχόμενοι τῆς κατὰ τὸ βουνὸν ὁδοῦ ἤρξαντο ἀναβαίνειν ἐπὶ τοὺς Γερμανούς· ὁ δὲ βεζιραζέμης, προπέμψας τοὺς γιανιτζάρους καὶ τὸν τῆς Ἀνατολῆς Χασάν-πασαν, ἠκολούθει πρὸς τὸ πεδίον καταβαίνων. Παρὰ δὲ τῷ Δουνάβει ἵστατο ὁ Χουσεΐν-πασας μετὰ τῶν Μεσοποταμικῶν στρατευμάτων. Ἀντιπαρετάξαντο δὲ οἱ Γερμανοί, ὄρειοι μὲν οἱ Οὔγγροι ἱππεῖς, προκαταθέντες ἐν τοῖς θάμνοις ἱκανὴν πεζικήν, ἐν δὲ τῷ πεδίῳ ἵσταντο οἱ Γερμανικοὶ πεζοὶ καὶ ἱππικοὶ εἰς ἴλας ἀκριβῶς διανενεμημένας καὶ προμαχομένων τῶν Ἰλλυριῶν ἱππέων. Ἤρξαντο δὲ τῆς μάχης οἱ περὶ τὸν Ἀχμέτ-πασαν καὶ κατέστρεψαν τοὺς ἐκεῖ Οὔγγρους, οἵτινες πρότερον ἑκουσίως ἢ ἀκουσίως ἔφευγον· τοῖς δὲ κατατρέχουσι Τούρκοις οἱ ἐν τοῖς θάμνοις προκρυβέντες Γερμανοὶ πεζοί, ἐπαφιέντες τοὺς τῶν μοσκετῶν βόλους, πολλοὺς κατὰ τὰ νῶτα κατέτρωσαν, ὥστε λιποτακτεῖν τοὺς ἐκεῖ Τούρκους ἅπαντας καὶ ἀναμεμιγμένους τοῖς πεζοῖς τούτους καταπατῆσαι· ἐφ' οὓς καὶ οἱ Σκύθαι φεύγοντες πολὺν θόρυβον ἐποίησαν, καὶ ἐν τούτῳ ἐπιστρέψαντες οἱ Οὔγγροι καὶ σφοδρῶς διώξαντες τοὺς φεύγοντας πολλοὺς ἀνεῖλον ἱππεῖς, τοὺς δὲ πεζοὺς σχεδὸν τοὺς πλείους κατέτεμον, ἑπτὰ χιλιάδων ἀριθμὸν πληροῦντας. Ἔφευγον δὲ οἱ Τοῦρκοι ἄχρι τοῦ πεδίου καταβάντες, ὅπου συναχθέντες πάλιν ἤρξαντο ἀντιμάχεσθαι κα

www.dacoromanica.ro

ἀπαντᾶν πρὸς τὴν τῶν πολεμίων ὁρμήν. Ὁ μὲν οὖν βεζιραζέμης, ἀκούσας τὴν τοῦ ἀριστεροῦ κέρατος τροπήν, ὀπισθοποδῶν ἀνέβη εἰς τὸν πρότερον λόφον, τῶν Γερμανῶν ἠρέμα ἀκολουθούντων· ἐπὶ δὲ τοῦ λόφου ἵστατο καρτερῶς ὁ βεζιραζέμης μετὰ τῶν σιπαΐων, τῶν προμάχων αὐτοῦ, καταστρεψάντων πολλάκις τὴν τῶν Ἰλλυριῶν ἱππικὴν ἄχρι τῆς Γερμανικῆς φάλαγγος, καὶ ταύτης σχεδὸν κλονουμένης καὶ μελλούσης εἰς φυγὴν τραπῆναι, εἰ μὴ καταλελοίπησαν τὴν μάχην οἱ Τοῦρκοι ἱππεῖς, μὴ βοηθούμενοι παρὰ τῶν κατὰ τὰ νῶτα ἑστηκότων ταγμάτων, καίτοι πολλὰ ἐκλιπαροῦντος τοῦ βεζιραζέμη καὶ εἰς μάχην προτρέποντος· ἀλλ' οὗτοι οὐ μόνον ἐκώφευον, ἀλλὰ καὶ λιποτακτεῖν ἤρξαντο. Ἵστατο δὲ ὁ ἐπίτροπος μετ' ὀλίγων τινῶν τῶν περὶ αὐτὸν καρτερῶς, ὥστε τοὺς Γερμανοὺς ἐπιστρέψαι εἰς τὸ στρατόπεδον καὶ οὕτω διαλυθῆναι τὴν μάχην, τοῦ Χουσεΐν-πασα μετὰ τῶν περὶ αὐτὸν στρατιωτῶν ἀτρεμεὶ καὶ εὐτάκτως ἑστῶτος ἄχρις ἑσπέρας, ἐν δὲ ταῖς σκηναῖς (τίς διηγήσεται τὸν θόρυβον;) τῶν μὲν καθελόντων τὰς σκηνάς, τῶν δὲ καὶ φορτιζόντων τὰ βάρη αὐτῶν, ὥστε βραδέως που, διαδοθείσης τῆς φήμης, διαλελύσθαι τὴν μάχην, ἡσυχίαν γενέσθαι.

Τῇ ε' τοῦ Αὐγούστου, τῶν στρατευμάτων ἐν παρατάξει ἱσταμένων πρὸς τοὺς πολεμίους μετὰ τοῦ κεχαγιᾶ Μεχμέτ-αγα, ἦλθον αἱ σκηναὶ καὶ ἐπεπήγησαν πλησίον Πουερτζίνου, παρὰ τῷ Δουνάβει, πρὸς τῇ ἑσπέρᾳ ἐλθόντος καὶ αὐτοῦ τοῦ βεζιραζέμη μετὰ πάντων τῶν στρατευμάτων, τῶν μὲν Τουρκῶν διὰ τὴν στέρησιν τῶν χόρτων μεταλλάξαι τὸν τόπον διϊσχυριζομένων, τῶν δὲ Γερμανῶν διὰ φόβον φυγεῖν αὐτοὺς διαφημιζόντων.

Τῇ ς' τοῦ Αὐγούστου, ἐπαναστρέψαντος τοῦ τῆς Ἀνατολῆς Χασάν-πασα, ἀντ' αὐτοῦ ἐπορεύθη μετὰ πολλοῦ στρατοῦ ὁ στρατηγὸς Ἀχμέτης εἰς τὸν αὐτὸν λόφον· ἐν δὲ τῷ μεταξὺ οἱ μὲν Γερμανοὶ σφοδρῶς ἐπολιόρκουν τὴν Βουδίνην, ὁ δὲ βεζιραζέμης ἀνὰ εἴκοσιν ἄσπρα οὐλαφὲ ἔγραφε στρατιώτας σερδενγγετζῆδες λεγομένους.

Τῇ η', βουλῆς συγκροτηθείσης, ἐφάνη κοινῶς ἀρεστὸν τὸν μὲν ἐπίτροπον μετὰ σιπαΐων καὶ γιανιτζάρων ἐγκαρτερεῖν ταῖς σκηναῖς, ἐπανελθεῖν δὲ μετὰ τῶν περὶ αὐτοὺς στρατευμάτων καὶ τῶν ἀγιαλετικῶν, ἤτοι ἐπαρχικῶν στρατῶν, τοὺς πασάδες ἅπαντας, ὅπως εἰσάξωσιν εἰς τὴν Βουδινὴν τοὺς ἀπολλυμένους στρατιώτας· καὶ ἐπὶ τοιαύτῃ ἀποφάσει, διαλυθείσης τῆς βουλῆς, ἀπῆλθον ἕκαστος εἰς ἑτοιμασίαν. Ἀλλ' ὁ ἐπίτροπος μέλλων ἀποδοῦναι ἑκάστῳ τῶν ἀπολλυμένων στρατιωτῶν ἀνὰ τριάκοντα νομίσματα, ἡττηθεὶς τῷ πλήθει τῶν νομισμάτων, πρὸς δὲ καὶ οὐκ ἀρκεσθεὶς τῇ ἐν ταῖς σκηναῖς ἐπιμονῇ, μετεμελήθη, καὶ τῶν μὲν σερδενγγετζήδων τοὺς τερακιλίους ἤτοι τοὺς ἐπ' αὐξήσει μισθοῦ ἐγγραφέντας μόνους ἐκλεξάμενος, τοὺς λοιπούς, ὅσοι τοὺς οἰκείους δεσπότας παραιτησάμενοι νεωστὶ ἐμισθώθησαν, κατέλειψε, πολλῶν καταρωμένων καὶ ἀγανακτούντων ἐπί τε τῇ στερήσει τῶν οἰκείων δεσποτῶν καὶ τῇ ἀποτεύξει τοῦ μισθοῦ καὶ τοῦ ἀστάτου ἕνεκεν ἐπιμεμφομένων τῷ ἐπιτρόπῳ.

Τῇ θ', πάλιν βουλῆς γενομένης, παλίνστροφος τῶν βουλομένων ἦν ἡ δόξα, καὶ δόξαν οὕτως ὁ αὐτὸς ἐπίτροπος μετὰ τοῦ ἱεροῦ κατ' αὐτοὺς σημαίου καὶ τῶν σιπαΐων καὶ γιανιτσάρων καὶ γεδικλήδων καὶ τῶν λοιπῶν ἁπάντων στρατῶν ᾤχετο ἐπὶ τὸ Γερμανικὸν στρατόπεδον. Ἦσαν δὲ οἱ πλείους τῶν στρατιωτῶν δυσέλπεις, ὅσοι δηλαδὴ ἱππικαῖς δύσβατον εἶναι τὸ Γερμανικὸν στρατόπεδον καὶ τοιαύταις ὁρμαῖς δυσάλωτον ᾔδεσαν, καὶ ἐπορεύοντο ἀπεγνωσμένοις μᾶλλον ἢ ἐλπίζουσιν ἐοικότες· ἦραντο δὲ καὶ τὰ πυραυλικὰ ὄργανα. Ὀλίγοι δὲ τῶν μεγιστάνων μικρὰς σκηνὰς συνεκομίσαντο, τῶν λοιπῶν ψιλῶς ἀκολουθησάντων. Ἧψαντο μὲν οὖν τῆς ὁδοῦ περὶ τὴν ἐνάτην πλησίον που ἐν τόποις χθαμαλοῖς διατρίψαντες ὀλίγην νύκτα, τῇ ἐπιούσῃ ἕωθεν μελλόντων ἐπιβαλεῖν τοῖς Γερμανοῖς

Τῇ ιγ', μετατοπισθεισῶν τῶν σκηνῶν, ἐκαθίσαμεν ἐν τῷ Χαμζάμπεϊλι παρὰ τὸν τῶν Κυνῶν Πύργον· ἦσαν δὲ τὰ στρατεύματα βαθεῖαν ἡσυχίαν ἄγοντα καὶ οἷα μὴ πολεμουμένης τῆς Βουδινῆς. Τῷ δὲ ἐπιτρόπῳ λίαν ἐμέμφοντο πάντες, ὡς μηδὲν καλὸν κινοῦντος πρὸς ἀπολύτρωσιν τῆς τοιαύτης πόλεως. Οἱ δὲ Γερμανοὶ οὐκ ἦγον ἡσυχίαν, ἀλλὰ παντοίαις μηχαναῖς καὶ πολεμικοῖς τεχνάσμασι κατεμάχοντο τοῖς Βουδηνοῖς.

Τῇ ιη' πάλιν ἐγγραφέντων ὀλλυμένων στρατιωτῶν ἐμελέτων τὴν ἐπὶ τοὺς Γερμανοὺς ὁρμήν, καὶ πρὸς τῇ ἑσπέρᾳ ὁ Σιαούς-πασας καὶ ὁ Χασάν-πασας καὶ ὁ Τζερκὲζ Ἀχμέτ-πασας,

www.dacoromanica.ro

www.dacoromanica.ro



καὶ ὁ Ντελῆ-Ὀμέρ-πασας μετὰ τῶν ὁλλυμένων στρατιωτῶν ἀπεστάλησαν ἐπὶ τὴν παλαιὰν Βουδινήν, ὅπως ἐκεῖθεν ἐπιβαλόντες τῷ Γερμανικῷ στρατοπέδῳ εἰσβάλωσι τοὺς τοιούτους στρατώτας.

Τῇ ιθ' ὁ μὲν Σιαούς-πασας ἔπεμψε τοὺς στρατιώτας ἐπὶ τοὺς Γερμανούς· τούτων δὲ οἱ μὲν εἰσδύοντες πέραν τοῦ τάφρου, κύκλῳ ἐπιτιθεμένων τῶν Γερμανῶν, ἀπώλεσαν, οἱ δὲ ἀπράκτως ἐπέστρεψαν· εἰ δὲ καί τινες ὁρμῶντες ἐπὶ τὴν Βουδινὴν ἔτυχον τῆς εἰσόδου, ἀγνοεῖται. Ὁ δὲ βεζιραζέμης μετὰ παμπληθῶν στρατευμάτων ἕωθεν προϊὼν καὶ φθάσας εἰς τὸ Καγιαμπορνί, μηδὲν ὠφελῶν ἐκάθητο ἐκεῖ, ἀγανακτοῦντος τοῦ στρατοῦ ἐπὶ τῇ τούτου ῥαθυμίᾳ· οὐδεμία γὰρ ἐγένετο ἀξία στρατηγοῦ ἐπιχείρησις, ἀλλὰ τῶν βουλομένων ἑκατέρωθεν εἰς χεῖρας ἐλθόντων πάλιν ἐπέστρεφον ἕκαστος εἰς τοὺς οἰκείους, πρὸς δὲ τῇ ἑσπέρᾳ τῶν ἡμετέρων εἰς τὰς σκηνὰς ἀδόξως ἐπανιόντων· ἐν δὲ τῷ μεταξὺ οἱ ἐν τῇ Βουδινῇ ἰσχυρῶς καὶ ἀνδρείως ἐμάχοντο κατὰ τῶν Γερμανῶν, ταῖς πολιορκητικαῖς τούτων μηχαναῖς ἀνθιστάμενοι.

Τῇ κ', βουλῆς γενομένης, διηπόρουν ὅπως ἂν ἐπικουρήσωσι τοῖς πολιορκουμένοις καὶ τρόπον τινὰ ἠρεύνων· ὡσαύτως δὲ καὶ τῇ κα' καὶ κβ' περὶ τὸ αὐτὸ ἐβουλεύοντο. Ἦν δὲ σπάνις τῶν ἀναγκαίων ἐν τῷ στρατοπέδῳ, πέντε ὅλων νομισμάτων πωλουμένου ἑνὸς κοιλοῦ κριθαρίου καὶ ἄρτου κεχρίνου σπανίως εὑρισκομένου, σχεδὸν ἑνὸς ἄρτου ὀγδοήκοντα δραχμῶν ἓξ ἄσπρων πωλουμένου· ὧν ἕνεκεν ἠγανάκτουν οἱ στρατοί. Οἱ δὲ Γερμανοί, ὡς καὶ πρῶτον, ἐπολιόρκουν τὴν Βουδινήν, μένοντες ἐντὸς τοῦ χάνδακος· ἐλέγοντο δὲ πλείους γυναῖκες παρεῖναι τῷ Γερμανικῷ στρατοπέδῳ, οὐ μόνον στρατιωτῶν, ἀλλὰ καὶ λοχαγῶν σύμβιοι· τοῦτο γὰρ ἔθος τοῖς Γερμανοῖς. Καὶ τῶν μὲν ἀναγκαίων εἶχον οἱ Γερμανοὶ εὐπορίαν, ὅμως ἐνόσουν συχνοί, ἀποκεκμηκότες τῆς μακρᾶς ἕνεκα πολιορκήσεως, καὶ μᾶλλον τῶν ἱππέων οἱ πεζοὶ τὴν μὲν ἅλωσιν ἀπεγνωκότες, φροντίζοντες δὲ τῆς ἀπελεύσεως, εἰ καὶ τῶν στρατηγῶν προτρεπόντων αὐτοὺς ἐπ' ἀγαθαῖς ἐλπίσι καὶ καρτερεῖν παραινούντων ὡς μετ' οὐ πολὺ κρείττους ἐσομένους καὶ ἐγκρατεῖς. Κατεσκεύαζον δὲ μετὰ πλείστης ἐπιμελείας καὶ προθυμίας ἐν τρισὶ τόποις ὀχετοὺς ὑπογείους, μέλλοντες δι' αὐτῶν ἀνατρέψαι τὰ τείχη καὶ εἰσδραμεῖν εἴσω τῆς πόλεως· ὅθεν ὡς οὐδέποτε κατεβρόντων καὶ πυραυλικὰς ἑλεπόλεις. Ἦλθον δὲ καὶ οἱ ἐν τῇ Ἐρδελίᾳ Γερμανικοὶ καὶ Οὑγγρικοὶ στρατοί, ὡς ἓξ χιλιάδες ἄνδρες, οἱ πλείους σιδηροφόροι καὶ ἐξησκημένοι ταῖς πολεμικαῖς τόλμαις, οἳ καὶ παραχρῆμα ἥψαντο τῆς πολιορκίας.

Τῇ δὲ κγ', ἡμέρᾳ Δευτέρᾳ, δι' ὅλης νυκτὸς ἄχρι μεσημβρίας ἔβαλλον οἱ Γερμανοὶ τὰ τείχη τῆς Βουδινῆς σφοδρῶς, καὶ πῇ μὲν τοῖς σιδηροῖς κατατρίψαντες τὰ τείχη, πῇ δὲ τὰ ὑπὸ γῆν πυρείῳ ἀνατρέψαντες, αὐτὰ ἄφνω μετὰ μεγάλης ὁρμῆς ἀνέτρεψαν. Πανταχόθεν πολυπληθεῖς εἰσδύοντες ἐχώρουν ἔσω τῆς πόλεως, καὶ οἱ μὲν ἐντὸς ἀντεμάχοντο ὅση δύναμις, τοὺς μὲν ἀποσοβοῦντες, τοὺς δὲ κάτω κατὰ κρημνοῦ βάλλοντες καὶ παντοίοις ὀργάνοις ἀνδρείως ἐξωθοῦντες· οἱ δὲ παρὰ τῶν στρατηγῶν αὐτῶν παροτρυνόμενοι καὶ τῷ τῆς λείας πόθῳ ζέοντες, ἄλλος ἐπ' ἄλλον ἔβαινον γυμνοῖς ξίφεσι κατατραυματίζοντες τοὺς τῶν πολιτῶν τολμηροτέρους· καὶ τοῦτο πολλάκις ἀμφότεροι ἀμοιβαίως παθόντες, τῶν πολιτῶν οἱ προὔχοντες πεσόντες, ὅ τε Ἀμπτή-πασας καταβληθεὶς καὶ ὁ Ἰσμαήλ-πασας καὶ ὁ τῶν γιανιτζάρων ἐπιτηρητὴς φονευθέντες· ἀνεῖλον ἅμα τὴν τῶν λοιπῶν ἰσχύν, καὶ ὅλως ἡ μὲν πόλις ἦν ἄπνους καὶ οἱ φρουροῦντες ὀλίγοι. Πολλαχοῦ δὲ πυρκαϊᾶς γενομένης, ἡ μὲν πόλις τῷ πυρὶ κατηναλίσκετο, οἱ δὲ ἐν αὐτῇ ξίφει κατετέμνοντο, μηδὲ γυναικῶν καὶ παιδίων φειδομένων τῶν Γερμανῶν, μαινομένων ὅλως καὶ Ἄρεως οἴστρῳ καταβακχευομένων. Ἄθλια δὲ πάνυ καὶ γοερὰ τὰ τῆς Βουδινῆς. Τὰ τῶν οἰκιῶν ξύλινα μέρη πυρὶ κατεβιβρώσκοντο καὶ ἐξῆπτον φλόγας, αἱ δὲ ὁδοὶ καὶ πλατεῖαι αἵματι ἐπλημμύρουν· ἠκούοντο δὲ πόῤῥω που μητέρων ὀδυρμοί, νηπίων καὶ παιδίων κλαυθμοί, τῶν μὲν θανάτῳ τῶν δὲ ἀνδραποδισμῷ χωριζομένων· ἦν δὲ τὰ πλείω πυρὸς μᾶλλον ἢ χειρὸς λεία. Οὕτως ἄχρι τῆς ἑσπέρας, κυμαινομένων ἔσω τῶν Γερμανῶν, μετὰ δὲ τὴν ἑσπέραν ἡ μὲν πόλις κατεκαίετο, μηδενὸς τὸ πῦρ σβεννύοντος· οἱ δὲ στρατιῶται, ὀλίγων τινῶν ἐν τοῖς τείχεσι τὴν τῆς πόλεως φυλακὴν κληρωθέντων, ἐπανήρχοντο εἰς τὸ στρατόπεδον χαίροντες ἅμα ἐπὶ τῇ τῆς πόλεως ἁλώσει καὶ ἀγανακτοῦντες ἐπὶ τῇ τῆς λείας ἀποβολῇ, ὧν ἐστερήθησαν πολλῷ πλείω ἐλπίσαντες καὶ φαντασθέντες. Ἐτέρποντο δὲ οἱ ἐν τῷ στρατοπέδῳ περίβλεπτοι τῶν Γερμανῶν λίαν μέν, ὅτι εἶχον τὴν Βουδινήν, μάλιστα δὲ ὅτι εἶχον αὐτὴν πρὸ τῶν ὀφθαλμῶν τοῦ βεζιραζέμη, ὅστις ἀπὸ πολλῶν μαθὼν τὴν πτῶσιν αὐτῆς

δεινῶς ἐλυπεῖτο· καὶ πᾶς ὁ Ὀθμανικὸς στρατὸς ὠδύρετο καὶ δι' ὅλης τῆς νυκτὸς ἀθυμοῦντες ἔωθεν ἐπανῆλθε.

Τῇ κδ' καθίσαντες ἐν τῷ Τζαν-κουρτουράνῳ, κἀκεῖ τὰ τῆς φρουρήσεως τοῦ Ἰστολνικοῦ Μπελγράδου ἡτοιμάσαντο.

Τῇ δὲ κε' ἤλθομεν εἰς Παντελί, διεστηκὸς ὥρας τρεῖς τοῦ Τζαν-κουρτουράνου, ὅπου τὸν Σεΐχόγλου Ἀχμέτ-πασαν βεζίριον καθεστηκότες καὶ τῶν ὑποκειμένων χωρίων τῇ Βουδινῇ τὴν ἀρχὴν ἐπιτρέψαντες, τὴν τοῦ Ἰστολνικοῦ Μπελγράδου φρούρησιν αὐτῷ παρέδωκαν, πρὸς τροφὴν καὶ ἄμυναν τὰ ἀναγκαῖα δαψιλῶς ἐγχειρίσαντες· καὶ τοῦ Τοσόνογλου εἰς καχαγιᾶν τῶν γιανιτζάρων προβιβασθέντος, ὁ Ὀσμὰν-ἀγᾶς γενόμενος μετὰ τοῦ Ἀχμέτ-πασα καὶ πολλῶν γιανιτζάρων καὶ ἄλλων συχνῶν στρατιωτῶν εἰς τὴν ῥηθεῖσαν πόλιν ἐδιωρίσθησαν, δυσέλπεις ὄντες καὶ τῇ τῆς Βουδινῆς πτώσει καὶ σφαγῇ τῶν ἐντὸς τὰ αὐτὰ ἑαυτοῖς οἰωνίζοντο.

Τῇ δὲ κζ' ἤλθομεν εἰς Φουτδαρί, καὶ διαβάντες αὐτὸ πλησίον που ἐκαθίσαμεν ἀπορροῦντες τῶν ἀναγκαίων.

Τῇ κη' ἤλθομεν εἰς Πάξαν καὶ τῇ ἑξῆς εἰς Σεξάρι.

Τῇ δὲ λ', διαπεράσαντες τὸν Σάρβιτζον ποταμόν, ἐκαθίσαμεν πλησίον που τῆς παλάγγας Σαξαρίου.

Τῇ λα' τῷ Σιαούς-πασᾳ ἐπετράπη, ὅπως μετὰ τοῦ Ἰμπραΐμ-πασα τῆς Δαμασκοῦ καὶ τῆς Ῥούμελης Ζεϊνέλ-πασα καὶ τοῦ τῆς Ἀνατολῆς Χασάν-πασα καὶ ἄλλων πασάδων ἄγῃ τὸν Σεΐχογλου Ἀχμέτ-πασαν καὶ τὸν Μαρασ-πασασὶ Ὀσμάν-πασαν καὶ τὰ σιτία εἰς τὸ Ἰστολνικὸν Μπέλγραδον· ἠγγέλλετο δὲ τοὺς Γερμανοὺς ἐλθεῖν εἰς Τζαν-κουρτουρᾶνον.

Τῇ α' Σεπτεμβρίου ἐπεράσαμεν τὸ Μπατοσέκι καὶ ἐκαθίσαμεν εἰς τὸ Σασλίκι, ὅπου ἐβυθίσθη ὁ Λουδοβῖκος, ἡττηθεὶς καὶ φυγὰς γενόμενος παρὰ τοῦ σουλτὰν Σουλεϊμάνη.

Τῇ β' ἐπεράσαμεν τὸ Μιχάτζιον καὶ ἐκονεύσαμεν τριγύρου εἰς τὸ κιόσκι τοῦ σουλτὰν Σουλεϊμάν. Ὑστερούμεθα νεροῦ.

Τῇ γ' Σεπτεμβρίου ἐπεράσαμεν τὸ Πουρνοβάρι καὶ τὰς δύο γεφύρας, καὶ ἐκονεύσαμεν εἰς τόπον στενόχωρον. Εἰς τὰ γεφύρια ἦτον μεγάλη στενοχωρία διὰ τὸ πλῆθος τῶν ἁμαξίων, μάλιστα τῶν μετοικιζομένων ῥαγιάδων καὶ καταλιπόντων τὰς οἰκείας παλάγγας, ἃς πρὶν κενωθῆναι κατέκαιον οἱ Τοῦρκοι. Ὅθεν πολλὰ ἐθρήνουν οἱ ῥαγιᾶδες καὶ σερχατλῆδες τήν τε στέρησιν τῆς πατρίδος καὶ τὴν ἀφαίρεσιν τῶν ὑπαρχόντων.

Τῇ δ' ἤλθομεν εἰς Ντάρντα. Ἐκονεύσαμεν μακρὰν τοῦ Δράβου ποταμοῦ· μηδενὶ ἐξῆν διαπεράσαι τὴν γέφυραν καὶ διαβῆναι εἰς Ὀσέκιον.

Τῇ ε' μετετοπίσαμεν κονεύσαντες πλησίον Δράβου, ὅπου πολλὰς ἡμέρας ἐκαθίσαμεν. Οἱ δὲ Γερμανοὶ καταλιπόντες τὴν Βουδινὴν καὶ ἱκανὴν πεζικὴν ἀφέντες ἐκεῖ ἤρχοντο κατόπιν καὶ ἐλέγοντο ἀφικέσθαι εἰς Σεξάρδιον.

Ἐντεῦθεν ἐπέμφθη ὁ κεχαγιᾶς τοῦ ἐπιτρόπου μετὰ πολλῶν ἱππέων Σκυθῶν καὶ Τούρκων, κομίζων εἰς Σεΐζβαρῖνον τὰ πρὸς τροφὴν ἀναγκαῖα, καὶ μεταπεμφθεὶς ἀπὸ Ποσέγας ὁ Φουντοὺκ Μουσταφά-πασας ἐστάλη εἰς Κάνιζαν, ἐπανακληθέντος τοῦ ἐκεῖ Μουσταφά-πασα.

Ἐνταῦθα ἀφίκοντο ἀπὸ τοῦ Ἰστολνικοῦ Βελγράδου οἱ ἐκεῖσε πεμφθέντες πάσοι· ἔτι δὲ σπουδὴ ἐγένετο περὶ τὴν ὀχύρωσιν τοῦ Ὀσεκίου, ὁ δὲ Ἀχμέτ-πασας, ὁ πρώην κεχαγιᾶς καὶ σερασκέρης, ἐπέμφθη εἰς Σεγεδῖνον.

Τῇ ιδ' τοῦ Σεπτεμβρίου διαπεράσαντες τὸν Δράβον ποταμὸν ἐκονεύσαμεν πλησίον τοῦ Ὀσεκίου, ὅτι ἠγγέλλοντο ἀφικέσθαι τοὺς Γερμανούς. Ταῖς ἐφεξῆς, καθεζομένων ἡμῶν παρὰ τῷ Ὀσεκίῳ, ἐβουλεύετο καὶ ἐκυμαίνετο ὁ ἡμέτερος στρατηγός, ἐγγράφων στρατιωτῶν καταλόγους, καὶ ὁτὲ μὲν ἐπὶ τοὺς Γερμανοὺς ἄχρι Τόδνης ἐλθόντας, ὁτὲ δὲ ἐπὶ τοὺς Ἰλλυριοὺς καὶ Γερμανοὺς τοὺς πρὸς τῇ Βαροβητίσᾳ στρατοπεδεύοντας ἰέναι διελογίζοντο· ἕως οὗ, ἀγγελλομένων τῶν Γερμανῶν διαπεράσαι τὸν Δούναβον καὶ μελετᾶν εἰς Σεγεδῖνον τὸ παρὰ τῷ Τίσᾳ ποταμῷ κείμενον βαδίσαι, παρῃτήσατο καὶ ὁ ἐπίτροπος τὴν ἔφοδον.

Τῇ δὲ κ' Σεπτεμβρίου διηγγέλθη μυριάδα Γερμανῶν καὶ Ἰλλυριῶν ἀπερχομένων εἰς τὸ Ἰλλύριον κατὰ πάροδον ἑλεῖν τὴν Σαμοτόραν καὶ ἀνάστατον ταύτην ποιῆσαι. Ἐστάλη δὲ

www.dacoromanica.ro

καὶ ὁ Σεβαστείας 'Αχμέτ-πασας μετὰ συχνῶν στρατιωτῶν εἰς Κανίζιαν καὶ εἰς τὸ 'Ιστολνικὸν Μπέλγραδον, ἄγων ἐκεῖσε τὰ πρὸς τροφὴν ἀναγκαῖα καὶ φρουροὺς ἱκανούς.

Ἔτι δὲ ἦλθον ἀγγελίαι μηνύουσαι τοὺς Ἑνετοὺς ἐξωσθῆναι ἀπὸ Νεαπόλεως τῆς ἐν Πελοποννήσῳ, ὡσαύτως δὲ καὶ τοὺς Λέχους ἐπανελθεῖν ἀπράκτους, ἀναιρεθέντων πολλῶν ἀπὸ τῶν ἐπιβαλόντων Σκυθῶν· ἐν δὲ τῷ Δαλματικῷ οἱ Ἑνετοὶ πολιορκεῖν τὴν Σίναν ἠγγέλλοντο. Ὅθεν ὁ τῆς Μπόσνας Σαούς-πασας ἐστάλη εἰς Μπόσναν μετὰ τῶν περὶ αὐτὸν στρατιωτῶν, ὁ δὲ τῆς 'Ανατολῆς Χασάν-πασας, τιμηθεὶς βεζίριος καὶ ἠμφιεσμένος σαμουρόγουναν, ἐπιστεύθη τὴν τοῦ 'Οσεκίου φύλαξιν.

Τῇ κε' ἠγγέλλοντο οἱ Γερμανοὶ πολιορκεῖν τὸ Καπουσβαρῖνον, καὶ τούτων τινὲς ὁρμήσαντες εἰς Πέτζοβον ἐπανελθεῖν ἀπράκτως, πολλῶν ἀναιρεθέντων· ἐπέμφθη δὲ εἰς βοήθειαν τῶν πολιορκουμένων ὁ Δελῆ-'Ομέρ-πασας.

Τῇ κε' ἠγγέλλοντο οἱ Γερμανοὶ πορευθῆναι τὴν ἐπὶ τὸ Σεγεδῖνον. -

'Εν τῷ παρόντι μηνί, συντρεχουσῶν τῆς τε σεληνιακῆς μεταβολῆς καὶ τῆς ἰσημερινῆς τοῦ ἡλίου τροπῆς, σφοδρότερον πνεύσαντος τοῦ ἀέρος βορέως καὶ ὑετοῦ μετρίως γενομένου, τὸ λοιπὸν καύσων ἦν ἄμετρος, μάλιστα περὶ μέσην ἡμέραν· ἦν δὲ ἐν τῷ 'Οσεκίῳ τῶν πρὸς τροφὴν ἀναγκαίων εὐθηνία.

Τῇ κη' ἐστάλη ὁ κεχαγιᾶς τοῦ ἐπιτρόπου Μεχμέτ-αγας μετὰ καπιτζιμπασίδων καὶ βατζιπουραγιάδων καί τινων σεϊμένηδων τοῦ ἐπιτρόπου πρὸς τὸ Σεγετῖνον.

Τῇ κθ' ἐπανεστρέψατο παρὰ τοῦ 'Ιστολνικοῦ Μπεγράδου ὁ 'Αχμέτ-πασας τῆς Σεβαστείας 'Οσμάνογλους, ἀφεὶς ἐκεῖ τὰ πρὸς τροφὴν ἀναγκαῖα· προσέταξε δὲ ὁ ἐπίτροπος τοῖς στρατιώταις κατὰ διαδοχὴν μετακυλίσαι τὴν τάπιαν, ἄχρηστον οὖσαν τῇ πόλει. 'Εν τούτῳ δὲ ἐμηνύετο καὶ τῆς Σίνας ἅλωσις ἐν τῇ Μπόσνᾳ παρὰ τῶν Ἑνετῶν.

Τῇ α' 'Οκτωβρίου ἦλθεν ὁ ζαλχανατζῆ Μαχμούτ-αγας ἀπὸ τῆς Πόλεως, φέρων χατισερίφια βασιλικὰ πρός τε τὸν ἐπίτροπον καὶ κοινῶς πρὸς πάντας τοὺς στρατάρχας, ἀναφέροντα τῇ θείᾳ βουλῇ τὴν τῆς Βουδίνης ἅλωσιν καὶ προτρέποντα πρὸς φυλακὴν τῶν μεθορίων· ἐμήνυον δὲ καὶ μεταβολὴν τοῦ μουφτῆ 'Αλῆ-ἐφέντη, προχειρισθέντος τοῦ Ἐγκιουρῆ Μουσταφᾶ-ἐφέντη, γενομένην περὶ μέσον Σεπτεμβρίου· διεξῄει δὲ ὁ ῥηθεὶς Μαχμούτ-αγας καὶ τοῦ ἐν Πελοποννήσῳ Ναυπλίου τὴν ἅλωσιν παρὰ τῶν Ἑνετῶν. 'Ανεγνώσθη κοινῶς παῤῥησίᾳ τὸ βασιλικὸν χατισερίφιον καὶ ἐπέμφθη τὸ τοῦϊ.

Τῇ β' ἤλθομεν πλησίον Διέλου, πορευθέντες ὥρες τέσσαρες. 'Επίνομεν ἀπὸ Δουνάβεως ποταμοῦ. Ἦλθε γράμμα παρὰ τοῦ Καγιλγαΐου μηνῦον μάχην γενέσθαι πρὸς τοὺς Γερμανοὺς παρὰ τῶν Σκυθῶν πλησίον τοῦ Σεγεζίνου, ἀλλ' ἐπιστραφῆναι ἡττηθέντας τοὺς Σκύθας ἐδήλου ἡ λαλιὰ αὐτῶν.

Τῇ γ' ἤλθομεν εἰς χωρίον Σότιν, διεστηκὸς ὥρας ἕξ, διαπεράσαντες μετὰ πολλοῦ κόπου τὴν ἐν τῷ Παλκοβαρίνῳ γέφυραν.

Τῇ δ' διαβάντες εἰς Ἴλοκον, κάστρον ἰσχυρὸν ὂν καὶ ἐν ὑψηλῷ κείμενον ὄρει, ἠρημωμένον τῶν πρὸς φυλακὴν ἀναγκαίων, ἐκαθίσαμεν πλησίον που πίνοντες ἀπὸ Δουνάβεως. Διΐστατο ὥρας ἕξ.

Τῇ ε' ἤλθομεν εἰς Βαραδῖνον, κάστρον ἰσχυρόν ποτε, νῦν δὲ ἔρημον καὶ πολλαχοῦ πεπτωκός, πορευθέντες ὥρας δέκα καὶ διαβάντες τὸ χωρίον Πάνοστραν καὶ χώραν Τζερεβίτζαν· καὶ αὐτοῦ δὴ τοῦ φθινοπώρου μεσάζοντος θαυμαστὸν ἦν τοῦ τόπου τὸ εὐθαλὲς καὶ ὡραῖον, ἐκεκμήκεισαν δὲ διὰ τὸ μακρὸν τῆς ὁδοῦ ἱππεῖς τε καὶ ἵπποι καὶ τὰ λοιπὰ ἀχθηφόρα κτήνη, καὶ ἠγανάκτουν κατὰ τοῦ στρατηγοῦ· ὃς εὐθὺς ἐπεχείρησε τὴν τῆς γεφύρας ἀποπλήρωσιν, μελετῶν διαπερᾶσαι τὸν Δούναβιν καὶ μεταβιβάσαι τὴν στρατιὰν ἐπὶ τοὺς Γερμανοὺς κατὰ τὸ Σεγοτῖνον.

Τῇ η' ὁ βεζιραζέμης ἀπάντικρυ Βαραδίνου ἀφοδεύσας ᾤχετο ἐπὶ τὸν Τίβισκον ποταμόν, ἄγων τὸ Μωχαμετικὸν σημαῖον, δορυφορούμενος παρ' ὀλίγων τινῶν. Εἵπετο πλῆθος πολύ τινων ἀχθοφόρων, ὀλίγων δὲ στρατιωτῶν· κἀγὼ δὲ προσταχθεὶς ἀκολουθῆσαι ὥρμησα μέν, ἰδὼν δὲ τὸ τῆς στρατιᾶς ἄτακτον καὶ συμπεφυρμένον, οὐ στρατοῦ ἀλλ' ὄχλου συρφετοῦ δίκην κινουμένης,

www.dacoromanica.ro

ἀπηγορευκὼς ἀπέστρεψα πρὸς τὸ στρατόπεδον· πολλοὶ δὲ τῶν ἱππέων μεταμελήσαντες ἐδέοντο πάλιν ἐπαναστρέψαι.

Τῇ ι' ἦλθεν ὁ πρώην σερασκέρης Μουσταφά-πασας εἰς τὸ Βαραδῖνον, ὅπου κατελέλειπτο τὸ ὀρδί· ἔτι δὲ ἐμηνύοντο οἱ Γερμανοὶ πολιορκεῖν τὸ Πέτζοδον καὶ οἱ Ἐνετοὶ τὸ Κλῖνον ἐν τῷ Ἰλλυρίῳ τῆς Πόσνας.

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ οἱ περὶ τὸ Σεγετῖνον Γερμανοί, ἱππεῖς τε καὶ πεζοί, οὐ λίαν πολλοὶ ὄντες ἤρξαντο ἔωθεν καὶ ἐπέβαλον τοῖς περὶ τὸν κεχαγιᾶν Μεχμέτ-αγαν καὶ τὸν Καλγιγάϊον.

Ἀπὸ Σομπορνίου μετὰ Σκυθῶν καὶ ἀγάδων καὶ τοῦ Τζερκὲζ Ἀχμέτ-πασα ἐλθοῦσιν εἰς τὸ κατὰ τὸν Τίβισκον Σεντῖνον, ὀκτὼ ὥρας διεστηκὸς ἀπὸ Σεγετινίου, κἀκεῖ ἀμερίμνως καθεύδουσιν, ὥστε τῷ τῆς ἐπιβολῆς αἰφνιδίῳ ἐγερθέντας μηδ' ὅλως ἀντιμάχεσθαι, ἀλλὰ καταλιπόντας πολλὴν τροφὴν καὶ ἐσθῆτας φυγεῖν ἀκαθέκτως τοὺς μὲν ἐπὶ τὸ Βαραδῖνον, τοὺς δὲ πρὸς τὸ Πιτζέϊον, τὸ παρὰ τὸν Τιβίσκον, καὶ ὑπαντιάσαι τοῖς παρὰ τὸν βεζιραζέμην, ἐρχόμενον ἀπὸ Πετζείου. Τῇ δὲ τούτων φυγῇ οἱ περὶ τὸν βεζιραζέμην καταπληχθέντες οὐχ ἧττον τὸ πρότερον, πλὴν ὀλίγων τινῶν πρὸς μάχην ὁπλιζομένων, οἱ λοιποὶ ἀτακτεῖν καὶ φεύγειν ἤρξαντο, πρῶτον οἱ περὶ τὸν Ὀσμὰν-πασόγλουν Ἀχμέτ-πασαν τὸν Σιδάσου τραπέντες, εἶτα δὲ καὶ οἱ περὶ τὸν βεζιραζέμην ἐκκλίναντες φυγὴν μᾶλλον ἢ μάχην ἐμελέτων· οἱ δὲ πεζοί, οὐ πολλοὶ ὄντες, περὶ τὰ πυραυλικὰ ὄργανα ἑστῶτες τούτοις ἐχρῶντο κατὰ τῶν Γερμανῶν, παρὰ δὲ τῆς ἱππικῆς καταληφθέντες ἔπιπτον συχνοὶ καὶ οὔτε φεύγειν εἶχον, οὔτε μάχεσθαι, τῶν Γερμανῶν σφοδρῶς ἐπιβαλόντων καὶ καταλαβόντων τὰ τόπια, ἔτι δὲ καὶ πλῆθος τῶν πρὸς τροφὴν ἀναγκαίων· ἅπερ ἅπαντα καταλιμπάνοντες ἔφευγον ἅπαντες πρὸς τὸ Βαραδῖνον, εἴκοσιν ὥρας ὅλως ἀκαθέκτως ἐλθόντες, περὶ τὴν μέσην νύκτα μόλις φθάσαντες εἰς τὴν παρὰ τὸ Βαραδῖνον γέφυραν. Πρῶτον ἐλθοῦσιν ὁ Ἰσμαὴλ-πασας οὐκ ἐπέτρεπε τὴν μετάβασιν, καίτοι ὀδυρομένοις καὶ λιπαροῦσιν ἐκτενῶς· εἶτα δὲ ἀφικνουμένοις συχνοτέροις καὶ αὐτοῦ τοῦ βεζιραζέμη τὴν ἄφιξιν μηνύουσι, μόλις συνήνεσε· διέβαινον δὲ ἕκαστος ζητῶν τὴν οἰκείαν σκηνήν, ὥστε πολλὰς πανταχοῦ κραυγὰς ἀκούεσθαι, καλούντων τοὺς οἰκείους καὶ προσκαλουμένων. Τοιαύτη γοῦν τις ἦν ἡ ἐπὶ τὸ Σεγετῖνον ἐκστρατεία, τρισὶν ἡμέραις συμπληρωθεῖσα καὶ πολλῆς λύπης γενομένη πρόξενος· οἵ τε γὰρ Γερμανοὶ εἰς τοὐπιὸν ἀλαζονικώτεροι καὶ τὰ ἡμέτερα χείρω ἐγένοντο. Θεὸς ὁ τῶν ὅλων πλάστης καὶ διοικητὴς βραβεύσοι ἄνεσιν τῶν δεινῶν καὶ λῆξιν τῆς ἐνεστώσης ταλαιπωρίας. Στρατηγὸς τῶν ἐν Σεγετίνῳ Γερμανῶν ἦν ὁ Βετέρανος, ἦσαν δὲ ὡσεὶ δεκατέσσαρες χιλιάδες, οἱ πλείους ἱππεῖς. Ἐφρούρει δὲ τὸ Σεγετῖνον ὁ Μοβράβογλους Μεχμέτ-πασας, Γεωργιανὸς ὢν τῷ γένει, τῶν εὐπατρίδων τοῦ Τιπλισίου, ἀνὴρ ἀνδραγαθήμασι περίφημος. Ἐν τῷ μεταξὺ πολλοὶ ἐκατηγόρουν τοῦ Ἀχμέτ-πασα ὡς ῥαθύμως πράττοντος τὰ ἐκεῖ καὶ παραλελοιπότος ἀβοήθητον τὸ Σεγετῖνον.

Τῇ ια' καὶ ιβ' ἤρχοντο πολλοὶ ἀπὸ τῆς μάχης πεζοί τε καὶ ἱππεῖς, ὡς ἀσθενέστεροι βραδέως πορευόμενοι. Ἐγένετο δὲ καὶ θαυμάσιόν τι, ὅτι, φευγόντων τῶν Ὀτμανῶν, τὰ μετ' αὐτῶν πρόβατα καὶ αἱ κάμηλοι σπουδαιότερον ἀνθρώπων ἔτρεχον τὴν ἐπὶ τὸ Βαραδῖνον· μάλιστα αἱ κάμηλοι τῇ τῆς φορᾶς ὁρμῇ ἀποῤῥίψασαι τὰ ἄχθη γυμναὶ καὶ μόναι παμπληθεῖς ἔτρεχον· πολλαὶ δὲ οὐ πρότερον ἵσταντο. Εἰ καὶ αὐτὸν τὸν Δούναβιν διανοίξασαι κατέλαβον τὸ ἄντικρυ μέρος, μιμήσει μὲν ἀνθρώπων οὕτω ποιοῦσαι, ἢ συναισθήσει κακοῦ σωτηρίας ἐφιέμεναι, ἤτοι τῇ τῆς μάχης συγκροτήσει δεδοικυῖαι καὶ ὁρμῆσαι ἀληθῶς φεύγουσαι, προὔβαινον αὐτῶν τῶν ἱππέων γοργότερον φερόμεναι. Κατὰ δὲ τὴν μάχην ὀλίγοι τινὲς τῶν Τουρκῶν ἐλείποντο, πλείους δὲ τῶν Σκυθῶν, ἀμελέστερον καθευδόντων καὶ πρώτως καταληφθέντων, ὥστε πολλοὺς τούτων παντάπασιν γυμνοὺς ἀναβάντας τοὺς ἵππους ἐλθεῖν ἐπὶ τὴν γέφυραν θέαμα ἐλεεινόν. Ὁ δὲ ἐπίτροπος εὐσταθῶς ἐκαρτέρησε παρὰ τῷ Μωχαμετικῷ σημαίῳ, ἐπὶ πολὺ προτρέπων ἅπαντας καὶ ἀνεγείρων εἰς μάχην, ἀλλ' οὐδὲν ἰσχύων. Ἐφεξῆς ὁ ἐπίτροπος, κηδόμενος τῶν πραγμάτων τῆς βασιλείας, τὸν μὲν Ὀσμὰν-πασόγλουν Ἀχμέτ-πασαν διωρίσατο εἰς Μητροβίτζαν, τὸν Καραμὰν-πασασὶ Ὀσμὰν-πασα εἰς Βαραδῖνον, τὸν δὲ Τζερκὲζ Ἀχμέτ-πασαν εἰς Ἐγγουλακῖνον, τὸν Ντελῆ-Ὀμέρ-πασαν εἰς Νέμιτζαν μετά τινων τοῦ Διαρμπεκιρίου, τὸν Δαμασκοῦ Ἰμπραΐμ-πασαν εἰς Τεμισβάριον, ὅπως ἕκαστος τοὺς διωρισμένους τόπους φρουρήσῃ δι' ὅλου τοῦ χειμῶνος. Ὁ δὲ ἐν Σεγετίνῳ Μεχμέτ-πασας, παρα-

www.dacoromanica.ro

δοὺς τὸ Σεγετῖνον τοῖς Γερμανοῖς, μετὰ τῶν περὶ αὐτὸν καὶ τῶν ἐγχωρίων ἐξῆλθε περισωθείς. Εἶχον δὲ καὶ τὸ Πέτσοδον οἱ Γερμανοί, αἰχμαλωτίσαντες τοὺς ἐκεῖ πάντας.

Ἔτι δὲ οἱ Ἑνετοὶ ἐλέγοντο μέλλειν πολιορκῆσαι τὴν Νόδαν, κειμένην παρὰ τῷ αἰγιαλῷ τοῦ Ἑνετικοῦ κόλπου, μεταξὺ Κατάρου καὶ Ῥαγούζης. Ὁμοίως καὶ οἱ Γερμανοὶ ἠπείλουν τῷ Ὀσεκίνῳ. Ὅθεν προσετάχθη ὁ Ὀσμάν-πασόγλους Ἀχμέτ-πασας, ὁ Τζερκὲζ Ἀχμέτ-πασας, ὁ Ντελῆ-Ὀμέρ-πασας ἀπελθεῖν ἐκεῖσε βοηθήσοντες τῷ Χασάν-πασᾳ.

Τῇ ιθ' τοῦ Ὀκτωμβρίου ἐπέμφθη τὸ τοῦϊ εἰς χωρίον ἀντικρὺ τῆς Ἰσχάνκας, κειμένης παρὰ τῷ Δουνάβει, ὅπου κἀκεῖ διατρίψαντες μίαν ἡμέραν ἤλθομεν εἰς Ζέμλιον ἀντίκρυ Μπελγράδου, ὅπου ὁ ἐπίτροπος διένειμε τοῖς ἱππεῦσι τοὺς μισθοὺς αὐτῶν, καίτοι μὴ καθόλου, ἀλλὰ κατὰ μέρος, ἵνα μὴ διασκεδάννυνται. Ἔπνεον δὲ ἐπὶ πολλὰς ἡμέρας σφοδροὶ ἄνεμοι ἀδιακόπως, ὥστε καὶ τὴν γέφυραν διαλυθῆναι. Προσεκύνησε δὲ τῷ ἐπιτρόπῳ ὁ Ῥαγουζαῖος πρέσβυς, δῶρα φέρων, τὰ μὲν ἰδίᾳ ἀργυρᾶ σκεύη, τὰ δὲ δημοσίᾳ τζόχες καὶ ἀτλάζια καὶ ζαχχαρικά.

Τῇ δ' Νοεμβρίου ἤλθομεν ἅπαντες ὁμοῦ εἰς Μπέλγραδον, εἰσαγαγὼν καὶ τὸ Μωχαμετικὸν σημαῖον ὁ ἐπίτροπος μετὰ πομπῆς μὲν καὶ δορυφορίας, ἀλλὰ ταπεινῆς καὶ ὀλιγανθρώπου· ἦν γὰρ παγετὸς μέγας, ὥστε καὶ πολλοὺς πεπηγότας τεθνάναι. Ἐν δὲ τοῖς Μπελιγράδοις ἦν σπάνις τῶν ἀναγκαίων, πενταπλῆς καὶ ἑξαπλῆς τιμῆς πωλουμένων τῶν ἐδωδίμων· ὁμοίως δὲ καὶ οἱ Γερμανοὶ μετὰ τὴν ἅλωσιν, πέρα μὲν τοῦ Δουνάβεως τοῦ Σεγεδίνου, ἔνθεν δὲ τοῦ Πετζόδου καὶ Σιμοντόρνης καὶ Σικλοδισίου, ἐπεστράφησαν εἰς τοὺς διωρισμένους πρὸς ἀπομάχησιν χώρους.

Ἀπὸ τῆς Βασιλευούσης οἱ προσδημοῦντες διηγοῦντο τοὺς τῶν Τουρκῶν σοφιστὰς (οὕτω γὰρ αὐτοὺς καλεῖν βέλτιον εἶναι ἢ σοφούς, ὡς ἀληθῶς ἀσόφους ὄντας) στασιάσαι κατὰ τοῦ κρατοῦντος πολλῶν ἕνεκα, κατηγοροῦντας αὐτοῦ ἀμελείας περὶ τὴν βασιλείαν· ἔτι δὲ ὁ Τουρκικὸς καὶ ὁ Ἑνετικὸς στόλος εἰς μάχην ἐλθόντες, τοῦ ἐνετικοῦ δύο νῆαι βυθισθῆναι, τὰς δὲ λοιπὰς φυγεῖν.

Τῇ ι' Νοεμβρίου, ἤτοι τῇ ε' Μουχαρεμίου, μετὰ σφοδροῦ ἀνέμου πεσούσης μετρίας χιόνος, ἤρξατο χειμάζειν, πρότερον πάχνης πολλῆς πεσούσης καὶ μετρίας χιόνος, λαμπρῶν παρελθουσῶν πολλῶν ἡμερῶν.

Τῇ κ' ἔγινε γιανιτζάρ-αγασὶ ὁ πρώην γιανιτζάρ-αγας καὶ ἔπειτα σερασκέρης Μουσταφάπασας· ἔτι δὲ καὶ ὁ σπαχιλάρ-αγασί, γενόμενος πασᾶς τῆς κατὰ τὴν Δαμασκὸν Τριπόλεως· ἐγένετο δὲ ἀντ' αὐτοῦ ὁ πρώην κεχαγιᾶς Ἰσούφ-αγας, διάγων ἐν τῇ Ἀνδριανουπόλει· ἐπετράπη δὲ τὴν τῶν γιανιτζάρων διάταξιν, εἰς ἀκριβῶς τετελεσμένοις ἐλθεῖν ἐπροστάχθη εἰς Μπέλγραδον. Ὅπως δὲ τῶν προτέρων ἐκστρατειῶν πολυπληθέστεροι συνέλθωσιν, οἱ γιανιτζάροι τοῖς ἁπανταχοῦ κατὰ τὴν Ἀνατολὴν καὶ Δύσιν σερδαρίοις τῶν γιανιτσάρων ἐπιτάγματα βασιλικὰ ἐπέμποντο ἀγγέλλοντα αὐτοῖς καὶ ἐντέλλοντα τὴν κατὰ τῶν Γερμανῶν ἐκστράτευσιν. Ὡσαύτως καὶ οἱ ἐν τῇ μεγάλῃ Τουρκίᾳ καὶ πάσῃ τῇ Μεσοποταμίᾳ καὶ τῇ Κουρδιστανίᾳ συνεκδημῆσαι καὶ καταστρατεῦσαι τῶν Γερμανῶν προσετάττοντο.

## 1687.

Ἔτει 1687-ῳ, Ἀπριλίου δ', ἐξετέθησαν αἱ οὐραί, τὰ λεγόμενα τούϊα, εἰς τὰς αὐλὰς τῶν ἐξουσιαστῶν.

Τῇ ζ' ὁ πρώην μενκουφατζῆς κάλφας καὶ μετέπειτα μπασ-μπακίκουλος, εἶτα ῥουζναμετζῆς, καὶ Κυδωνίας εἶτα πάσης Κρήτης πασᾶς γενόμενος, ὁ βεζίριος Μουσταφά-πασας κατεστάθη μέγας τεφτερδάρης, ὁ δὲ πρὸ αὐτοῦ Ἀλῆ-ἐφέντης ἐγένετο βεζίριος μετὰ τῶν χασίων τοῦ ἀποθανόντος Χουσεῖν-πασα.

Ἔτι δὲ τῇ δ' Ἀπριλίου κατεστάθη βεζίριος καὶ πάσης Αἰγύπτου ἄρχων ὁ πρώην γραφεὺς τοῦ ἀρχιευνούχου καὶ μετέπειτα χαρεμέϊν-μουχασεπετζισί, εἶτα χασεκισί-κεχαγιασὶ Χασάν-ἐφέντης.

Ἤρξαντο δὲ κατὰ μικρὸν ἐπιφοιτᾶν εἰς Μπέλγραδα ἱππεῖς τε καὶ πεζοὶ τῶν βασιλικῶν στρατευμάτων, καὶ ἀνακαινισθείσης τῆς ἐπὶ τοῦ Σάβα γεφύρας ἐπῳκοδομεῖτο καὶ ἡ ἐν τῷ Πε-

www.dacoromanica.ro

www.dacoromanica.ro



τροβαραδίνῳ γέφυρα, ἐπιστατοῦντος τοῦ τῆς Μεσοποταμίας Τζαφέρ-πασα· διηγγέλλοντο δὲ οἱ Γάλλοι καταστρατεύεσθαι κατά τε Γερμανῶν καὶ Ἱσπανῶν.

Τῇ ιδ' ἐξετάθησαν αἱ σκηναὶ παρὰ Βελγράδοις.

Τῇ δὲ ιε' ἐξῆλθε μετὰ μεγάλης πομπῆς ὁ τῶν γαϊνιτζάρων ἀγᾶς, καὶ τῇ ιη' ἱσταμένων ἱππέων τε καὶ πεζῶν ἑκατέρωθεν, διερχόμενοι ὁ μέγας βεζίριος καὶ οἱ λοιποὶ ἐξουσιασταὶ μετὰ τοῦ Μουχαμετικοῦ σημαίου, ἐξῆλθον εἰς τὰς σκηνὰς αὐτῶν, πολλὰς δὲ ἡμέρας διατριψάντων ἐν τῷ αὐτῷ τόπῳ, ἐν αἷς ἤρχοντο ἱππεῖς τε καὶ πεζοὶ ἐξ Ἀνατολῶν καὶ Δυσμῶν.

Τῇ ε' τοῦ Ἰουνίου μηνὸς ὁ ἀγᾶς τῶν γιανιτζάρων Μουσταφά-πασας μετὰ τοῦ κεχαγιᾶ καὶ ἄλλων τζορβατζῆδων, ἀκολουθούσης πάσης τῆς πεζικῆς τῶν γιανιτζάρων, διεπέρασαν τὴν ἐπὶ τῷ Σάβᾳ γέφυραν καὶ κατῆλθον εἰς τὰς σκηνὰς αὐτῶν παρὰ τῷ Ζεμλίῳ.

Τῇ δὲ θ', ἡμέρᾳ Πέμπτῃ, ὅ τε ἐπίτροπος καὶ οἱ λοιποὶ βεζίριοι μετὰ τῆς συνήθους πομπῆς ἐξῆλθον, διαβάντες τὸν Σάβον, στρατοπεδεύσαντες πλησίον που παρὰ τῷ Ζεμλίῳ.

Διηγγέλλοντο δὲ οἱ Γερμανοὶ συναθροίζεσθαι, οἱ μὲν περὶ τὴν Μπούδαν, οἱ δὲ περὶ τὸ Χονοδῖνον, πλησίον που τῆς Ἀγρίας, τῶν μὲν προϊσταμένων Καράφα καὶ Χαϊτέρου ὄντων ἐκεῖ ὡσεὶ δισμυρίων, τῶν δὲ τοῦ Λοταρίγγου ὄντων ὡσεὶ τρισμυρίων. Περὶ δὲ τὸν Βαρβαρικὸν ἐλέκτορα οὐδέπω βέβαιός τις ἐφέρετο λόγος. Τί δ' ἐπιχειρεῖν μελετῷοιεν, πολλῶν ἀβεβαίως φημιζομένων; πιθανώτερον ἐδόκει τοὺς ἐν τῇ Βούδῃ Γερμανοὺς κατιόντας ἀντικρύ που τῆς Βαγίας γέφυραν πήξεσθαι, ἢ ἐπικουρήσαντας τοῖς ἀπὸ Χονοδίνου ἐπὶ τὴν Ἀγρίαν ὁρμήσασι Γερμανοῖς, ἢ ἀμυνομένοις τοὺς Ὀθμανοὺς καὶ βαίνειν τολμήσουσιν ἐπ' αὐτούς.

Ἀπὸ δὲ Μουνκατζίνου ἐξελθόντες ὡσεὶ δισχίλιοι ἱππεῖς τε καὶ πεζοὶ Οὔγγροι, ἥκοντο εἰς Βαραδῖνον συστρατεύοντες μετὰ τοῦ Τεσκολίου· τοὺς δὲ Ἐρδελοὺς ἐκκαλέσων εἰς τὸν κατὰ τῶν Γερμανῶν πόλεμον μετὰ γραμμάτων αὐτοκρατορικῶν ἐπέμφθη ὁ Μεχμέτ-αγας, ὃς καὶ πρότερον πεμφθεὶς πρὸς τὸν Καράφαν κινήσων λόγους περὶ εἰρήνης ἄπρακτος ἐπανῆλθεν. Οὔπω δὲ τῶν ἱππικῶν στρατευμάτων πάντων συναθροισθέντων, προσέμεινον οἱ στρατοὶ παρὰ τῷ Ζεμλίῳ.

Τῇ ιδ' ἐπανῆλθον εἰς τὴν περὶ τὸ Πετροβαραδῖνον γέφυραν οἱ υἱοὶ τοῦ χάνη μετὰ τῶν περὶ αὐτοὺς Σκυθῶν, οἵτινες πορευθέντες εἰς Ἄγριαν, οἱ μὲν σουλτάνοι ἐνεδρεύσαντο τεττάρων ὡρῶν διαστήματι πλησίον που τῆς Ἀγρίας· ὡσεὶ ὀκτακοσίοις δὲ Σκύθαις προελθοῦσι μετὰ τοῦ Ὀσμάν-αγα καί τινων Ἀγριανῶν κομιζόντων τὰ χρήματα, ὑπήντησαν αὐτοῖς οἱ Χαϊσλεριανοί, καὶ μάχην συγκροτήσαντες διέφθειραν πολλούς· τινὲς δὲ εἰσέβησαν εἰς τὴν Ἀγρίαν, τῆς φήμης περὶ τὸν Ὀσμάν-αγα ἀβέβαια δηλούσης· περὶ δὲ τὴν μάχην ἔπεσον καὶ τῶν Γερμανῶν οὐκ ὀλίγοι. Γραμμάτων δέ τινων τοῦ Καράφα διαληφθέντων, δῆλοι ἐγένοντο μετὰ τῶν Βαρβαρικῶν οἱ Καραφιανοὶ πολιορκήσασθαι τὴν Ἀγρίαν, ἤδη σπάνιν ἔχουσαν τῶν ἀναγκαίων πολλήν.

Τῇ ιε' οἱ παρὰ τοῦ Χασάν-πασα ἀποσταλέντες εἰς τὸ στρατόπεδον ἄγγελοι ἐμήνυον τὴν τῶν πολεμίων παρὰ τῷ ποταμῷ τῷ Δράβῳ πέραν τοῦ Ὀσεκίου στρατοπέδευσιν, καί τις Γερμανὸς ἁλοὺς τὰ αὐτὰ ἐκύρου, προσθεὶς ἄττα τῆς ἐκείνων βουλῆς. Ὅθεν, συνελθόντων τῶν ἐξουσιαστῶν, ἔδοξεν αὐτοῖς μέσης τινὸς ἀντέχεσθαι ὁδοῦ, ὥστε ὅπῃ δεήσει ῥᾳδίως τραπῆναι, εἴτε πρὸς τὸ Πετροβαραδῖνον, εἴτε πρὸς τὸ Ἐσεκῖνον.

Ἐν τῷ μεταξύ, τῷ παρὰ τῷ Δράβῳ ποταμῷ, τὸ τῶν Γερμανῶν στρατόπεδον ἤρξατο ταῖς ἑλεπόλεσι καὶ τοῖς ἄλλοις πυραυλικοῖς ὀργάνοις ἀπάντικρυ βάλλειν τὸ Ὀσέκιον. Ἀλλαχόθεν δὲ ἠγγέλλοντο οἱ Γερμανοὶ πρὸς τὸ διαπεράσαι τὸν Δράβον γέφυραν οἰκοδομεῖν. Ὥστε τῇ κγ' τοῦ Ἰουνίου τὸ τῶν Μουσουλμάνων στράτευμα ἀφίκετο ἐν δυσὶν ἡμέραις εἰς τὸ χωρίον τὸ λεγόμενον Ἰσλάνκαμεν, ἄντικρυ τοῦ Τιτέλου, ὅπου ὁ Τίβισκος ποταμὸς ἐπιῤῥέει εἰς τὸν Δούναβιν· κἀκεῖ ἡσυχάσαν μίαν ἡμέραν ἐπεδέξατο τὸν παρὰ τοῦ αὐτοκράτορος ἀποσταλέντα ἐμριχόριον, ὅστις ἐλθὼν τὸν ἐπίτροπον περιεζώσατο ξίφει πολυτίμῳ καὶ βασιλικῇ χλαμύδι διημφιάσατο· τὰ δὲ βασιλικὰ γράμματα, τὰ εἰς μάχην προτρεπτικά, πανδημεὶ ἀνεγνώσθη. Μετὰ ταῦτα δέ, βουλῆς γενομένης, ἔδοξε κατ' εὐθεῖαν ἰέναι τὴν ἐπὶ τὸ Ὀσεκῖνον, ἀνάγκης δὲ ἐπιούσης προμάχεσθαι τῶν σιτοφόρων νηῶν, ἐχομένους τῆς παρὰ τῷ Δουνάβει· ἀμηχάνου δὲ ὄντος τὴν αὐτὴν φέρεσθαι τὰς ἁμάξας, ἐκηρύχθη αὐτὰς μὲν διὰ τῆς πεδιάδος πέμπεσθαι τὴν ἐπὶ Δημητριοβίτζαν, τὸν δὲ ἐπίτροπον βαίνειν τὴν ἐπὶ τὸ Πετροβαραδῖνον. Ἐν τούτοις ἠγγέλθη τινὰς τῶν Γερμανῶν, οὐ μὴν

λίαν πολλούς, ἀφικέσθαι εἰς τὸ Σεγετῖνον, ταῦτα γράψαντος τοῦ ἐν τῷ Πετροβαραδίνῳ καθεστῶτος Τζαφέρ-πασα, τοῦ δὲ Σαούς-πασα καὶ Χασάν-πασα διαγγελλόντων τὴν τῶν πολεμίων ἐπαύξησιν καὶ προσκαλούντων ἐκεῖσε τὸν ἐπίτροπον.

Ἐνταῦθα ἐλθὼν παρὰ τῆς Ἀγρίας ὁ Ὀσμάν-αγας διηγεῖτο τὴν ἐκείνης ἐσχατιὰν ταχίστην ἐπιζητούσης ἐπικουρίαν.

Τῇ κς' ἤλθομεν εἰς Βαραδῖνον, διεστηκὸς ὥρας ἑπτά, ὅπου ἐφ' ἡμέρας δύο εἴχομεν ἡσυχίαν, τὰ τῇδε διατάττοντος τοῦ μεγάλου βεζιρίου. Ἐλθόντων δὲ γραμματοφόρων ἀπὸ Μολδαβίας, ὁ ἐκεῖ ἡγεμὼν ἐλέγετο, καταδραμόντων τῶν Λεχῶν Γιασίου, ἀπελθὼν φυγαδευθῆναι πρὸς τὸν Δούναβιν.

Τῇ κθ' ἀναστάντες ἀπὸ Βαραδίνου ἤλθομεν εἰς χωρίον Κερεβετίον, στρατοπεδεύσαντες πλησίον Δουνάβεως.

Τῇ δὲ λ' τοῦ αὐτοῦ ἤλθομεν εἰς Ἀλατζιαχισάριον, διεστηκὸς ὥρας ὀκτώ, ὅπου ἐθεασάμεθα τὸ Ἴλοκον, ὀχύρωμα θαυμασιώτατον, ἠρημωμένον δέ.

Τῇ δὲ α' Ἰουλίου ἤλθομεν εἰς Σότιν, διεστηκὸς ὥρας τρεῖς, ὅπου καὶ ἐφ' ἡμέρας ἡσυχίαν εἴχομεν.

Τῇ δὲ γ' ἤλθομεν εἰς Βουλκοβάρ, ἐπὶ τοῦ Βάλπου ποταμοῦ κείμενον παρὰ τῷ Δουνάβει. Ἔστι δὲ ὁ Βάλπος σμικρὸς ποταμός, οὐ πόῤῥω τὴν πηγὴν ἔχων, ἐφ' οὗ καὶ ἡ Βάλποβα τὸ κάστρον, οὐ πολλῷ διαστήματι τοῦ Δράβου ποταμοῦ ἔνθεν διεστηκός, ὡς τὸ Σικλοβίσιον πέραν τοῦ αὐτοῦ Δράβου· μεταξὺ δὲ Σικλοβισίου καὶ Βαλπόβας ἐπεπήγει παρὰ τῶν Γερμανῶν ἡ γέφυρα, παρέντων τὴν Τάρβαν κἀπὶ ταῖς δυσὶν ἀκρότησι τῆς γεφύρας στρατοπεδευόντων· καὶ τοὺς μὲν παρόντας οὐ πλείους εἶναι τῶν δισμυρίων ἡ φήμη διήγγελλεν, ἐκδέχεσθαι ὁσημέραι ὡσεὶ δεκαπέντε χιλιάδες ἱππέων τε καὶ πεζῶν μετὰ τοῦ Βαρβαρικοῦ ἐλέκτορος, διαπερούντων τὸν Δούναβιν πρὸς τὴν Βαγίαν.

Τῇ δ' τοῦ αὐτοῦ ἤλθομεν εἰς Δάλον, ὅπου αἱ διαληφθεῖσαι γλῶσσαι διήγγελλον ἀφικέσθαι τὸν Βαρβαρικὸν μετὰ τοῦ περὶ αὐτὸν στρατεύματος εἰς τὸ Σικλοβίσιον.

Τῇ ε' ἤλθομεν εἰς Ὀσεκῖνον, εἰς πομπὴν ἑκατέρωθεν ἑστώτων τῶν στρατευμάτων. Ἦν δὲ ἡ πορεία μεταξὺ δάσους, οὐ πάμπαν εὐρύχωρος. Γενομένης δὲ βουλῆς, διηπορεῖτο πότερον, ἐπιβῆναι ἐχρῆν εἰς τοὺς Γερμανούς, ἢ περιμένειν αὐτοὺς κατὰ τόπον.

Τῇ ϛ' οἱ Γερμανοὶ ἦλθον εἰς Βάλποβαν· οὗ μηνυθέντος ἔγνων οἱ βεζίριοι παραταξαμένους ἐκδέχεσθαι αὐτοὺς ἐν τῷ Ὀσεκίνῳ. Διὸ καὶ ὥρας διαστήματι πρόσω που τοῦ Ὀσεκίου τάφρους ἀνοίξαντες καὶ βομβάρδας μακρὰς διατιθέντες παρεσκευάζοντο εἰς μάχην· ἤγγελλον δὲ καὶ οἱ Βαρβαρικοὶ διαπεράσαντες τὸν Δράβον συστρατοπεδεῦσαι μετὰ τῶν Λοταριγγικῶν. Ἐξεπέμφθη μὲν οὖν πρὸς αὐτοὺς ὅ τε τῆς Σοφίας μπεγλέρμπεϊς Ὀσμαν-πασόγλους Ἀχμέτ-πασας μετὰ τῶν περὶ αὐτὸν Ῥωμαιογενῶν, καὶ ὁ Χασάν-πασας μετὰ τοῦ Ἀνατολικοῦ στρατεύματος, προσταχθέντες πόῤῥωθεν μάχεσθαι καὶ ἀμυνομένους κατασκοπεῖν τὴν τῶν ἐχθρῶν πορείαν.

Τῇ ζ' κατῆλθον οἱ Γερμανοὶ ἄχρι τῆς ξυλίνης γεφύρας, κἀκεῖ μείναντες τῇ ἐπιούσῃ ἡμέρᾳ Παρασκευῇ ἦλθον ἄντικρυ τῶν Τουρκικῶν στρατευμάτων, τῶν ἑκατέρωθεν τολμητιῶν μόνον εἰς χεῖρας ἐλθόντων καὶ μάχης πεῖραν ποιούντων.

Τῇ θ' κατέχοντος τὸ δεξιὸν κέρας τοῦ Βαρβαρικοῦ ἐλέκτορος καὶ ἀνθισταμένου τοῖς βεζιριανοῖς καὶ τοῖς γιανιτζάροις, καὶ πολλῶν ἑκατέρωθεν βολίδων ἀποπεμπομένων, ὁ Λοταρίγγος τὸ ἀριστερὸν ἄγων κέρας ὥρμησεν ἐπὶ τὸν τῆς Ἀνατολῆς Χασάν-πασαν κἀπὶ τὸν Χαλεπίου Σιαούς-πασαν. Τινὲς δὲ τῶν Τουρκῶν ἀντιμαχόμενοι ἐπέβαλον τῇ Κροατικῇ πεζικῇ καὶ ὡσεὶ τετρακοσίων κεφαλὰς ἀπέτεμον· ἐπικουρούντων δὲ τῶν Γερμανῶν, ἐκωλύοντο τῆς περαιτέρω σφαγῆς. Ἐπειρῶντο δὲ οἱ Γερμανοί, εἴ που δύναιντο, τοῖς τάφροις ἐπιβάλλειν· οὐ μὴν ἀποτυχόντες, ἴσως πολλοὺς τῶν τολμηροτέρων ἀπέβαλον κἀπράκτως ἐπενόστουν.

Τῇ ι', ἡμέρᾳ Κυριακῇ, πάλιν τὴν μὲν δεξιὰν κατέχων ὁ Βαρβαρικὸς παρὰ τῷ δάσει, τὴν δὲ ἀριστερὰν ὁ Λοταρίγγος παρὰ τῷ Δράβῳ, ἤρξαντο καταμάχεσθαι κατὰ τῶν Ὀθμανῶν, μὴ δυναμένων δὲ οὐδὲν ἀξιόλογον κατορθῶσαι τῶν Γερμανῶν καὶ πολλῶν ἱππέων τε καὶ ἵππων τοῖς βέλεσι τιτρωσκομένων, τέως ἐτράπησαν, καταλιπόντες συχνοὺς φύλακας κατὰ τὰ νῶτα, καὶ

www.dacoromanica.ro

ἀντεχόμενοι τῆς αὐτῆς ὁδοῦ ᾤχοντο ἐπὶ τὴν γέφυραν· πολλοὶ δὲ Σκυθῶν καὶ Τούρκων κατέτρεχον αὐτούς, αἰχμαλωτίζοντες τοὺς καταλειπομένους καὶ βραδύτερον πορευομένους.

Τῇ ιδ' ὁ τῆς 'Ανατολῆς Χασάν-πασας μετὰ τῶν περὶ αὐτὸν καὶ Σιρμιακῶν καὶ Σαμανδριακῶν στρατιωτῶν ἐκστρατευσάμενος κατὰ τῶν ἐν τῷ Μιχατζίῳ Γερμανῶν, τῶν φυλασσόντων τὰς ἐκεῖ νῆας καὶ τὰ σιτία, πολλοὺς ἐξ ἐκείνων κατέφθειραν, καὶ τὰς κεφαλὰς ἀγαγόντες μετὰ πομπῆς εἰς τὸν ἐπίτροπον στολὰς ἐνεδύθησαν. Ἔτι δὲ καὶ κατὰ τῶν Γερμανῶν, τῶν φυλασσόντων τὸ στόμιον τοῦ Δράβου ποταμοῦ παρὰ τῷ Δουνάβει, ἐξελθόντες προστάγματι τοῦ ἐπιτρόπου οἱ πεζοὶ σεϊμάνοι, ἀπεδίωξαν αὐτοὺς καὶ πολλὰς κεφαλὰς ἤνεγκον, διανοίξαντες τὸν Δούναβιν, ὥστε τὰ σιτοφόρα πλοῖα εἰσπλεῖν εἰς τὸν Δράβον καὶ ἀφικνεῖσθαι εἰς 'Οσέκινον.

Ἦλθον δὲ μετὰ τῶν περὶ αὐτοὺς στρατευμάτων εἰς τὸ βασιλικὸν στρατόπεδον ὅ τε Δαμασκοῦ Χαλὴλ-πασας καὶ ὁ Καραμανίας 'Αλή-πασας, καὶ ὁ Ντιλαβέρ-πασας τοῦ Σαρχάνου, καὶ ὡσεὶ πεντακόσιοι Τουρκουμένοι· κατὰ δὲ τῶν Γερμανῶν ἐπέμφθησαν ὅ τε Κατιτζόγλους καὶ ὁ Μαυρούλογλους Μεχμέτ-πασας μετὰ πολλῶν ἱππέων, ὅπως καταδράμωσιν αὐτῶν.

'Εν δὲ ταῖς μεταξὺ ἡμέραις οἱ Γερμανοὶ διαπεραιώσαντες τὸν Δράβον ἀπῆλθον εἰς Σικλοδίσι, οὐ πόρρω διεστηκός· οὔπω δὲ γνωστὸν ἐγένετο ἅττα μελετῷοιεν. Ἤρξαντο δὲ καὶ ἀπὸ τοῦ Τουρκικοῦ στρατοῦ διαβαίνειν ὅ τε Μαυρούγλης καὶ ὁ Τσίκογλης καὶ ὁ Κατιρτζόγλης καὶ ὁ 'Αλτιπαρμάκογλης, μετὰ τῶν περὶ αὐτοὺς ἱππέων, οἵτινες ᾤχοντο ἐπὶ τὸ Γερμανικὸν στρατόπεδον, κἀκεῖ μηδὲν ἐνεργῆσαι δυνάμενοι ἄπρακτοι ἐπανῆλθον.

Τῇ ιϛ' οἱ Γερμανοὶ ἀπὸ Σικλοβιτζίου καὶ Μοχατζίνου ἀπῆλθον, διὰ τριῶν ἡμερῶν τὴν ἐκεῖσε πορείαν τελέσαντες· ὡσαύτως δὲ καὶ ὁ Τούρκικος στρατὸς ἤρξατο διαβῆναι τὸν Δράβον. Διαληφθέντων δὲ γραμμάτων, νεωστὶ ἐγένετο ἡ ἐν Σικλοβισίῳ δειλία τῶν Γερμανῶν, καὶ οἱ μὲν ἐδεδοίκεισαν, ὅπως μὴ οἱ Τοῦρκοι καταλήσωσι τὰς σιτοφόρους αὐτῶν νῆας· ὃ δὴ καὶ πεπόνθασι, τοῦ Τζερνικίου Χουσεΐμπεϊ τὰς πλείστας αὐτῶν ἀφαρπάσαντος καὶ πλείους τῶν Γερμανῶν διαφθείραντος, καὶ τέτταρας ἑλεπόλεις μικρὰς λαβόντος ἀπὸ τοῦ παρὰ τῷ Δράβῳ Γερμανικοῦ ὀχυρώματος.

Τῇ κα' διέβημεν τὴν ἐπὶ τοῦ Δράβου γέφυραν, στρατοπεδεύσαντες ἐν ὑλώδει τόπῳ, ὅθεν τῇ κγ' περαιτέρω πορευθέντες ἐστρατοπεδεύσαμεν. Οὐ μόνον δὲ πολλὰ ἀνδράποδα ἤγοντο, ἀλλὰ καὶ φυγάδες πολλοὶ παρὰ τοῦ Γερμανικοῦ στρατοῦ ἀφίκοντο· διηγγέλλοντο δὲ οἱ Γερμανοὶ στρατοπεδεύειν παρὰ τῷ τοῦ Σουλεϊμάνου καταγωγίῳ, οὔπω δῆλοι ὄντες τί καὶ βούλοιντο ἂν δρᾶν.

Τῇ κε' ἤλθομεν εἰς Πορνοβαρῖνον, διεστηκὸς ὥρας τέσσαρας ἀπὸ Τάρτας, στρατοπεδεύσαντες παρὰ τῇ διπλῇ γεφύρᾳ, ἤτοι Τζατάλ-κιοπροῦ.

Τῇ δὲ κζ', εἰς δοκιμὴν τοῦ Γερμανικοῦ στρατοπέδου, ὅ τε Χαλὴλ-πασας τῆς Δαμασκοῦ καὶ ὁ Μαυρόγλους μετὰ πολλῶν ἱππέων ἐξέδραμον κατ' ἐκείνων, εὑρόντες παρεσκευασμένους εἰς μάχην, καὶ οὐδὲν ἀξιόλογον κατορθώσαντες, ἐξορμησάντων τῶν Γερμανῶν, ἀπράκτως ἐπεστρέψαντο.

Τῇ λ' οἱ Γερμανοὶ τῆς πρὸς Σικλοβισῖνον ἀντεχόμενοι περὶ τὰ Φρέατα καλούμενον τόπον ἐστρατοπεδεύσαντο, πυρὶ παραδόντες τὸ Μουχατζῖνον καὶ φυγὴν ὑποκρινόμενοι· ἦν δὲ ἀπάτης ἔργον τὸ γενόμενον, ὅπως ἐκκαλέσωσιν εἰς μάχην ἔξω τάφρου τὸ βασιλικὸν στράτευμα.

Τῇ δὲ α' Αὐγούστου, πορευομένων τῶν Γερμανῶν τὴν πρὸς Σικλοβισῖνον καὶ τῶν ἁλόντων ἀνδραπόδων διηγουμένων, ὅτι βούλονται ἐρημῶσαι τὸ Σικλοβισῖνον καὶ τὸ Πετζοβῖνον, εἶτα ἀπιέναι, πολλοὶ τῶν ἱππέων ἐπέμφθησαν κατ' αὐτῶν· καὶ μάχης συγκροτηθείσης, τῶν Γερμανῶν ἐπιστροφὴν ὑποκρινομένων καὶ ἀναχωρούντων μικρόν, ὁ τῆς βασιλείας ἐπίτροπος παρά τινων ἀφελεστέρων λίαν ἀκαίρως καὶ ἀπαρασκεύως δι' ὅλης νυκτὸς πεζούς τε καὶ ἱππεῖς πρὸς χωρίον τὸ λεγόμενον Χαρσάνον σποράδην τε ἔπεμψε, καὶ αὐτὸς ἕωθεν ἐγερθεὶς καὶ προεξαποστείλας τὸν τῶν γιανιτζάρων στρατάρχην ἐπηκολούθησε μετὰ τοῦ λοιποῦ στρατεύματος· ἐπέταξε δὲ καὶ τὰς σκηνὰς καὶ τὰ βάρη μετενεχθῆναι, ὃ δὴ καὶ κεφάλαιον τῆς μελλούσης ἥττης. Πλείστων γὰρ ὄντων τῶν κωλυμάτων καὶ τῶν πρὸς τροφὴν ἀναγκαίων, πεζῶν τε καὶ ἱππέων οἱ πλείους περὶ τὸν τούτων ἀποκομισμὸν ἐνησχολοῦντο· μόλις δὲ τὸ τρίτον μέρος τοῦ στρατεύματος ὥρμησεν εἰς μάχην, οὐδένα που τάφρον καιρίως κατορύξαντες, οὔτε τὰ πυραυλικὰ ὄργανα ἐντόπως διατάξαντες,

www.dacoromanica.ro

ἀλλὰ συγκεχυμένως καὶ διεσχισμένως ὡσεὶ πρὸς φεύγοντας ἀτάκτως καταδραμόντες εὗρον τοὺς Γερμανοὺς εὐτάκτως ἑστῶτας· τῷ δὲ ἀνελπίστῳ τῆς τῶν Γερμανῶν ἰσχυρᾶς ἀντιπαρατάξεως καταβεβλημένοι, οὔτε ὁρμᾶν εἶχον, οὔτε ἐπιστραφῆναι περιεσκεμμένως, ἀλλά τινες αὐτοθελῆται ἐπὶ τοὺς Γερμανοὺς προχωροῦντες ἢ βουλήσει κατέπιπτον, ἢ κακῶς ἐπανήρχοντο· οἱ δὲ πλείους ποῤῥωτέρω ἵσταντο ἀπράκτως, ἐφ' οὓς οἱ Γερμανοὶ διΐθυναν τὰ πυραυλικὰ ὄργανα καὶ τὰς μικρὰς βομβάρδας, ὥστε πολλοὺς τῶν στρατιωτῶν πλείους δὲ τῶν ἱππέων καταπίπτειν, μηδὲ ἀνταμύνασθαι δυναμένους, οὔτε βοηθεῖν ἑαυτοῖς. Προϊούσης δὲ τῆς ἡμέρας, πρὸς τὴν ἑσπέραν οἱ μὲν Τοῦρκοι τῷ τε κόπῳ τῆς παρεληλυθυίας καὶ ἐνεστώσης ἡμέρας καὶ τῷ δίψει καὶ τῇ πίνῃ καταδαμασθέντες, ἤρξαντο ἐπινοστεῖν καὶ καταλείπειν τὰ σημαῖα αὐτῶν. Ἰδόντες δὲ τὴν τούτων ἐπιστροφὴν οἱ Γερμανοί, ἀπό τε τοῦ δεξιοῦ καὶ ἀριστεροῦ κέρατος διὰ τῶν δάσεων πολλὰς ἴλας κατέπεμψαν, ἀπὸ τῶν νώτων ἐπιβαλλούσας τοῖς Τούρκοις. Τὸ δὲ μέγα τάγμα, τὸ τὴν μέσην ἔχον, ἐξηπλωμένον ἠρέμα κατὰ πρόσωπον ἐπήρχετο, μάλιστα ταῖς βομβάρδαις εὐστόχως χρώμενον, ὥστε τοὺς μὲν προμαχομένους ἱππεῖς μετὰ τῶν πασῶν καὶ ἐπιστατῶν εἰς φυγὴν τραπέντας ἐπανακάμψαι καὶ τὸ μὲν πρῶτον τοὺς γιανιτζάρους καὶ τζεμπετζίους οὐδενὸς λόγου τάφρους κατορύξαντας καὶ βομβάρδαις τισὶ χρῆσθαι πειρωμένους ἐπὶ τοὺς συγγενεῖς ἱππεῖς πολλὰς ἐκκρούσασθαι βολίδας, ὅπως ἂν ἐπιστραφῶσι πρὸς τὴν μάχην καὶ μὴ καταλίπωσιν αὐτούς· οἱ δὲ ὀλίγον ἀνακαμφθέντες, πάλιν ὥρμησαν ὀπίσω, τάφρους τε ὑπερπηδήσαντες καὶ πολλοὺς τῶν πεζῶν καταπατήσαντες. Τὸ δὲ χεῖρον, καθοραθέντων τῶν Γερμανῶν ὄπισθεν ἑκατέρωθεν ἐξιέναι ἀπὸ τῶν δασῶν, ἤρξαντο πάντες φεύγειν ἀριδήλως, πεζοί τε καὶ ἱππεῖς ὁμοῦ, καὶ προσελθόντες εἰς τὰς σκηνάς, οὐδαμῶς φροντίζοντες τῶν οἰκείων πραγμάτων, παρέτρεχον ἀκαθέκτως. Ἦν δὲ πολὺς ὁ θόρυβος, τῶν μὲν κεκτημένων τῆς οἰκείας σωτηρίας ἐπιμελεῖσθαι, τῶν δὲ ἀκτημόνων ἁρπαζόντων τὰ ἀλλότρια, τῶν πεζῶν καταλαβόντων τοὺς ἀδυνάτους ἱππεῖς καὶ ἐπικαθεζομένων τοῖς ἵπποις ἐκείνων, πολλοὺς δὲ πεζοὺς εὐδιακριτώτερον ὄπισθεν προσκαθεζομένους τοῖς ἱππεῦσι καὶ λίαν στενῆς οὔσης τῆς ὁδοῦ ὠθεῖν τε ἀλλήλους καὶ ὠθουμένους σπουδαίως καταφεύγειν. Ὀλίγων τινῶν Γερμανῶν ἐπακολουθούντων, τῶν δὲ πλειόνων ἠρέμα βαινόντων, κατέλιπον οἱ Ὀθωμανοὶ τὰ πλείω τῶν βαρῶν καὶ πάσας τὰς σκηνὰς καὶ τὰς βομβάρδας, ὡς ἑκατὸν οὔσας, καὶ τὴν πολεμικὴν παρασκευήν, ὀλίγων τινῶν πεσόντων τε καὶ ἁλόντων. Ἡλίου δὲ δύοντος καθήκοντο εἰς τὴν γέφυραν παρὰ τῷ Ὀσεκίῳ· εὑρόντες δὲ τὰς θύρας κεκλεισμένας, ἀθυμοῦντες ἐκεῖ δι' ὅλης τῆς νυκτὸς δεδοικότες περιέμενον. Ἕωθεν δὲ ἤρξαντο διαπερᾶν τὴν γέφυραν, πολλῶν δὲ ἅμα συνωθουμένων (τίς διηγήσεται τὸν θόρυβον, τὰς στενοχωρίας, τὰς κραυγάς;), μόλις δυσὶν ἡμέραις διαπερᾶσαι εἶχον· τοσοῦτον ἦν τὸ πλῆθος. Ἐπανελθόντες δὲ καὶ καθίσαντες χωρὶς σκηνῶν, χωρὶς τῶν ἀναγκαιων, ἤχθοντο ἐπὶ τῇ συμφορᾷ, ἀλλήλοις κατηγοροῦντες καὶ μεμφόμενοι, οἱ μὲν στρατιῶται τοὺς στρατηγοὺς αὐτῶν, οἱ δὲ στρατηγοὶ τοὺς στρατιώτας.

Παρελθουσῶν τινῶν ἡμερῶν, ἠβουλήθη ὁ ἐπίτροπος φύλακας εἰσβαλεῖν τῷ Ὀσεκίνῳ· ἐπιτάξας δὲ τοῖς Ἀνατολικοῖς ἐμμεῖναι τῷ φρουρίῳ ὡς καὶ πρῶτον, συχνοὶ συνελθόντες ἀντεῖπον, ἀλλ' ἀπεβλήθησαν κακῶς, καὶ τῶν Ἀνατολικῶν ἀλαμπεΐδων συσχεθέντων οὐκ εἶχον ἀντιλέγειν. Ὑπονοοῦντος δὲ τοῦ ἐπιτρόπου ἀρχηγὸν εἶναι τῆς στάσεως τὸν τῆς Ἀνατολῆς Χασάν-πασαν, οὗτος μὲν καθείλετο, ἀντ' αὐτοῦ δὲ ὠνομάσθη ὁ Μαυρούμογλους Γγιορτζῆ Μεχμέτ-πασας καὶ τὴν φυλακὴν τοῦ φρουρίου ἐπετράπετο. Μετὰ δὲ ταῦτα ἀναστὰς ὁ στρατὸς ἐπεστράφη εἰς Πουλκουδαρῖνον, κἀκεῖ τινὰς ἡμέρας διέτριψεν. Ἠγγέλλοντο δὲ οἱ Γερμανοί, διαβάντες πρὸς τὴν Βάγιαν, μέλλειν κατέρχεσθαι πρὸς τὸ Βαραδῖνον, ὥστε τὸν ἐπίτροπον καταλιπόντα τοὺς πεζοὺς καὶ τὸ ὀρδίον, καταστήσαντα ἐπ' αὐτοὺς τὸν τοῦ Χαλεπίου Σιαούς-πασαν μετὰ τῶν ἱππέων καὶ τῶν λοιπῶν πασῶν ἐλθεῖν εἰς τὸ Βαραδῖνον. Ἦν δὲ πολὺς ὁ γογγυσμὸς τῶν στρατιωτῶν κατ' αὐτοῦ καὶ πάντες περιεφρόνουν αὐτοῦ.

Τῇ δὲ κδ' ἠγγέλλοντο οἱ Γερμανοὶ ἐλθεῖν καὶ στρατοπεδεῦσαι ἄντικρυ τοῦ Ἐρτουτίνου παρὰ τὸν Δούναβιν, ὥστε ἀπορεῖν τοὺς Ὀθωμανούς, τί ἂν καὶ δράσωσι, τῶν Γερμανῶν κἄν τε κατερχομένων εἰς τὸ Βαραδῖνον, κἄν τε διαπερασάντων πάλιν τὸν Δούναβιν, ἀμηχάνως ἔχοντας πρὸς ἀντιπαράταξιν. Ἀλλά τινες τῶν Τεοκολιανῶν ἀπὸ τοῦ Γερμανικοῦ στρατοπέδου ἐπαναστρέ-

www.dacoromanica.ro

ψαντες ἤγγειλαν τοὺς Γερμανοὺς πάλιν τὴν ἐπὶ Βαγίαν ἰέναι, ὥστε τὸν ἐπίτροπον μελετῆσαι ἐκπέμψαι κατ' αὐτῶν τὴν ἱππικὴν ὅλην.

Τῇ δὲ κε' ἤρξατο διαπερᾶν ἐκ τῆς τοῦ ἐπιτρόπου προσταγῆς πᾶσα ἡ ἱππικὴ ἡ κατὰ λόχας· στρατηγὸς δὲ αὐτῆς ὠνομάσθη ὁ Τζαφέρ-πασας τῆς Μεσοποταμίας, ἤτοι Διαρμπεκιρίου. Ὁ δὲ ἐπίτροπος καθίσας ἔν τινι ἀνωγαίῳ παρὰ τὸν Δούναβιν κατέγραφε τοὺς σιπάχους, ὀργιζόμενος αὐτοῖς καὶ καθυβρίζων ἀτόπως· οἱ δὲ διαπεράσαντες τὴν γέφυραν τοῦ Πετροβαραδίνου ἐκάθηντο ἄνευ σκηνῶν, ὕοντος δὲ κατεβρέχοντο, ὥστε ἀθυμεῖν. Πρῶτον δὲ διορισθέντων τῶν τροφίμων ἐπὶ τέτταρας ἡμέρας, εἶτα δὲ αὐξηνθέντων ἐπὶ δέκα καὶ φήμης φερομένης τῆς ἐπὶ τὴν Ἀγρίαν πορείας, ἤρξαντο στασιάζειν, τῷ τε διαστήματι καὶ τῇ τῶν πολεμίων ἀντιπαρατάξει ἀχθόμενοι.

Τῇ κϛ' οἱ σεϊμπάνιοι μετὰ τῶν σιπαήδων συνωμώσαντο, τῶν σεϊμπανίων ἀρχηγοῦντος τοῦ Γεγέν-πασα, τῶν δὲ σιπάχων τοῦ Κιουτζιοὺκ Μεχμέτ-αγα, ὥστε διὰ νυκτὸς ἐκφυγεῖν τὸν Τζαφέρ-πασαν καὶ τὸν τοῦ βεζιρίου κεχαγιᾶν Μεχμέτ-αγαν, τῆς στάσεως ἤδη προελθούσης καὶ μὴ δυναμένης κατασχεθῆναι. Ἕωθεν δέ, Παρασκευῆς οὔσης ἡμέρας, ἐπανέβησαν ὁρμήσαντες ἐπὶ τὴν γέφυραν πρῶτον οἱ σιπάχοι, μετὰ δὲ καὶ οἱ σεϊμπάνιοι καὶ οἱ λοιποὶ πάντες· οὐ μὴν δὲ διεσπάρησαν, ἀλλὰ συνελθόντες ἀντικρὺ τῶν σκηνῶν ἐστασιάζοντο, ἄγοντες τὰ σημαῖα καὶ καταζητοῦντες τὸν ἐπίτροπον καί τινας τῶν περὶ αὐτόν, προβάλλοντες τὴν στέρησιν τῶν ὀφειλομένων αὐτοῖς χρημάτων καὶ πολλῶν ἕνεκα κατηγοροῦντες ἐκείνου.

Ὁ μὲν οὖν ἐπίτροπος ἤρξατο ὑπισχνεῖσθαί τισι χρημάτων καὶ δόσιν ἀναγκαίων, ἀλλ' εἰς οὐδὲν ἴσχυεν, πολλαπλασιαζομένων τῶν στασιαστῶν καὶ τῆς στάσεως προϊούσης. Δεδοικότες οὖν οἱ περὶ τὸν ἐπίτροπον, πρῶτον ὥρμησαν ἐπὶ τὸ φρούριον, ἐκεῖ δὲ μηδὲ ὕδατος ὄντος, μηδὲ τῶν πρὸς τροφὴν ἀναγκαίων, μηδὲ πιστῶν φυλάκων, πάλιν ἀπὸ τοῦ φρουρίου ἐτράποντο ἐπὶ τὴν γέφυραν· κἀκείνην διαβάντες, ὁ ἐπίτροπος, ὁ γιανιτζάραγας Μουσταφά-πασας, ὁ δεφτερδάριος Σεΐτ Μουσταφά-πασας, ὁ Δαμασκοῦ Χαλήλ-πασας, ὁ μουλᾶς τοῦ ὀρδίου, ὁ ῥεΐς-ἐφέντης καί τινες τῶν περὶ αὐτόν, πρῶτον μὲν ἔμειναν ἄντικρυ διατάξαντες ὡσεὶ πεντακοσίους πεζοὺς σεϊμπάνηδες ἐναντίον τῶν ἐπιβαλεῖν αὐτοῖς πειρωμένων· ὅταν δὲ πάλιν εἶδον τὸ ἀκάθεκτον τῶν ἱππέων, εὐθὺ πρὸς αὐτοὺς εἰσβάλλειν ἐπιχειρούντων, δεδοικότες εἰσέδυσαν εἴς τινα εἰς τοῦτ' αὐτὸ προπαρεσκευασμένα πλοῖα, καὶ εἰρεσίᾳ ταχυτάτῃ ἔφυγον εἰς Μπέλγραδον, συχνὰς βολίδας κατ' αὐτῶν ἀφιέντων τῶν στρατιωτῶν. Καὶ οἱ μὲν οὕτως ἀπέπλευσαν, οἱ δὲ περὶ αὐτοὺς πάλιν, ἐπὶ τὴν γέφυραν ἐλθεῖν πειραθέντες, οἱ μὲν ἐγυμνοῦντο καὶ ἐῤῥαπίζοντο παρὰ τῶν στρατιωτῶν, οἱ δὲ καὶ ἐτιτρώσκοντο, ὡς ὁ Καρα-Χασάνος, οἰκεῖος τῷ ἐπιτρόπῳ· οἱ δὲ ἄλλοθι ἐτράποντο περινοστήσαντες, ὡς ὁ κεχαγιᾶς Τοσοὺν Μεχμέτ-αγας. Πρὸς δὲ τῇ γεφύρᾳ πολλὰ δεινὰ ἔπαθον ὅ τε Νισαντζῆ Ζουλφικὰρ-ἐφέντης καὶ ὁ τζιαούς-μπασις Μουσταφά-αγας· μόλις δὲ διέδρων ἅπαντες. Οἱ μετὰ τοῦ ἐπιτρόπου ἀνιώμενοι ἄχρι τῆς ἑσπέρας ἐν ὅπλοις ἵσταντο μηδένα βλάπτοντες, τοῦ Σερτζεσιμὲ Γεγέμπεγι περιερχομένου καὶ τῇ σωτηρίᾳ πάντων ἐπικειμένου καὶ προστατοῦντος.

Τῇ δὲ κζ' ἅπαντες συνελθόντες βεζίριοί τε καὶ πάσοι καὶ ταγματάρχαι ἱππέων καὶ πεζῶν, καὶ κοινολογήσαντες περὶ τῶν καθεστώτων πραγμάτων, ὁμοφώνως στρατηγὸν ἐξελέξαντο καὶ διοικητὴν τὸν τοῦ Χαλεπίου Σιαούς-πασαν, ἄνδρα σοβαρόν, φιλαλήθη, ἔμπειρον τῶν πολεμικῶν, καὶ πορευθέντες εὗρον πόῤῥω που στρατοπεδεύοντα καὶ προσεκάλεσαν αὐτόν· ὁ δὲ μηδαμῶς στέργων ἐβούλετο πρῶτον συνθήκας τινὰς συντεθῆναι, ὧν τὸ μὲν ἦν μὴ ὁρμᾶν εἰς φόνους μήτ' ἐκζητεῖν τινα παρανόμως, τὸ δὲ πείθεσθαι καὶ μὴ ἀνθίστασθαι, εἴ τις κατὰ νόμους δικάζοιτο ἐκ τῶν στρατιωτῶν· τὸ δέ, εἰ καταδρομὴ γένοιτο πολεμίων, ἀντιπαρατάττεσθαι προθύμως. Τῶν τοιούτων δὲ συνθηκῶν κυρωθεισῶν, ἐδέξατο ὁ Σιαούς-πασας τὴν προστάτευσιν, καὶ ἐλθὼν ἐκαθίσατο ἐν τῇ μεγάλῃ σκηνῇ, ἀρξάμενος τῆς στρατηγίας, ἅμα δὲ ἐν τῷ στρατῷ οὐδεὶς ἦν θόρυβος, οὔτε ταραχή, ἀλλ' ἡσυχία καὶ ἀσφάλεια, οὔτε ἀπειλοῦντος τινός, οὔτε δεδοικότος, ἀλλὰ πάντων ἐπαινούντων τὸν νέον προστάτην.

Τῇ δὲ κη' πάντες βεζίριοί τε καὶ πάσοι καὶ ταγματάρχαι συνῆλθον ἐν τῇ μεγάλῃ σκηνῇ καὶ πολλῶν ἕνεκα κατηγόρησαν τὸν Σουλεϊμάν-πασαν, καὶ κοινῇ γνώμῃ ἔγραψαν κατ' αὐτοῦ πρὸς τὸν κραταιὸν βασιλέα, ψηφήσαντες πρέσβεις δισσοὺς ἀνὰ ἕκαστον τάγμα· οἷς ἅπασι προϋ-

www.dacoromanica.ro

τάξαντο τὸν πρώην μουτεφερεκάμπασι Χατζῆ-Χουσεΐν-αγα, λόγιον ὄντα καὶ τῶν πραγμάτων εἰδήμονα. Ἦν δὲ κεφάλαια τῶν κατηγοριῶν τοῦ Σουλεϊμάν-πασα δι' ὅλου τοῦ χειμῶνος καταγράφειν τοὺς σιπάχους, ἐρευνᾶν ὀμμάτων καὶ πώγωνος χρόαν, καὶ σώματος μῆκος καὶ ὄψιν καὶ ἡλικίαν, καὶ τοῖς τοιούτοις καταστηλιτεύειν αὐτούς, ἀσυνήθη μὲν πολλὰ δρῶντα, τὰ δὲ συνήθη χρήματα μὴ δόντα μηδ' αὐτοῖς, μηδὲ τοῖς πεζοῖς, κακῶς δὲ χρῆσθαι τοῖς πολεμικοῖς πράγμασι καὶ τὴν κατ' ἐχθρῶν νίκην ἀλόγως διαφθείραντα, τὸν μὲν στρατὸν παρὰ τὴν κοινὴν βουλὴν ἐξάγων πέρα τοῦ Δράβου ποταμοῦ, καὶ εἰς τοὺς Γερμανοὺς ἀπαρασκευάστως ἄγοντα καὶ εἰς τόπους στενοὺς ἐμβάλλοντα καὶ ταύτῃ διασχίζοντα τὸν στρατόν, ὥστε τὴν τῶν σκηνῶν φορὰν καὶ μάχην περὶ τὸν πόλεμον ἀσχάλλοντα καὶ φερόμενον ἀτάκτως συγχέειν τὰ πράγματα, πρότερον μὲν τῆς Ἀγρίας οὐδένα λόγον ποιήσαντα, ὕστερον δὲ τὸν στρατὸν γυμνὸν ὄντα ἐξάγειν ἐπιχειροῦντα, ἔτι δὲ ἀνδρῶν ἁπάντων ψευδέστατον εἶναι καὶ φειδωλότατον καὶ χαριεπέστατον καὶ ἀπερισκεπτότατον. Ἅπαντα περιγράψαντες καὶ ταῖς σφραγῖσι κυρώσαντες καὶ τὸν μὲν Σιαούς-πασαν ἐπαινέσαντες, τὴν δ' αἵρεσιν εἰς τὸ ἐπιτροπικὸν ἀξίωμα τῷ βασιλεῖ ἐπιτρέψαντες ἐξαπέστειλαν τοὺς πρέσβυς αὐτῶν τῇ κθ'· οἵτινες εἰς δύο πλοῖα ἐμβάντες ὡπλισμένοι καλῶς ἀπῆλθον εἰς τὴν Βασιλεύουσαν, καὶ ὁ μὲν Σουλεϊμάν-πασας ἐν τοῖς Βελγράδοις ἐμφόβως ἐκάθητο, τῶν ἐντοπίων ἀηδῶς ἐχόντων, καὶ τὴν στρατηγίαν διὰ γραμμάτων ἐπετρέψατο τῷ Σιαούς-πασᾳ, αὐτὸς δὲ ἠπορηκὼς οὐκ εἶχέ τι δρᾶν.

Ἀφίκοντο ἐν τῷ μεταξὺ εἰς Βέλγραδα ὑπηρέται τινὲς γράμματα κομίζοντες προσκαλεστικὰ εἰς τὸ στρατόπεδον πρὸς τοὺς κυρίους αὐτῶν· ἦσαν δὲ πλείους πεντήκοντα, οὓς οἱ τοῦ Σουλεϊμάν-πασα φύλακες ἰδόντες, τὴν μὲν ἄφιξιν αὐτῶν κατεμήνυον, τὴν δὲ αἰτίαν ὡς ἀπὸ τῶν πραγμάτων ὀλέθριον εἶναι οἴκοθεν τεκμαιρόμενοι καθυπέθεντο, ὥστε τὸν Σουλεϊμάν-πασαν ἔμφοβον ὄντα καὶ δεδοικότα τὰ ἔσχατα πάλιν τὸ Μωχαμετικὸν σημαῖον ἀφαρπάσαι καὶ εἰς πλοῖον ἐμβῆναι καὶ φυγεῖν πρὸς τὴν Βασιλεύουσαν, ἀκολουθησάντων αὐτῷ τοῦ δεφτερδαρίου Σεΐτ-Μουσταφά-πασα καὶ τοῦ ῥεῒς-ἐφέντη Μεχμέτ-μπεϊ, καὶ τοῦ ἐν Μπελιγράδοις Χουσεΐν-πασα καὶ τινων τῶν ἄλλων οἰκείων.

Τῇ λ' ἐπεστρέψαντο εἰς τὸ στρατόπεδον ὁ Μεσοποταμίας Τζαφέρ-πασας, ὁ Δαμασκοῦ Σαλήχ-πασας, ὁ σιλικταρίων ταγματάρχης Σουλεϊμάν-αγας καὶ ἑξῆς ὁ γιανιτζάρων ἀγᾶς Μουσταφά-πασας, ὁ Μουζούρ-αγας, ὁ κριτὴς τοῦ στρατοπέδου· οἵτινες καταλιπόντες τὸν Σουλεϊμάν-πασαν, ἕκαστος εἰς τοὺς οἰκείους ἐπανῆλθε, καὶ κατὰ μὲν τὸ δοκοῦν ἦσαν ἅπαντες οἱ ἐν τῷ στρατοπέδῳ ἐν ἡσυχίᾳ, ἀλλ' ὅμως ἕκαστος ἐλήρει οἷα δὴ καὶ ἐβούλετο, ταράττων τὸ κοινὸν καὶ συνθολῶν τὰ πράγματα, ὥστε τοῖς μὲν τιμίοις πολλὴν ἐγγίνεσθαι ἀθυμίαν, τοῖς δὲ φαύλοις τόλμαν τε καὶ θάρσος.

Τῇ β' Σεπτεμβρίου ἀγγελίας γενομένης τινός, τῶν Γερμανῶν ἀπὸ τοῦ Ἰλλυρικοῦ στρατοπεδεῦσαι πρὸς τὴν Βιροβίτιτζαν, βουλῆς γενομένης ἐν τῇ μεγάλῃ σκηνῇ καὶ συνελθόντων τῶν ἐγκρίτων, ἀνῃρέθη στρατηγὸς ὁ τῆς Καραμανίας Ἀλή-πασας, ὁ Τουρκμενίων Ἀλή-μπεϊς, μετὰ τῶν μπεσλίων Μεχμέτ-αγας καὶ ἄλλοι συχνοί, καὶ ἐξεπέμφθησαν εἰς Ῥαχοβίτζαν.

Ἔτι δὲ ἠγγέλλοντο οἱ Ἐνετοὶ μετὰ πολλοῦ στόλου προσπελάσαι ὀχυρώματι τῷ λεγομένῳ Νόβῳ, τῷ ἐν τῷ Ἀδριατικῷ κόλπῳ κειμένῳ, ὥστε πρὸς βοήθειαν αὐτοῦ βασιλικοῖς ἐπιτάγμασι παροτρύνεσθαι τοὺς πρόσω τυγχάνοντας. Καὶ γάρ, τοῦ πρώην δεφτερδαρίου Μεχμέτ-πασα Πελοπόννησόν τε καὶ τὰ προσπελάζοντα μέρη θαλάσσια φρουρεῖν ἐπιτετραμμένου, οἱ πλείους τοῦ βασιλικοῦ στρατοῦ διεμερίσθησαν· πανταχόσε γὰρ ἐπηπείλει ὁ Ἐνετικὸς στόλος ποιῆσαι τὴν ἔκβασιν. Αὐτὸς δὲ ὁ Μεχμέτ-πασας μετὰ τοῦ περὶ αὐτὸν στρατοῦ, οὐ πολλοῦ ὄντος, ἵστατο περὶ τὰ Καστέλλια ἐν τῇ Πελοποννήσῳ. Βιαίου δὲ πνεύσαντος ἀνέμου, αἱ Ἐνετικαὶ τριήρεις νυκτὸς εἰσέπλευσαν μεταξὺ Ναυπάκτου καὶ Καστελλίων, καὶ τοῦ κόλπου κρατήσασαι διεῖλον τοὺς ἑκατέρωθεν ἱσταμένους Τούρκους, ὥστε μὴ δύνασθαι βοηθεῖν ἀλλήλοις. Ἐκ δὲ τοῦ λοιποῦ στόλου ἐξελθοῦσα εἰς τὴν στερεὰν πᾶσα πεζική τε καὶ ἱππική, ἐπέβαλον τῷ Τουρκικῷ στρατεύματι, καὶ σφοδροῦ πολέμου γεγονότος καὶ τῶν Πελοποννησιακῶν εἰσβαλλόντων εἰς τὰς σκηνάς, οἱ Τοῦρκοι ἀποκεκμηκότες εἰς φυγὴν ἐτράποντο· ἁλούσης ἐν τῷ μεταξὺ τῆς Παλαιᾶς Πάτρας καὶ τῶν Καστελλίων, οἱ ἐν τῇ Ναυπάκτῳ φρουροὶ καὶ οἰκήτορες ἰδόντες τὴν τῶν ὁμοφύλων

www.dacoromanica.ro

ἥτταν καὶ φυγήν, ἔμφοβοι γενόμενοι καὶ τῶν πραγμάτων ἀπογνωσθέντες, καταλιπόντες τὴν Ναύπακτον πρὶν πολεμηθῆναι, αἰσχρῶς κατέφυγον, ὥστε ἀναιμωτὶ τοὺς Ἐνετοὺς ἑλεῖν τὸ φρούριον, περίφημον ὂν καὶ χρήσιμον αὐτοῖς. Ταῖς τοιαύταις οὖν ἀγγελίαις λίαν ἐλυποῦντο οἱ τῆς βασιλείας διοικηταὶ καὶ μονονοὺ ἐν ἀπονοίᾳ ἐγένοντο, εἰ μὴ τὸν τῆς χερσονήσου κρατοῦντα νίκην ἑλεῖν κατὰ τῶν Μόσχων, πολυπληθῶν ὄντων καὶ ὑπερηφάνως κατὰ τῆς χερσοννήσου ἐκστρατευσάντων, πάνυ λαμπρὰ γράμματα ἐκεῖθεν ἐλθόντα ἐδήλου.

Τῇ δὲ γ' Σεπτεμβρίου πάλιν ἐν τῷ βασιλικῷ στρατῷ στάσεως γενομένης, οἱ τῶν στασιαστῶν προϊστάμενοι, εἴτε τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς, εἴτε τῆς τοῦ κράντορος ὀργῆς ἕνεκα, δεδοικότες καὶ τῆς σωτηρίας αὐτῶν κηδόμενοι ἐβουλεύσαντο ἐπαναστρέψασθαι, ὥστε τοῦ Σιαούς-πασα ἀπανηγναιμένου ποικίλα μελετᾶν. Ὁ γοῦν Σιαούς-πασας μὴ δυνάμενος ἀντειπεῖν, τῇ μὲν δ' ὁ γιανιτζάραγας μετὰ τῶν περὶ αὐτόν, τῇ δὲ ε' ὁ τοποτηρητὴς μετὰ τοῦ λοιποῦ στρατοῦ ᾤχοντο εὐθὺ πρὸς Μπέλγραδα, πολλῇ κατεχόμενος ἀθυμίᾳ, παρά τε τοῦ βασιλέως δεδοικὼς καὶ τῶν στασιατῶν καὶ ἀμηχάνως ἔχων ὅπως ἂν χρήσαιτο τοῖς πράγμασιν.

Ἐν δὲ τῷ Βαραδίνῳ ἔμεινεν ὁ τῆς Μεσοποταμίας Τζαφέρ-πασας καὶ ὁ Δαμασκοῦ Σαλήχ-πασας καὶ ὁ Τεοκολῖος, μεθ' οὗ κἀγὼ ὀλίγον ἡσυχάσων πόρρω θορύβων καὶ κινδύνων προσέμεινον, ἄδειαν λαβὼν παρὰ τῶν βεζιρίων ὑπερασπιζομένων τε καὶ συναιρούντων εὐμενῶς.

Τῇ δὲ ϛ' ὁ Σιαούς-πασας ἐστρατοπεδεύσατο παρὰ τῷ χωρίῳ τῷ λεγομένῳ Ἰσλανκάμεν, τέτταρας ὥρας διεστηκότι ἀπὸ Βαραδίνου, ὅπου ὁ Τζαφέρ-πασας λύσας τὴν γέφυραν καὶ πέμψας εἰς Βέλγραδα τὰς βομβάρδας ἐκάθητο προσδοκῶν τί ἂν καὶ ἀποβαίη ἐν τῷ στρατῷ, τοῦ μὲν Σιαούσου τὴν ἐπιμονὴν ἔνθεν τοῦ Σάβου ποταμοῦ μηχανωμένου, τῶν στασιαστῶν τὴν διαπεραίωσιν ἐγκυμονούντων. Ἦν δὲ τῷ μὲν Σιαούς-πασᾳ προσδοκᾶν τὰς παρὰ τῆς Βασιλευούσης ἀποκρίσεις, τοῖς δὲ στασιάζουσι πρὶν χειμῶνος ἐλθεῖν ἐν τόποις ἀσφαλεστέροις γενέσθαι. Ἐν τούτῳ δὲ ἠγγέλλοντο οἱ Γερμανοὶ στρατοπεδεῦσαι παρὰ Σεγετῖνον, τὸ παρὰ τῷ Τιβίσκῳ ποταμῷ, καὶ τὴν γέφυραν ἤδη πεπηγέναι, οὔπω δήλου ὄντος πῇ βούλοιντ' ἂν ἰέναι, τῆς ὥρας πολλὴν ἄδειαν οὐχ ἧττον ἢ τῆς στάσεως τῶν Τουρκῶν συγχωρούσης τοῖς Γερμανοῖς.

Ταῖς δὲ ἐπιούσαις ἡμέραις κἂν τε τῇ τοῦ στρατοῦ βίᾳ κἂν τε ἐνδομυχούσῃ συγκλίσει πάντες ἐξορμήσαντες ἐπορεύθησαν εἰς τοὺς μύλους, κἀκεῖ μείναντες τῇ ὑστεραίᾳ καὶ τῇ ἑξῆς ἀπῆλθον εἰς Ζέμλιον παρὰ τῷ Σάβῳ. Πολλῶν δὲ πεζῶν καὶ ἱππέων βουλομένων διαπερᾶσαι τὴν γέφυραν, ὁ Χασεκῆ-Μουχαρέμ-αγας, φύλαξ ὢν Βελγράδων, βομβάρδαν ἐμπλήσας πυρίου κόνεως καὶ ἀχύρου, ἀφῆκε κατὰ τῶν ἐπιβαινόντων· ὡς δὲ οὐδὲν ὠφέλει, ἀλλὰ μᾶλλον ἐβιάζοντο, πάλιν ἐμπίμπλησι τὴν βομβάρδαν οὐχ ὡς τὸ πρότερον ἀχύρου, ἀλλὰ σιδηρίου καὶ μολυβδίων, καὶ κατ' αὐτῶν ἀφίησι, τέσσαρας μὲν αὐτόχρημα φονεύσας, πολλοὺς δὲ κατατρώσας, ὥστε τῆς γεφύρας ἀφιστάναι· οὐ μὴν δὲ ἐπαύσαντο, ἀλλὰ πλοίοις ἐμβάντες εἰς ἄμυναν ὥρμησαν. Ὅθεν δεδοικὼς ὁ Μουχαρέμ-αγας ἐκεῖθεν ἀπέδρα, καὶ ἐκβὰς Βελγράδων ᾤχετο ἀλλαχόσε λεληθώς. Ὁ δὲ στρατὸς μίαν ἡμέραν διατρίψας παρὰ τῷ Ζεμλίῳ καὶ πάλιν στασιάσας καὶ πολλὰ τῷ Σιαούς-πασᾳ καταπειλήσας ἠναγκάσατο διαπεραιοῦσθαι τὰ σημεῖα.

Τῇ δὲ ια' διαβάντες τὸν Σάβον ἐστρατοπεδεύσαντο παρὰ πεδίῳ Βατζαρίῳ λεγομένῳ, τὴν ἄνοδον εἰς τὴν Βασιλεύουσαν μελετῶντες καὶ πολλὰ κυκῶντες κατὰ τοῦ βασιλέως καὶ τὴν τούτου κατάπτωσιν ἐπινοούμενοι.

Τῇ ιδ' μετὰ τῶν μουσικῶν ὀργάνων ἐξῆλθον ὁ Σαμπάν-αγας, κεχαγιᾶς ὢν τοῦ Σιαούς-πασα, καὶ οἱ περὶ αὐτὸν ἀγᾶδες τοῦ μικροῦ Ἰμπραχόρ-αγα. Ἦν δὲ ὁ Ὀσμάν-αγας ὁ πρὶν καπιτζιλὰρ-κεχαγιᾶς τοῦ ποτὲ μεγάλου βεζιρίου Ἰμπραΐμ-πασα, ὅστις ἐλθὼν εἰς τὴν σκηνὴν τοῦ Σιαούς-πασα, παρόντων βεζιρίων καὶ μεγιστάνων καὶ ἀγάδων καὶ πολλῶν στρατιωτῶν, χρυσῆν στολὴν ἠμφιάσατο καὶ ξίφει πολυτίμῳ λίθοις ἔξωθεν διαστίκτῳ περιεζώσατο τὸν Σιαούς-πασαν. Καὶ βασιλικὸν ἐπίταγμα ἀνεγνώσθη τοῦτον μὲν σερδάριον ψηφισθῆναι, προσμείναντας δὲ τῇ ἐκστρατείᾳ πεζούς τε καὶ ἱππεῖς ἐπικουρεῖν τῇ Ἀγρίᾳ καὶ τοῖς Ἰστολνικοῖς Βελγράδοις καὶ Κανίσᾳ καὶ Σεϊτβαρίνῳ. Ταῦτα δὲ ἀκούσαντες κἀπὶ πλέον δυσχεράναντες καὶ οὐδενὶ λόγῳ τιθέντες ὡς μηχανὰς ὄντα τοῦ Σουλεϊμάν-πασα, ἐνέκειντο τοῖς προτεθειμένοις. Ὅθεν σιτία καὶ κριθαὶ πᾶσι διενέμοντο, καὶ εἰς προπαρασκευὴν τῶν καθ' ὁδὸν ἀναγκαίων ἐδωδίμων ἀπεστάλη ὁ Κιφροῦ

www.dacoromanica.ro

'Αχμὲτ-ἐφέντης. Ἠγγέλλοντο δὲ ὁ Σουλεϊμάν-πασας ἀφικέσθαι εἰς τὴν Βασιλεύουσαν, οἱ δὲ πρέσβεις τοῦ στρατοῦ κατασχεθῆναι ἐν τῇ Σοφίᾳ, οἷς καὶ μᾶλλον δυσθυμοῦντες οἱ στρατοὶ καὶ ἀγανακτοῦντες ἦλθον κατασχεθῆναι ἀντ' ἐκείνων ἰμριχόρ-αγαν, ἀλλ' ἐγγυησαμένων τῶν βεζιρίων κατελείφθη διατρίβων παρὰ τῷ Σιαούς-πασᾳ. Τὸ λοιπὸν ὁ μὲν Χασάν-πασας ἐγένετο σερασκέρης, ἤτοι στρατηγός, πιστευθεὶς Βέλγραδά τε καὶ τὰ πέριξ, προστιθέντες δεκαπέντε συντροφίας γιανιτζάρων μετὰ τοῦ Ζεμπερεκτζῆ-πασα· ἔτι δὲ προσετέθησαν τῷ Χασάν-πασᾳ ὁ Δαμασκοῦ Χαλὴλ-πασας καὶ ὁ Κατιρτζόγλους.

Ἐν τούτοις ἐμηνύετο τοὺς μὲν Γερμανοὺς κατειληφέναι τὸ Βικῖνον, τοὺς δὲ Ἑνετοὺς πολιορκεῖν τὸν Νόδον. Δεηθεὶς δὲ ὁ Δαμασκοῦ Σαλὴχ-πασας τοῦ ἐπιτρόπου, μετεκλήθη ὥστε συναπελθεῖν μετὰ τοῦ λοιποῦ στρατοῦ.

Τῇ ιζ' ἀφάμενοι τῆς εἰς Κωνσταντινούπολιν ὁδοῦ ἤλθομεν εἰς Ἰσαρτζῆκι, κἀκεῖθεν ἀμείβοντες τόπον ἐκ τόπου τῇ κδ' ἤλθομεν εἰς Νύσσαν, ὅπου εὕρομεν τὸν σιλικτάρ-αγαν ἐλθόντα ἀπὸ Κωνσταντινουπόλεως μετὰ τοῦ Μωχαμετικοῦ σημαίου καὶ τῆς ἐπιτροπικῆς σφραγῖδος· καὶ γὰρ οὐδέπω κατασχεθέντες οἱ τοῦ στρατοῦ πρέσβεις, ἀλλ' ἀκολουθοῦντες τῷ προύχοντι Χατζῆ-Χουσεῒν-αγᾳ ἀφίκοντο εἰς τὴν Βασιλεύουσαν· καὶ πρῶτον συντυχόντες τῷ καϊμακάμ-πασᾳ, κᾆτα τῷ βασιλεῖ, παρεῖχον τὰς τοῦ στρατοῦ ἀναφοράς, ἃς ἀναγνοὺς ὁ βασιλεύς, τοῦ μὲν Σουλεϊμάν-πασα ἤδη λεληθότος καὶ ἀποδράντος κατέγνω, τῷ δὲ Σιαούς-πασᾳ ἐχαρίσατο τὴν ἐπιτροπικὴν σφραγῖδα, ταύτην ἀποπέμψας εἰς τὸν στρατὸν διὰ τοῦ σιλικταρίου· ἦλθεν δὲ μετ' αὐτοῦ καὶ ὁ δεφτέρ-πασας καὶ ὁ ῥεῒς-ἐφέντης, οἵτινες συναπέφυγον μετὰ τοῦ Σουλεϊμάν-πασα. Ἦν δὲ ἐν τῷ στρατῷ πολὺς κατ' αὐτῶν θόρυβος.

Τῇ κε' συνηθροίσθησαν ἐνωπλισμένοι οἵ τε σίπαχοι καὶ οἱ γιανίτζαροι καὶ οἱ περὶ τὸν Γεγὲν-Ὀσμάν-πασαν σεϊμάνιοι, καὶ περιεκύκλωσαν τὰς σκηνὰς τοῦ πρώτου βεζιρίου Σιαούς-πασα, καὶ μετὰ πολλῆς κραυγῆς καὶ θορύβου ἐζήτουν παραδοθῆναι αὐτοῖς τινάς, ἐν πρώτοις δὲ τὸν δεφτερδάριον Ἐμὴρ-Μουσταφά-πασαν καὶ τὸν Μεχμὲτ-μπεῒν ῥεῒς-ἐφέντην. Ἀλλ' οὗτος μὲν λεληθὼς ἀπέδρα· ὁ δέ, μάτην ἐκλιπαροῦντος τοῦ ἐπιτρόπου καὶ ὑπὲρ τῆς ἐκείνου σωτηρίας πρεσβεύοντος, τέως παραδοθεὶς καὶ ὑπὸ πολλῶν πληγαῖς κατεσφάγη· μετὰ τοῦτον δὲ ὁ Ἀτζεμζαδὲς Χουσεῒν-ἐφέντης καὶ ὁ δεύτερος τεσκερετζῆς Λουτφῆ-ἐφέντης ἀγχόνῃ ἐφονεύθησαν· ὁμοίως καὶ ὁ πρῶτος τεσκερετζῆς Μουχταρὶ-Ἀχμὲτ-ἐφέντης· ἔτι καὶ ὁ γιανιτζάρων κεχαγιάγερις Ἀπτουλάχ-αγας μεληδὸν κατετμήθη καὶ ὁ κιουτζοὺκ-τζιαούσης.

Ἔτι δὲ ἀπεκβληθέντος τοῦ γιανιτζάρ-αγα Μουσταφά-πασα, προεβιβάσθη ἀντ' αὐτοῦ ὁ κεχαγιά-μπεῒς Ἰσούφ-αγας. Ἐξέφυγε δέ, εἰς θάνατον ζητηθείς, καὶ ὁ Βελῆ-ἐφέντης, γραφεὺς τῶν γιανιτζάρων ὤν· πολλοὶ δὲ τῶν τῆς αὐλῆς δεδοικότες ἀπέδρασαν, εἰς Κωνσταντινούπολιν ἐλθόντες.

Καὶ τὰ μὲν ἀπὸ Νύσσης ἄχρι Κωνσταντινουπόλεως συμβάντα ἐν τῷ στρατῷ οὐκ οἶδ' ὅπως γεγόνασι, μὴ παρὼν ὤν· οὔτε αὐτόπτης ἦν· ὅμως, ὡς παρὰ πολλῶν ἀκήκοα, πάντα μεστὰ συγχύσεως καὶ θορύβου, τῶν μὲν φόβῳ κατεχομένων, τῶν δὲ βίᾳ καὶ ἁρπαγῇ χρωμένων, μάλιστα δὲ ἐν τῇ Ἀνδριανουπόλει μονονοὺ τὰ στρατεύματα εἰς χεῖρας ἦλθον διαφωνοῦντα πρὸς ἀλλήλους.

Ἐν δὲ τῇ Κωνσταντινουπόλει, τῆς φήμης διατρανούσης μεθ' ὑπερβολῆς τὰ γεγονότα, δέος ἦν πολύ, καὶ μάλιστα ἐν τοῖς βασιλείοις· τῆς γὰρ τοῦ βασιλέως μεταβολῆς πανδημεὶ ποθουμένης καὶ θρυλουμένης, ὁ βασιλεὺς μεταμεληθεὶς τῶν πρότερον αὐτῷ πεπραγμένων θεραπείας ἀώρου καθήψατο. Καὶ πρῶτον μὲν ἀνακαλεσάμενος τὸν πρώην πρῶτον βεζίριον Σουλεϊμάν-πασαν καὶ κατασφαλίσας ἐν τῷ Ὀρτακαπίῳ, μετὰ τὴν τῆς περιουσίας αὐτοῦ ἔρευναν ἀγχόνῃ κατέπνιξεν· εἶτα δὲ καὶ εἰς τὸ αὐτὸ δεσμωτήριον προσέταξε καταβληθῆναι τὸν καϊμεκάμην Ῥετζέπ-πασαν, ὅστις φυγὼν ἐκ τοῦ παλατίου, λεληθὼς τὸν μποσταντζῆμπασι, καὶ μόνος περίπου τὴν Βιζύην ἀποκρυβεὶς καὶ κατασκόπου τὸν τόπον δηλώσαντος εὑρεθεὶς εἱρκτῇ παρεδόθη. Ἔτι δὲ καὶ ἐδεσμεύοντό τινες τῶν ἐπὶ πλούτῳ περιβοήτων, ὧν ἦν καὶ γιουμπρούκ-ἐμίνης Σαμπάν-αγας. Ὁ γοῦν βασιλεὺς δυσωπῆσαι τὸν στρατὸν προθυμούμενος, ἅπαντα πρὸς τὴν ἐκείνων δόξαν μετεῤῥύθμιζε, τοὺς μὲν τοῦ παλατίου μεταβάλλων, τοὺς δὲ καὶ δεσμίους ἀποπέμπων εἰς τὸν στρατόν· καὶ ἠλλάγησαν ὁ κιζλάρ-αγας Ἰσούφ-αγας, γενόμενος ἀντ' αὐτοῦ ὁ χασνατὰρ Ἀλή-αγας, καὶ ὁ μποσταντζῆμπασις καὶ ὁ σεϊμέμπασις. Ἐπεῖχε δὲ τὸν τόπον καϊμεκάμπασα ὁ Κιουπρουλόγλους

www.dacoromanica.ro

Μουσταφά-πασας, τὰ πάντα διοικῶν καὶ διατάττων, ὅπως ἡσυχῇ καὶ ἀταράχως μεταβληθῇ ἡ βασιλεία καὶ τὸ κράτος μετενεχθῇ [1]) εἰς τὸν σουλτὰν Σουλεϊμᾶνον, τεσσαράκοντα ἤδη ἔτη ἐν εἱρκτῇ κατασχεθέντα· ὅθεν ὡς μέσα τῆς στερεώσεως αὐτοῦ παρεδίδου τῷ βασιλεῖ τὰ μέσα τῆς ἐκείνου πτώσεως, τοὺς μὲν οἰκείους τῷ βασιλεῖ ἀποβάλλων, ὡς τάχα διὰ τῆς ἀποβολῆς δυσωπήσασθαι τὸν στρατόν, τοὺς δὲ ὁμοφώνους ἑαυτῷ καὶ τῷ στρατῷ εἰσενεγκὼν εἰς τὰ βασίλεια. Ἤδη δὲ πάντων τῶν περὶ τὸν βασιλέα περὶ τὴν μεταβολὴν αὐτοῦ συμπεφωνηκότων, ἔτει 1687-ῳ Ὀκτωβρίου κθ', τουρκιστὶ δὲ 1098, περὶ τὸ τέλος τῆς Σεφὲρ σελήνης, ἕωθεν ὁ καϊμεκάμης Μουσταφά-πασας, ὁ τοῦ προτεθνεῶτος μουφτῆ Ἐγκιουρῆ-Μουσταφᾶ-ἐφέντη διάδοχος Ταμπακζαδὲ-ἐφέντης, οἱ καζιασκέριοι, ὁ σεϊμέμπασις, οἱ προεστῶτες καὶ γέροντες τῶν γιανιτζάρων καὶ οἱ λοιποὶ ἔγκριτοι, οἱ παρατυχόντες ἐν Βυζαντίῳ, εἰσελθόντες εἰς τὰ βασίλεια καὶ προσκαλέσαντες τὸν κιζλὰρ-ἀγασὶ καὶ τὸν μποστατζήμπασι, προσέταξαν αὐτοὺς ἀποσταλθῆναι εἰς τὸν σουλτὰν Σουλεϊμᾶνον καὶ ἔξω τῆς εἱρκτῆς ἀγαγόντας [2]) προσφέρειν αὐτόν. Οἱ μὲν οὖν προσελθόντες τῷ Σουλεϊμάνῳ καὶ εὐαγγελίζοντες προσεκάλουν αὐτόν, ὁ δέ γε δεδοικὼς ἠπίστει τε καὶ δυσανασχέτει καὶ μόλις πειθόμενος εἵπετο· ἀγαγόντες δὲ αὐτὸν περιέβαλον ταῖς βασιλικαῖς ἐσθῆσι καὶ διακεκοσμημένον ἐξήγαγον. Ὁ μὲν οὖν Σουλεϊμᾶνος, κλίνας τὴν κεφαλήν, τοὺς παρεστῶτας ἠσπάσατο· οἱ δὲ προσεκύνησαν αὐτῷ καὶ ἐκαθίσαντο ἐν τῷ βασιλικῷ θρόνῳ, βασιλέα καὶ κύριον ἀνακηρύξαντες. Καὶ ὁ μὲν Σουλεϊμᾶνος οὕτω μετὰ πολλῆς τῆς ἡσυχίας ἔν τε τῷ παλατίῳ καὶ δι' ὅλης τῆς πόλεως ἀνηγορεύθη βασιλεύς, ὁ δὲ σουλτὰν Μεχμέτης αἰφνιδίως ἀκούσας τὴν τῆς ἀναγορεύσεως κραυγήν, ὅλως ἐξεπλάγη καὶ μεγάλως ἐλυπεῖτο· τῆς δὲ λύπης οὐδὲν ὠφελούσης, αὐτὸς καὶ ὁ μέγας υἱὸς αὐτοῦ, εἰκοσαετὴς ὤν, ὁ σουλτὰν Μουσταφᾶς, καὶ ὁ νεώτερος σουλτὰν Ἀχμέτης, εἰς τὴν αὐτὴν εἱρκτήν, ἐν ᾗ ὁ σουλτὰν Σουλεϊμᾶνος κατείχετο, κατεβλήθησαν. Μετὰ δὲ ταῦτα ἦλθε καὶ ὁ στρατὸς εἰς τὴν Πόλιν, καὶ ἦν πολὺς ὄχλος καὶ πολὺς θόρυβος, τῶν στρατιωτῶν γυμνούντων τοὺς καθ' ὁδὸν καὶ ὁσημέραι στασιαζόντων. Πολλῆς οὖν οὔσης ἀχρηματίας, οἱ τῆς βασιλείας ἐπίτροποι καὶ κηδεμόνες ἐδυσχέραινον καὶ ὠδυνῶντο, οὐκ ἔχοντες ὅπως ἀναπαύσωσι τὸν στρατόν· ἔδει δὲ οὐ μόνον πρὸς τοὺς μισθοὺς εὑρεῖν χρήματα, ἀλλὰ καὶ πρὸς τὴν εἰθισμένην περὶ τὴν βασιλικὴν ἀγόρευσιν δωρεάν· συρρεόντων δὲ καὶ ἐξαπειλούντων τὰ ἔσχατα τῶν στρατιωτῶν, χρημάτων ἕνεκα παρασκευῆς πολλοὶ τῶν ἐγκρίτων ἐδεσμεύοντο καὶ πρὸς ἀπόκτησιν ἀργυρίου ἐξεβιάζοντο. Οὐ μήν γε εἰς τὰ ὑπὲρ δύναμιν κατηναγκάζοντο, ἀλλ' ὁ μὲν πέντε, ὁ δὲ δέκα, ὁ δὲ καὶ μίαν ἢ δύο χιλιάδας νομισμάτων δεδωκὼς ἐλευθεροῦτο· ὧν τὰ μὲν συνηθροίζετο ὡς βασιλικά, τὰ δὲ οἱ συρμπουλούκηδες προστάται ὄντες ἐσφετερίζοντο. Καὶ τὰ μὲν ὁσημέραι κατὰ μέρος γινόμενα [3]), πολλῶν κατὰ τὰς ὁδοὺς καὶ τὰς πλατείας γυμνουμένων, τῶν δὲ ἀπαιτουμένων καὶ δεσμευομένων, τῶν δὲ καὶ πληττομένων, τίς διηγήσεται; διὰ μικρὰν αἰτίαν συνεστασίαζον οἵ τε γιανίτζαροι καὶ οἱ σπάχοι, ὁτὲ μὲν ἐν τῷ Ἱπποδρομίῳ, ὁτὲ δὲ ἐν τῇ Πλατείᾳ τοῦ Κρέατος, καὶ ἠγανάκτουν καὶ ἠπείλουν, ὥστε πάντας δεδοικότας ἄχθεσθαι καὶ ἀθυμεῖν. Καὶ οὐ μόνον πρὸς τοὺς ἑτερογενεῖς ἀλλὰ καὶ πρὸς τοὺς αὐτῶν ταγματάρχας ὥρμων, τὸν Κιουτσοὺκ-Μεχμέτην θανατώσαντες· τὸν δὲ γιανιτσάραγαν Ἰσοὺφ-αγαν ἐκβαλόντες, ἐγένετο ἀντ' αὐτοῦ ὁ σιλικτὰρ Τζαρὰχ-Μουσταφά-αγας, πρῶτος ζορμπᾶς δὲ τῶν σιπαΐδων Ἀχμέτ-αγας.

Ἐν δὲ τῷ μεταξὺ ἑάλω παρὰ μὲν τῶν Ἑνετῶν ἡ Νόβα, παρὰ δὲ τῶν Γερμανῶν τὸ Ὀσεκῖνον. Ὁ δὲ Γεγὲν-Ὀσμάν-πασας ἔξω τῆς Πόλεως πολλὰς ἡμέρας διατρίψας, τέως κληρωθεὶς τὴν Σοφίαν ἀπεπέμφθη εἰς τὴν ἐπαρχίαν αὐτοῦ.

Οἱ γοῦν Γερμανοὶ πάλιν εἰς τὴν Δακίαν ἐκχειμάσαντες κατῆλθον, εἰς σωτηρίαν αὐτῶν πολλά τινα ὀχυρώματα καταλαβόντες καὶ οἰκείους στρατιώτας εἰσβαλόντες εἰς τὸ Σιμπίνιον, εἰς τὴν Λευκὴν Ἰουλίαν, εἰς τὴν Κλαυδιούπολιν, εἰς τὸ Κουϊδαρῖνον καὶ εἰς τὰ λοιπὰ φρούρια, πλὴν τοῦ Μπρασόβου, καὶ Φογαρασίνου, ἐν τούτῳ μὲν καθεζομένου τοῦ κράλη τῆς Ἐρδελίας, ἐκείνου δὲ φυλαττομένου παρὰ τῶν Σαξώνων.

---

[1]) Ἐν τῷ ἀπογρ. «μετενεχθὲν».

[2]) Ἐν τῷ ἀπογρ. «ἀγαγόντες».

[3]) Ἐν τῷ ἀπογρ. «γενόμενα».



www.dacoromanica.ro

Διανεμηθέντων δὲ τοῖς στρατιώταις τῶν συνήθων χρημάτων, σμικρὸν ἔδοξεν ἐφησυχάζειν ἐν τῇ Κωνσταντινουπόλει, οὐ μὴν ἐπὶ πολὺν χρόνον οὐδ' ἐς τὸ παντελές, ἀλλὰ συγχέοντες ἐτύγχανον τὴν κυβέρνησιν. Ἦσαν δὲ πρῶτοι τῶν στασιαστῶν ἐν μὲν τοῖς γιανιτζάροις ὁ φετβατζῆ Χουσεῒν-αγας, μπας-τζαούσης ὤν, καὶ ὁ Χατζῆ-'Αλή-αγας, ψιλὸς μὲν στρατιώτης ὑπάρχων τῶν πιριντζήδων· ἐν δὲ τοῖς σιπάχοις τῶν μὲν σιλικταρίων ἐπρώτευεν ὁ 'Αχμέτ-αγας, τῶν δὲ κατ' εἶδος σιπάχων ὁ Ντελημπιρί-αγας. Αὕτη ἡ κακίστη τετρὰς ἐπιπηδήσασα τοῖς πράγμασιν ἐκύκα τὸ πᾶν. Ὅθεν ὁ Κιουπρουλόγλους Μουσταφά-πασας, καϊμεκάμης ὤν, καὶ ὁ βεζιραζέμης Σιαούς-πασας καὶ ὁ σεχοὺλ-ἰσλάμης Ταμπακζαδές, βουληθέντες πειραθῆναι τῶν πραγμάτων, εἰ τάχα δυνηθεῖεν μεταβάλλειν αὐτὰ πρὸς τὸ κρεῖττον, τὸν μὲν Τζεράχ-Μουσταφά-πασαν ἐψηφίσαντο πασᾶν Τουνουζίου, ἀντ' αὐτοῦ δὲ γιανιτζάρ-αγαν κατεστήσαντο Χαρμουτλῆ-'Αλή-αγαν, σεϊμέμπασιν ὄντα τὸ πρότερον.

## ΚΑΤΑΛΟΓΟΣ

*τῶν βεζιρίων καὶ πασάδων ἀπολλυμένων κατὰ τὸν Γερμανικὸν καὶ 'Ενετικὸν καὶ Λεχικὸν πόλεμον.*

Τῆς 'Ρούμελης ὁ πρώην μπας-μπακίκουλις Κιουτζοὺκ-Χασάν-πασας, βολίδι τρωθεὶς ὑπὸ τὴν Βιένναν, — μπεϊγλέρμπεϊς.

Τῆς 'Αγρίας πρώην κεχαγιᾶς τοῦ Σαρῆ-Χουσεῒν-πασα Κιορ-Χουσεῒν-πασας, φυγαδευθεὶς παρὰ τῶν Γερμανῶν ἐν τῇ ἀντικρὺ τῆς Βιέννας μάχῃ καὶ πεσὼν εἰς Δούναβιν ἐπνίγη — μπεγλέρμπεϊς.

Πρώην μέγας δεφτερδάρης ὁ Ντεμισβαρίου 'Αχμέτ-πασας ὑπὸ διαῤῥοίας τελευτήσας ὑπὸ τὴν Βιένναν — βεζίριος.

'Απτουλ-Μουμίν-πασας μπεγλέρμπεϊς ἐτελεύτησεν ὑπὸ τὴν Βιένναν.

Τῆς Μπόσνας πρώην χασεκῆ-κεχαγιασὶ Χιδίρ-πασας πέπτωκεν ἐν τῇ κατὰ τὸ Μπαρκάνον μάχῃ — βεζίριος.

Πρώην Τζαούς-μπασις καὶ ρεκιπτάρης Σισμὰν Μεχμέτ-πασας ἐν τῇ αὐτῇ μάχῃ πέπτωκε — μπεγλέρμπεϊς.

Πρώην μποσταντζῆμπασις, τῆς Σιλίστρας Μουσταφά-πασας, ᾐχμαλώτιστο ἐν τῇ αὐτῇ μάχῃ καὶ νῦν ἐν εἱρκτῇ κατέχεται παρὰ τοῖς Λέχοις — βεζίριος.

'Ο Σιβᾶς Χαλήλ-πασας, καὶ αὐτὸς παρὰ Λέχοις αἰχμάλωτος — μπεγλέρμπεϊς.

Χαλεπίου Μπεκίρ-πασας διὰ τὴν Στριγονίου παράδοσιν προστάγματι τοῦ Μουσταφά-πασα ἀποπνιγεὶς ἐν τῇ Βουδινῇ — μπεγλέρμπεϊς.

Κιοστεντιλίου 'Ασλάν-πασας διὰ τὴν αὐτὴν αἰτίαν ὁμοῦ ἀποπνιγεὶς μετὰ καὶ τριῶν ἰτζιαγάδων — μπεγλέρμπεϊς.

'Ο βεζιραζέμης Μουσταφά-πασας προστάγματι βασιλικῷ ἐν Μπελγράδῳ ἀποπνιγείς.

'Ο πρώην δεφτερδάρης Χασάν-πασας καθ' ὁδὸν προστάγματι βασιλικῷ ἀγχόνῃ τελευτήσας — μπεγλέρμπεϊς.

'Ο Φερχάτ-Πασόγλους 'Αχμέτ-πασας ἐν 'Ανδριανουπόλει ἀγχόνῃ τελευτήσας — μπεγλέρμπεϊς.

'Ο τῆς Καμενίτζας Μαχμούτ-πασας βεζίριος, ὑπὸ νόσου τελευτήσας.

'Ο Ντεμισβαρίου Σεϊτόγλου Μεχμέτ-πασας, πεσὼν ἐν τῇ μάχῃ τοῦ Βατζίνου — μπεγλέρμπεϊς.

'Ο πρώην Διαρμπεκιρίου Καρᾶ-Μεχμέτ-πασας, ἐν τῇ Βουδινῇ ἀπὸ τραύματος τελευτήσας.

'Ο Σέχογλου 'Αλή-πασας ἐν τῷ Οὐϊβαρίνῳ, ὑπὸ νόσου τελευτήσας — μπεγλέρμπεϊς.

'Ο πρώην τζαούσπασι βεκίλης Χερσεκίνου 'Αχμέτ-πασας, ὑπὸ νόσου τελευτήσας — μπεγλέρμπεϊς.

'Ο Σιβᾶς Μουσταφά-πασας, πεσὼν ἐν τῇ κατὰ τὸ Στριγόνιον μάχῃ — μπεγλέρμπεϊς.

www.dacoromanica.ro

Ὁ τῆς Βουδινῆς Ἰμπραΐμ-πασας ὁ Ἀλβανίτης, προστάγματι τοῦ Μουσταφᾶ-πασα ἀγχόνῃ τελευτήσας παρὰ τῷ Γιανίκι — βεζίριος.

Ὁ πρώην σεϊμέμπασις Μπουρουνσίζ-Ἀχμέτ-πασας, ἐν τῇ Κρήτῃ προστάγματι ἀποπνιγείς — βεζίριος.

Ὁ ἐν Μορέᾳ σερασκέρης Χαλὴλ-πασας παρὰ τῇ Κορώνῃ ὑπὸ τραύματος τελευτήσας — βεζίριος.

Ὁ πρώην μπας-μπακίκουλις καὶ ἐν Μορέᾳ σερασκέρης Σιαούς-πασας, ὑπὸ τραύματος παρὰ τῇ Κορώνῃ τελευτήσας — βεζίριος.

Ὁ σερασκέρης Σεϊτὰν-Ἰμπραΐμ-πασας ἐν Μπελγραδίῳ προστάγματι βασιλικῷ ἀγχόνῃ τελευτήσας — βεζίριος.

Ὁ τὸ Σολνοκῖνον καταλιπὼν Ὀσμὰν-πασας, φονευθεὶς προστάγματι τοῦ Ἰμπραΐμ-πασα — μπεγλέρμπεϊς.

Ὁ Τύρε Ἀλή-πασας, ὁ πρώην κεχαγιᾶς μπεγλέρμπεϊς, παρὰ τῇ Βουδινῇ πεσών.

Ὁ τοῦ Ἀπτή-πασα κεχαγιᾶς Σεῒτ Μεχμέτ-πασας, παρὰ τῇ Βουδινῇ πεσών — μπεγλέμπεϊς.

Ὁ Χότζογλου Χασάν-πασας, ὑπὸ τραύματος τελευτήσας ἐν τῷ Οὐϊδαρένῳ — βεζίριος.

Ὁ τῆς Ἀγρίας Ὀσμάν-πασας, ὁ πρώην μποσταντζήπασις, παρὰ τῆς κάτενας τῶν Οὔγγρων καταπατηθεὶς καὶ φονευθεὶς — βεζίριος.

Ὁ τῆς Κύπρου Μπαμπᾶ-Χασάν-πασας — μπεγλέρμπεϊς.

Ὁ τοῦ Καρᾶ-Μεχμέτ-πασα γεγένης μπεγλέρμπεϊς, παρὰ τῷ Σεγετίνῳ φονευθείς.

Ὁ τῆς Δαμασκοῦ Σαρῆ-Χουσεΐν-πασας, τελευτήσας ἐν τῇ Βουδινῇ. Μουσλί-πασας βεζίριος.

Ὁ μουσαΐπ Μουσταφά-πασας βεζίριος τέθνηκεν ἐν τῷ Νεοκάστρῳ τῆς Ἀνατολῆς. Οὗτος ἦν πολλὰ ἔτη μουσαΐπης, καὶ μετὰ τὸν Χοτιμικὸν πόλεμον, χειμαζομένῳ τῷ βασιλεῖ ἐν τῷ Χατζιόγλου, παρίστατο καϊμεκάμης, καὶ κατὰ τὸν Γερμανικὸν πόλεμον, μετὰ τὸν θάνατον τοῦ Μουσταφά-πασα, ἐγένετο ναυάρχης, εἶτα στρατηγὸς ἐν τῇ Πελοποννήσῳ.

Τέθνηκεν ὁ τῆς Πελοποννήσου μοχασίλης μπεγλέρμπεϊς Φασλή-πασας

Ἔτι δὲ ὁ πρώην σιλικτάρης τοῦ βασιλέως καὶ πολλὰς ἀρχὰς μετελθών, κἂν τῇ ἁλώσει τῆς Πούδας Μεσοποταμίας ἄρχων, τέθνηκεν ἐν τῷ στενώματι τῆς Ἀνατολῆς, ὀνομαζόμενος βεζίριος Χουσεΐν-πασας.

Ἔτει δὲ 1687-ῳ τέθνηκεν ὁ πρώην τελωνάρχης, εἶτα κουράτωρ τῆς βασιλίσσης, καὶ μετέπειτα καταστὰς βεζίριος ἄρχων τῆς Βασίστρας παρὰ τῷ Περσικῷ κόλπῳ, λεγόμενος Χουσεΐν-πασας.

---

www.dacoromanica.ro

1682 ΜΑΡΤΙΟΥ ΙΗ'.

## ΕΝ ΤΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

# Η ΤΑΞΙΣ ΤΗΣ ΦΙΛΙΑΣ

## ΠΡΟΣ ΤΟΝ ΜΕΓΑΝ ΕΛΤΖΗΝ ΤΗΣ ΜΟΣΧΟΒΙΑΣ ΠΡΟΚΟΠΙΟΝ ΒΟΖΝΙΤΖΙΝ.

Εἰς τοῦ Ἐγχουπίου τὸν μπακτζέ, ἀφ' οὗ ἐπῆγεν ὁ ἐπίτροπος, ἔστειλαν τὰ κονάκια καὶ τὰ καΐκια καὶ τὸ καΐκι τοῦ ἐπιτρόπου τῶν ἑπτὰ τζιφτίων, καὶ τὸν δραγουμάνον καὶ τὸν μπουμπασίρη τὸν Μπεκίρ-αγα, καὶ τὸν ἔφεραν μίαν ὥραν πρὸ τοῦ μεσημερίου. Τὸν ἐπροϋπάντησαν δύο καμπιτζίμπασίδες· τὸν ἐπῆγαν εἰς τὸ μικρὸν τὸ κιόσκι· ἐκάθισε κάτω εἰς τὸ σκαμνί. Ἦλθεν ὁ ἐπίτροπος, ἀνέβηκεν ἀπάνω, κατόπι καὶ ὁ ἐλτζῆς. Ἐκάθισεν ὁ ἐπίτροπος εἰς τὴν κόχην, ὁ ἐλτζῆς κάτω εἰς τὸ μιντέρι, ἀπάνω εἰς τὴν μαξελάραν. Ἐκάθισεν ἀντικρὺ ὁ μουνετζῆμπασις, ὁ ρεΐς-ἐφέντης, ὁ Ἰσὰκ-ἐφέντης. Ἄρχισαν λακιρδὶ ἀπὸ τὰ λουλούδια, περὶ τῆς κράσεως τῆς Μοσχοβίας. Ἔφεραν καχβέ, ἔφεραν κυδῶνι σερμπέτι. Ἦλθαν οἱ σαζενδέδες καὶ χανζαδέδες, καὶ ἔκατζαν κάτω καὶ ἔπαιξαν· ἔπειτα ἔπαιξαν εἰς τὸ ἄλογον σαΐταν καὶ κατόπι μιζρακπασλίκι, καὶ κατόπι τζιρίτι καὶ ὕστερον ἔφαγαν, καθήμενοι κατὰ τὸν αὐτὸν τρόπον· καὶ ὕστερον ἔπιαν καχβέ. Ἐσηκώθη ὁ ἐλτζῆς καὶ ἐπεριπάτησεν εἰς τὸν μπαχτζὲ καὶ ἔκατζεν εἰς τὸν ὀδᾶ, ἕως οὗ ἐκίλδισε ναμάζι ὁ ἐπίτροπος. Ὕστερον δὲ πάλιν ἐκάθισαν εἰς τὸν αὐτὸν τόπον, ἔφεραν γγιουλεστῆδες καὶ ἔπαιξαν ματρὰκ-οΐνι. Ὕστερον ἐσύντυχαν ὑποθέσες κατὰ μόνας· μετέπειτα ἔπιαν καχβὲ καὶ σερμπέτι, καὶ μπουχοῦρι ἐδόθη καὶ ἐδιάβη ὁ ἐλτζῆς μὲ τὰ αὐτὰ καΐκια, καὶ ἔστειλεν ὁμοῦ ὁ ἐπίτροπος τὰ λουλούδια καὶ τὰ πωρικὰ εἰς τοῦ ἐλτζῆ. Καὶ ἔγινεν οὕτω τὸ ζιαφέτι.

Τῷ ἐλτζῇ τῷ Μοσχόβῳ ἐδόθησαν τριάντα καβάδια, ὅταν ἦλθεν εἰς τὸν ἐπίτροπον, καὶ σαράντα εἰς τὸν βασιλέα.

Ὁ νακαφᾶς ἦτον πρῶτον ὀκτὼ χιλιάδες ἄσπρα, ὕστερον τοῦ ἐδόθησαν ἄλλες δύο χιλιάδες καὶ ἔγιναν δέκα χιλιάδες τὴν ἡμέραν.

Τοῦ ἔστειλεν ὁ ἐπίτροπος ὅταν ἦλθε πωρικὰ πεσκέσι μὲ τὸν Μπεκίρ-αγαν καὶ ἄλλα εἴδη. Τὰ ἔφερεν ὁ μασράφης τοῦ βασιλέως. Καὶ ὅταν ἀῤῥώστησε, τοῦ ἔστειλεν ὀκτὼ καβανόζια σερμπέτι μὲ τὸν Σεΐχογλουν Μπεκίρ-αγαν.

Ὁ ῥηθεὶς ἐλτζῆς ἀντάμωσε τὸν ἐπίτροπον, καὶ ὄντας ἀχαμνὸς καὶ μὴν ἠμπορῶντας νὰ καβαλλικεύσῃ, ἦλθε μὲ τὸ καΐκι εἰς τὸ Γεμὶς-σκελεσὶ καὶ ἐμπῆκεν εἰς τὸν ἀραμπᾶ, ὁποῦ τὸν ἔστειλεν ὁ ἐπίτροπος, καὶ οἱ ἄνθρωποί του ἐκαβαλλίκευσαν εἰς τὰ ἄλογα, ὁποῦ ἔστειλαν ἀπὸ τὴν Πόρταν, καὶ μὲ τὸν Μεχμὲτ-ἐφέντην καὶ μὲ μερικοὺς τζαούσηδες ἦλθαν εἰς τὴν Πόρταν, εἰς τὴν ὁποίαν ἦτον διβάνι καθολικόν, κατὰ τὴν συνήθειαν τῶν ἐλτζῆδων, φορῶντας ὁ ἐπίτροπος χαλεδὶ καὶ οἱ ἄλλοι σελίμια καὶ μουτζεβετζέδας, καὶ ἐδόθη ὁμοῦ τῷ ἐπιτρόπῳ καὶ τῷ ἐλτζῇ καχβές, σερμπέτι καὶ κάπνισμα. Καὶ ἐσηκώθη εἰς τὰ ποδάρια ὁ ἐπίτροπος καὶ ἔδωκε πρῶτον τὸν ἀχτιναμέ, μετέπειτα τὸν ναμὲ καὶ τὴν γραφήν του καὶ τοὺς ἐφόρεσεν ὡς τριάντα καβάδια.

1682-ῳ, Μαΐου η', ἡμέρᾳ Κυριακῇ, ἦλθεν ὁ βασιλέας εἰς τὸ Σαράϊ-μπουρνοῦ. Ἀνέ-

www.dacoromanica.ro

βηκεν. εἰς τοῦ Καρᾶ-Μουσταφᾶ τὸ κιόσκι, τὸν ὂν ἔνδον τῆς πόρτας τοῦ μπακτζὲ (τὸ ὁποῖον ἦτο στρωμένον βασιλικοπρεπῶς), παρισταμένης αὐτῷ τῆς ἰδίας αὐτοῦ βασιλικῆς παρατάξεως, πεΐκηδων σολάκηδων καὶ καπιτζήδων παμπληθῶν. Ἦτον δὲ καὶ τριάκοντα ἄλογα βασιλικά, τὰ μὲν εἰκοσιὲν μέσα πρὸς τὸ μέρος τοῦ μπακτζὲ ἱστάμενα ἀραδικῶς, τὰ δὲ ἐννέα ἔξω πρὸς τὸ μέρος τοῦ τοίχου, καὶ τὰ μὲν δέκα διὰ πολυτίμων λίθων κεκαλλωπισμένα, τὰ δὲ δέκα κατώτερα εἰς τὸν στολισμόν, καὶ τὰ ἄλλα δέκα πάλιν κατώτερα. Ἦτον δὲ ὁ εὐτρεπισμὸς αὐτῶν κατὰ τὴν τάξιν τοῦ βασιλικοῦ ἀλαγίου μὲ χοτάζια καὶ μὲ γαντζίκια τὰ πλείω τούτων. Ἦλθε δὲ ὁ ἐλτζῆς μετὰ τοῦ Μεχμὲτ-ἐφέντη καὶ τῶν μουμπασίρηδων αὐτοῦ μὲ τὰ καΐκια, καὶ ἐβγῆκεν ἔξω τῆς πόρτας εἰς τὸν καϊκακχανέ, καὶ ἐκαβαλλίκευσε μόνος εἰς βασιλικὸν ἄλογον, καὶ ἦλθε καβαλλικεύοντας ἕως τῆς πόρτας τοῦ μπακτζέ. Ἐκεῖ ἐκάθισε καὶ ἐφόρεσαν τριανταεπτὰ καβάδια, καὶ πεζὸς ἐπῆγε καὶ ἐπροσκύνησε τὸν βασιλέα, παρισταμένου μόνον τοῦ ἐπιτρόπου ἀπὸ τοὺς βεζίρηδες· ἐβαστοῦσαν δὲ τὸν ἐλτζῆν καπιτζιμπασῆδες. Ὁ δὲ βασιλέας ὥρισεν, ὅτι φυλαττομένων τῶν συνθηκῶν τοῦ ἀχτιναμὲ ἀπὸ μέρους αὐτῶν καὶ ἀπὸ μέρους τῆς βασιλείας του, θέλουν περισκεφθῆ, καὶ οὕτως ἐξῆλθον. Ἐδόθησαν τῷ ἐλτζῇ ἀπὸ μέρους τοῦ μιρίου ἀσλανία χιλιάδες τέσσαρες καὶ τῶν ἀνθρώπων του χίλια, ἕνα ραντιβάνι μὲ τέσσαρα ἄλογα, τριάντα ἄλογα τῶν ἀνθρώπων πρῶτον, καὶ ὕστερα ἄλλα δεκατρία, ὅλα δωρεάν· εἴκοσι διάφοροι ἐσαμέδες, δέκα σκλάβοι, τρεῖς ἀπὸ τὸ Μπάνιο καὶ ἑπτὰ παρμένοι ἀπὸ τὰς χεῖρας τῶν γιασιρτζήδων, ἀπὸ μέρος τοῦ ἐπιτρόπου δύο ἄλογα κιοχλιάνια. Διὰ δὲ τὸν νακαφᾶν τῆς ὁδοῦ αὐτοῦ, λογαριάζοντας τριάντα κονάκια ἕως εἰς τὸν Δούναβιν, κατὰ τὸ τεφτέρι τῶν φαγητῶν ὁποῦ ἐδιάθεσαν, ἐδόθησαν ἄσπρα ἑκατονδεκατρεῖς χιλιάδες· τὰ ὁποῖα τὰ ἐπερίλαβεν ὁ Ὀσμάν-αγας, χαζνατάρης τοῦ φεραρί, καπιτζήμπασις καὶ μπουμπασίρης αὐτοῦ, διὰ νὰ τὰ ἐξοδιάσῃ.

Δι' αἰτήσεως αὐτοῦ ἐδόθη χατισερίφι νὰ κτισθῇ ἡ ἐκκλησία τῆς Παναγίας, ἡ Ἐλπίς, εἰς τὸ Κοντοσκάλι.

Τελευταῖον δὲ τῇ ιδ' τοῦ Μαΐου ἀντάμωσε τὸν ἐπίτροπον καὶ ἀπεχαιρέτησε, καὶ ἐφόρεσαν καὶ τότε δεκαπέντε καβάδια χωρὶς παράταξιν διβανίου, μόνον μὲ λάθος ἔστειλεν ὁ κεχαγιᾶς ἄλογα, ὄντας ἀσύνηθες εἰς τὸ ἀντάμωμα τοῦ ἀχτιναμέ. Ὁ ἐλτζῆς ἐκάθισε κάτω εἰς τὸν σοφᾶν, ἐπάνω εἰς τὸ μιντέρι, εἰς μίαν μαξιλάραν, ὄντας ἀχαμνός. Τὸ δὲ ἀντάμωμα τοῦ διβανίου, ὅταν ἐπαράδωσε τὸ βασιλικὸν γράμμα, ἔγινε κατὰ τὴν τάξιν τῶν ἐλτζήδων χωρὶς παραλλαγήν.

---

www.dacoromanica.ro

## ΑΙ ΣΥΝΘΗΚΑΙ ΚΑΙ ΑΙ ΣΥΜΦΩΝΙΑΙ

### ΟΠΟΥ ΠΕΡΙΕΧΟΝΤΑΙ

# ΕΙΣ ΤΟΝ ΒΑΣΙΛΙΚΟΝ ΑΧΤΙΝΑΜΕ

### ΑΥΤΟΛΕΞΕΙ ΜΕΤΑΦΡΑΣΘΕΙΣΑΙ.

---

Ἀπὸ τῆς μεταδάσεως τοῦ διαλάμποντος ὡς ἡλίου ἐν ἀμφοτέρῳ τῷ κόσμῳ καὶ ὁδηγοῦ καὶ μεσίτου τοῦ προφήτου ἡμῶν Μωχάμεθ Μουσταφᾶ ἔτει 1091-ῳ, ἐν μηνὶ Ἰανουαρίῳ γ΄, ἕως εἴκοσιν ἔτη ἔγινε διορία τῆς μεταξὺ εἰρήνης μὲ τοιαῦτες συμφωνίες, νὰ εἶναι ἀνάμεσον σύνορον ὁ Βορυσθένης ποταμὸς καὶ ἡ χώρα ἡ οὖσα εἰς τὸ ἐντεῦθεν μέρος τοῦ ποταμοῦ Βορυσθένους νὰ μείνῃ ὑπὸ τῆς αὐτοκρατορικῆς μου ἐξουσίας μόνον. Ἡ Κιοδία πόλις καὶ οἱ παλάγγες τοῦ Βασιλκόδου καὶ τῆς Τριπουλίας καὶ Στάϊκου, ὁποῦ παλαιόθεν ὄντας ὑποκείμενες τῇ πόλει τῆς Κιοδίας, τώρα εἶναι χαλασμένες. Καὶ ὅσοι τόποι εἶναι ὑποκείμενοι τῇ Κιοδίᾳ, μὲ τὰ παλαιὰ σύνορα τῆς πόλεως Κιοδίας, νὰ εἶναι ὑπὸ τῆς ἐξουσίας τοῦ προφημισθέντος τζάρη. Καὶ ἕως τὰ σύνορα τῆς πόλεως Κιοδίας καὶ ἄχρι τῶν Ποτκαλήδων κατὰ ἀμφότερα τὰ μέρη τοῦ Βορυσθένους ποταμοῦ νὰ μὴν οἰκοδομοῦνται κάστρα οὔτε ἀπὸ τὸ ἕνα μέρος, οὔτε ἀπὸ τὸ ἄλλο. Καὶ οἱ ὑπήκοοι τῆς Μοσχοβίας, ὅσοι κατοικοῦν ἀπὸ τὸ πέρα μέρος τοῦ Βορυσθένους, ὁπότε θελήσωσι διὰ τὸ ἀρκετὸν τῆς χρείας αὐτῶν νὰ πάρουν ξύλα ἀπὸ τὸ ἐδῶθεν μέρος ἐναντίον τῆς εἰρήνης καὶ τῆς ἀγάπης, νὰ μὴ πειράζουνται, οὔτε νὰ ἐνοχλοῦνται. Καὶ οἱ ὑποκείμενοι τῷ βασιλεῖ τῆς Μοσχοβίας ῥαγιάδες, ὁποῦ κατοικοῦν πέραν τοῦ Βορυσθένους ποταμοῦ, ὁπότε πλησιάσωσι νὰ κάμουν μελισσῶνας καὶ νὰ πάρουν ἅλας καὶ νὰ πιάσουν ὀψάρια καὶ νὰ κόψουν χορτάρι εἰς τὸ ἐντεῦθεν μέρος τοῦ Βορυσθένους, ἀφ᾽ οὗ πληρώσωσι τὰ δικαιώματα κατὰ τὸ διατεταγμένον, νὰ μὴν ἐμποδίζωνται ἐναντίον τῆς εἰρήνης καὶ τῆς ἀγάπης καὶ νὰ μὴ πειράζωνται, οὔτε νὰ ἐνοχλοῦνται. Καὶ εἰς τὸν διωρισμένον καιρὸν τῆς εἰρήνης ἀπὸ μέρος τῶν ἐπάρχων καὶ διοικητῶν, τῶν καθεζομένων ἐν τοῖς συνόροις τῆς ὑψίστης μου βασιλείας, καὶ ὅλως ἀπὸ τὰ στρατιωτικὰ τάγματα καὶ ἀπὸ τὸν χάνην τοῦ Κριμίου καὶ ἀπὸ Ταταρικα φουσᾶτα καὶ ἀπὸ τὰ ἔθνη τῶν Ταταρων τὰ ὑποτασσόμενα αὐτοῖς, νὰ μὴ γίνωνται ἔχθρες καὶ καταδρομές· ἀλλ᾽ οὔτε κατ᾽ οὐδένα τρόπον νὰ γίνεται ἐπιχείρησις βλάβης ἔξω τῆς εἰρήνης πρὸς τοὺς ὑπηκόους καὶ εἰς τοὺς τόπους τοὺς ὄντας ὑποκάτω τῆς ἐξουσίας τοῦ βασιλέως Μοσχόδου. Καὶ τὰ ἄρθρα ὅσα γράφονται εἰς τοῦτο τὸ εὐαγὲς τῆς συμφωνίας ἔγγραφον, τὸ κεχαρισμένον ἀπὸ τὸ εὐαγέστατον καὶ γαληνότητος ἀνάμεστον μέρος μου, ἄχρι τῆς ἀποπληρώσεως τῆς διορίας τῆς εἰρήνης σῳζόμενον καὶ διατηρούμενον χωρὶς πλησμονῆς καὶ ἐλλείψεως, νὰ εἶναι περιεσκεμμένον. Καὶ αἱ συμφωνίες καὶ οἱ δεσμοὶ καὶ τὰ ἄρθρα, εἴτι καὶ ἂν εἶναι, ὅσα ἐσυνδέθησαν ἀναμεταξὺ μετὰ τοῦ προφημισθέντος τζάρη εἰς τὸ ἔγγραφον τῶν συμφωνιῶν, ὁποῦ ἐδόθησαν ἀπὸ μέρος τοῦ χάνη τοῦ Κριμίου μετὰ τῆς αὐτοκρατορικῆς μου θελήσεως, τῆς κατὰ ἀνάγκην χορηγούσης εὐδαιμονίαν, νὰ εἶναι διακρατούμενα μὲ περίβλεψιν καὶ μὲ περίσκεψιν ἀναμεταξὺ αὐτῶν· καὶ εἰς τὸ μετέπειτα εἴ τις ἄλλος λάχῃ νὰ κατασταθῇ χάνης τοῦ Κριμίου νὰ μὴν ἀναιρέσῃ· καὶ ἢ εἰς τὸν διωρισμένον καιρὸν τῆς εἰρήνης τύχῃ νὰ γένῃ μετὰ τοῦ μέρους τοῦ Κριμίου διά τινα πρόφασιν φιλονεικία καὶ ἔρις ἀναμεταξύ, διὰ πρέσδεως γενομένης ἐξετάσεως καὶ γνωσθείσης τῆς ἀληθείας, νὰ ἐμποδίζηται καὶ νὰ ἀναιρῆται· καὶ νὰ μὴ συγχύζεται ἡ εἰρήνη διὰ φιλονεικίαν συμ-

www.dacoromanica.ro

βαίνουσαν εἰς τὰ σύνορα, οὔτε νὰ γένῃ ἀρχὴ ἔχθρας καὶ μάχης. Καὶ εἰ πρὸ τῆς πληρώσεως τοῦ διωρισμένου καιροῦ τῆς εἰρήνης ἕνα δύο χρόνους ἤθελε γένῃ αἴτησις καὶ παρακάλεσις ἀπὸ μέρος τοῦ βασιλέως τῆς Μοσχοβίας διὰ τὴν ἀνάνευσιν τῆς εἰρήνης κατὰ τὸν τρόπον ὁποῦ νὰ εἶναι ἐπωφελὴς καὶ εἰς τὰ δύο μέρη, νὰ γίνεται στέρξις ἀπὸ μέρος τῆς ὑψίστης μου βασιλείας. Καὶ χωρὶς βίαν πρὸς τοὺς ὑπηκόους ἀμφοτέρων τῶν μερῶν, ὅσοι θελήσουν οἰκειοθελῶς περνῶντες εἰς τὸ ἐδῶθεν μέρος τοῦ Βορυσθένους νὰ κατοικήσουν, καὶ ὅσοι θελήσουν ἀπὸ ἐδῶθεν νὰ περάσουν εἰς τὸ πέρα μέρος, νὰ μὴν τοὺς ἐμποδίζῃ τινάς. Καὶ ὅσοι κατὰ καιρὸν τοῦ πολέμου ἔγιναν σκλάβοι ἀπὸ τὰ δύο μέρη κατὰ τὴν ἔκπαλαι συνήθειαν, νὰ ἀλλάσσωνται. Καὶ ὅσοι ἱερωμένοι ἢ λαϊκοί, κατοικοῦντες εἰς τὴν Μοσχοβίαν, θελήσουν νὰ ὑπάγουν εἰς τὴν Ἱερουσαλὴμ διὰ νὰ προσκυνήσουν καὶ νὰ ἐπισκεφθοῦν κατὰ τὴν τάξιν αὐτῶν, ὅταν ἔλθουν εἰς τὰ σύνορα, νὰ τοὺς δίδεται ὁ διατεταγμένος ὁρισμὸς καθ' ὁδὸν ἀσφαλείας, καὶ οὐδένας νὰ μὴ τοὺς ἐνοχλήσῃ, ἢ νὰ τοὺς πειράξῃ, ἢ νὰ τοὺς κατατρέξῃ ἐναντίον τοῦ συνήθους. Τὸ λοιπὸν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν καιρὸν τῆς εὐλογημένης μου βασιλείας καὶ τοῦ διηνεκοῦς μου κράτους κατὰ τὰς συμφωνίας καὶ τὰς συνθήκας καὶ ἄρθρα, ὁποῦ γράφονται καὶ σαφηνίζουνται καὶ διηγοῦνται καὶ ἐξηγοῦνται ἀνωτέρω, νὰ ἐνεργοῦνται καὶ τὰ χρειώδη καὶ ἀναγκαῖα τῆς εἰρήνης καὶ τῆς ἀγάπης νὰ σῴζωνται καθὼς πρέπει ἀναπληρούμενα καὶ τελειούμενα. Καὶ ὥστε ὁποῦ ἀπὸ τὸ μέρος τοῦ προφημισθέντος βασιλέως καὶ τῶν χατμάνων αὐτοῦ καὶ τῶν τοπάρχων αὐτοῦ καὶ τῶν ἄλλων νὰ μὴ φανερωθῇ διάθεσις καὶ ἔργον ἐναντίον τῆς εἰρήνης καὶ τῆς ἀγάπης, ὁποῦ νὰ κατεβάζῃ ἐξ ἀνάγκης σύγχυσιν τῶν συνθηκῶν καὶ τῶν συμβιβασμῶν, καὶ νὰ φέρῃ παραδρομὴν τῶν συμφωνιῶν καὶ τῶν ὅρκων· καὶ ὥστε ὁποῦ νὰ διατηροῦν τὰ δίκαια τῆς φιλίας καὶ εἰρήνης, καθὼς πρέπει. Καὶ ἀπὸ τὸ μέρος τῆς αὐθεντίας μου, τῆς οὔσης κέντρον εὐσταθείας, μὲ φοβεροὺς καὶ ἰσχυροὺς ὅρκους κάμνω ὅρκον, μὰ τὸ εἶναι καὶ μὰ τὴν ἀλήθειαν τοῦ τροφέως, τοῦ πλάστου τῆς γῆς καὶ τοῦ οὐρανοῦ, οὗ τὸ ὕψος ὑπερυψοῦται, καὶ μὰ τὴν ἀλήθειαν τῆς εὐρυχωρίας τῶν πολυπληθῶν θαυμάτων τοῦ Μωχάμεθ Μουσταφᾶ (ὃν εὐλογοῖτο Κύριος ὁ ἐν ὑψίστοις), νὰ μὴ γένῃ ἀπὸ μέρος μου παραλλαγὴ καὶ παραδρομή, οὔτε πολύ, οὔτε ὀλίγον, εἰς κανένα πρᾶγμα ἀπὸ τὰ ἄρθρα, ὁποῦ ἀναμεταξὺ ἐσυνδέθησαν. Εἰς τὸν καιρὸν τῆς πολυχρονίου μου βασιλείας καὶ εἰς τοὺς χρόνους τοῦ διηνεκοῦς μου κράτους νὰ εἶναι βεβαιωμένες καὶ σταθερωμένες οἱ συμφωνίες καὶ οἱ δεσμοὶ αὐτῆς τῆς εἰρήνης καὶ τῆς ἀγάπης, τῆς χορηγούσης ἐλευθερίαν· καὶ νὰ εἶναι μόνιμος καὶ κυρωμένη ἡ διαλλαγὴ καὶ ὁ σύνδεσμος τῆς ἀγάπης, καὶ διαπαντὸς καὶ καθόλου οἱ ῥαγιάδες καὶ οἱ ὑποκείμενοι τῶν τόπων ἐκείνων εἰς τὴν σκιὰν τῆς εὐτυχοῦς μου συμπαθείας καὶ εὐμενείας καὶ εἰς τὴν πλατυτάτην σκιὰν τῆς σκέπης μου, νὰ εἶναι ἥσυχοι καὶ ἀτάραχοι καὶ πανευφρόσυνοι.

www.dacoromanica.ro

www.dacoromanica.ro

B'.

# ΙΣΤΟΡΙΑ ΜΕΡΙΚΗ

ΤΩΝ

# ΣΥΜΒΑΝΤΩΝ Τῼ ΡΗΓΙ ΣΒΕΚῼ ΚΑΡΟΛῼ

ΜΕΤΑ ΤΗΝ ΕΝ Τῼ ΠΡΟΥΤῼ ΑΠΟΤΕΛΕΙΩΣΙΝ ΤΗΣ ΑΓΑΠΗΣ
ΤΩΝ ΟΘΩΜΑΝΩΝ ΜΕΤΑ ΤΩΝ ΜΟΣΧΩΝ,
ΔΙΑΤΡΙΒΟΝΤΙ ΕΤΙ ΕΝ ΜΠΕΝΤΕΡΙῼ.

ΥΠΟ

ΑΦΕΝΤΟΥΛΗ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΙΤΟΥ

ΚΛΟΥΤΖΑΡΗ ΕΝ ΟΥΓΓΡΟΒΛΑΧΙᾼ.



www.dacoromanica.ro

www.dacoromanica.ro

# ΙΣΤΟΡΙΑ

μερικὴ μέν, ἀξιόλογος δέ, περιέχουσα ἐν συνόψει τὰ συμβάντα τῷ ῥηγὶ Σβέκῳ ὀνόματι Καρόλῳ μετὰ τὴν ἐν τῷ Προύτῳ ἀποτελείωσιν τῆς ἀγάπης τῶν Ὀθωμανῶν μετὰ τῶν Μόσχων, διατρίβοντι ἔτι ἐν Μπεντερίῳ καὶ μὴ βουλομένῳ διὰ τῆς βρηθείας καὶ δυνάμεως τοῦ Ὀθωμανικοῦ κράτους ἀποδημῆσαι εἰς τὴν αὐτοῦ ἐπικράτειαν διὰ Λεχίας· τάς τε παρὰ τοῦ αὐτοκράτορος τῶν Ὀθωμανῶν κατὰ καιροὺς πεμφθείσας ἐπιστολὰς τῷ ῥηγὶ Σβέκῳ καὶ τῷ ἐκεῖσε σερασκέρῃ Ἰσμαὴλ-πασᾷ καὶ Δοβλὲτ-Γκεράϊ χάνῃ, καὶ τὰς παρ' ἐκείνων τῷ βασιλεῖ τῶν Ὀθωμανῶν ἐγκαίρους καὶ ἀμοιβαίας ἀνταποκρίσεις καὶ χρειώδεις εἰδήσεις, καὶ ὅσ' ἄλλα ἐμεσολάβησαν σημειώσεως ἄξια, ὁ ἐρχομὸς δηλαδὴ τοῦ Μοσχικοῦ στρατεύματος εἰς τὸν Προῦτον, ὁ συγκροτηθεὶς ἑκατέρωθεν πόλεμος, ἡ ποσότης ἀμφοτέρων τῶν στρατευμάτων τοῦ τε Ὀθωμανικοῦ καὶ Μοσχικοῦ, ἡ γεγονυῖα φθορὰ τῶν Μοσχόβων, καὶ τελευταῖον ἡ μετὰ τῶν Ὀθωμανῶν εἰρηνοποίησις καὶ αἱ συνθῆκαι αὐτῶν, καθὼς ἐν τῷ παρόντι φαίνονται· συγγραφεῖσα μετ' αὐτόπτου καὶ αὐτουργοῦ, ἐπιμελείας καὶ εἰς διασκεμμένην τάξιν τεθεῖσα παρ' Ἀφεντούλη κλουτζάρη ἀπὸ τοῦ ἐν Κωνσταντινουπόλει Καταστένου χωρίου Θεραπεία καλουμένου, ὄντος αὐτοῦ τηνικαῦτα ἐν Μπεντερίῳ καπῆ-κεχαγιᾶ τοῦ φιλοχρίστου αὐθέντου Οὐγγροβλαχίας κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Βασαράβα βοεβόδα Μπραγκοβάνου παρὰ τῷ ῥηθέντι σερασκέρῃ Ἰσμαὴλ-πασᾷ.

Ἐν ἔτει ,αψιβ-ῳ Μαΐου κα'.

www.dacoromanica.ro

# ΠΡΟΟΙΜΙΟΝ

Φανερὸν εἶναι εἰς πάντας τοὺς νοῦν ἔχοντας ἀνθρώπους, ὅτι ἂν καλὰ καὶ μὲ ἄλλας μαθήσεις καὶ ἐπιστήμας ὁ ἄνθρωπος εἰς τελείωσιν ἔρχεται γνώσεως, ὅμως οἴδασιν οἱ πάντες ὅτι δὲν στολίζεται μὲ ἄλλο τι περισσότερον ὁ πολιτικὴν ἔχων διαγωγήν, παρὰ μὲ τὴν συνεχῆ μελέτην καὶ καθημερινὴν μετὰ προσοχῆς ἀνάγνωσιν τῶν διαφόρων ἱστοριῶν. Ὅθεν καὶ πάντες οἱ σοφοί, τόσον τῶν Ἑλλήνων, ὅσον καὶ τοῦ ἡμετέρου ὀρθοδόξου χριστιανικοῦ πληρώματος, γνωρίζοντες τὸ ἐκ τῆς ἱστορίας μέγα ὄφελος, μὲ τὰς διαφόρους ὀνομασίας σεμνύνουσι καὶ γεραίρουσιν αὐτήν, τὸ κάλλιστον πρᾶγμα καὶ ὄνομα. Καὶ ὁ μὲν τὴν ὀνομάζει φρονήσεως διδάσκαλον καὶ ἀρχαίων πραγμάτων μηνυτήν. Καὶ μάλα εἰκότως, ἐπειδὴ μετὰ τὴν ἀνάγνωσιν ταύτης διδασκόμεθα τὰ προγεγονότα, δι' ὧν καὶ τὰ μέλλοντα εἰκάζομεν· ὁ δὲ κληρονομίαν αἰώνιον, ἐπειδὴ καὶ πάντοτε γεννᾷ ἀρίστους καρποὺς τῆς γνώσεως εἰς τοὺς ἀνθρώπους. Οἱ δὲ λοιποὶ σοφοὶ καὶ διδάσκαλοι κοινῶς ἔμψυχον ζωγραφίαν ταύτην ὠνόμασαν, ὡσὰν ὁποῦ ζωντανὰ καὶ ἐπ' ὄψιν τὰ πρότερον γεγονότα παρίστησιν. Εἰς αὐτὰς γὰρ τὰς ἱστορίας ἀκόπως εὑρίσκομεν ὅλα ἐκεῖνα ὁποῦ ἄλλοι μὲ κόπον πολὺν ἐσύναξαν, καὶ μανθάνομεν τὰς ἀρετὰς τῶν ἐναρέτων, τὰς αἰσχρουργίας τῶν φαυλοβίων, τὰς διαφόρους μεταβολὰς πάντων τῶν πραγμάτων, τὸ ἀβέβαιον πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ τὰ τέλη τῶν καλῶν καὶ κακῶν πράξεων. Ἐπειδὴ λοιπὸν μὲ τοιαῦτα παμπληθῆ ἐγκώμια ἡ ἱστορία παρὰ σοφῶν καὶ ἁγίων ἀνδρῶν μεγαλύνεται καὶ δοξάζεται, ἐπαρακινήθην καὶ ἐγὼ νὰ συγγράφω μικράν τινα ἱστορίαν πραγμάτων, ὁποῦ ἐσυνέβησαν, ὄντας εἰς Μπεντέριον ἀπεσταλμένος καπῆ-κεχαγιᾶς παρὰ τοῦ ὑψηλοτάτου καὶ φιλοχρίστου αὐθέντου μου κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου Βασαράβα βοεβόδα, ἐπὶ τῆς ὑπατείας τοῦ περιφανεστάτου σερασκέρη Ἰσμαήλ-πασα, κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν δωδέκατον νῦν ἔτος ἐν μηνὶ Μαΐῳ, ἄχρι τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ δεκάτου τρίτου· καθ' ὃν καιρὸν ἔτυχε νὰ εἶμαι αὐτόπτης τῶν κατὰ μέρος συμβεβηκότων τῷ Σβέκῳ ῥηγί, ὀνομαζομένῳ Καρόλῳ, διατρίβοντι ἐν Μπεντερίῳ.

Ὅθεν δὲν ἔκρινα εὔλογον ἀπεριέργως νὰ ἀποσιωπήσω τὰ ὅσα εἶδα ὀφθαλμοφανῶς καὶ ὠσὶν ἤκουσα, ἀλλ' ἠναγκάσθην νὰ σημειώσω φιλαλήθως τὴν παροῦσαν σύντομον μὲν κατὰ ποσὸν καὶ μερικήν, πλατυτάτην δὲ κατὰ τὸ ποιὸν ἱστορίαν, ἢ μᾶλλον εἰπεῖν ἁπλουστάτην διήγησιν χάριν τῶν φιλαναγνωστῶν, ἐπειδὴ περιέχει τὰς παρὰ τοῦ αὐτοκράτορος τῶν Ὀθωμανῶν κατὰ καιροὺς πεμφθείσας ἐπιστολὰς τῷ τε ῥηγὶ Σβέκῳ καὶ τῷ ἐκεῖσε διαληφθέντι σερασκέρῃ Ἰσμαὴλ-πασᾷ, καὶ Σκυθάρχῃ Ντοβλὲτ-Γκεράϊ, τάς τε παρ' αὐτῶν τῷ βασιλεῖ τῶν Ὀθωμανῶν ἐγκαίρους καὶ ἀμοιβαίας ἀνταποκρίσεις καὶ χρειώδεις εἰδήσεις, καί τινα ἕτερα μεσολαβήσαντα σημειώσεως ἄξια.

Δέξασθε οὖν, ὦ φιλαναγνῶσται, τὸ παραμικρόν μου ἐτοῦτο φιλοπόνημα εὐγνωμόνως εἰς σημεῖον τῆς πρὸς ὑμᾶς εὐδιαθέτου μου προαιρέσεως, καὶ εἶμαι βέβαιος, πῶς δὲν θέλει σᾶς φανῆ οὔτε ἀηδές, οὔτε ἐπαχθὲς (πᾶν γὰρ σπάνιον τίμιον), ἐγὼ δέ φημι καὶ ἥδιστον.

Ἔῤῥωστε ἐν Κυρίῳ.

www.dacoromanica.ro

## *Ἐπιστολὴ πεμφθεῖσα παρὰ τοῦ Πέτρου τζάρη τῆς Μοσχοβίας τῷ βασιλεῖ τῶν Τουρκῶν, διὰ νὰ ἐμποδίσῃ τὸν πόλεμον, ὁποῦ ἀπεφάσισαν οἱ Τοῦρκοι κατ᾿ αὐτοῦ· τὴν ὁποίαν πιάνοντάς την οἱ Σφέκοι τὴν ἔφεραν εἰς τὸ Μπεντέρι. ͵αψια΄, Φεβρουαρίου ς΄.*

*Μετὰ τοὺς συνειθισμένους τίτλους καὶ χαιρετισμούς:*

Δηλοποιεῖται, ὅτι ἂν καλὰ καὶ εἰς τὰς δύο μας ἐπιστολάς, ὁποῦ σᾶς εἴχαμεν στείλῃ πέρυσιν ἀπὸ ἔτους 1710, ἡ μία γεγραμμένη Ἰουλίου 7 καὶ ἡ ἄλλη Ὀκτωβρίου 18, νὰ ἐφανερώσαμεν τὴν γνώμην μας, ἤγουν διὰ τὴν ὑπόθεσιν τοῦ ῥηγὸς τῆς Σφεκίας καὶ τῶν αὐτοῦ ἀκολούθων Καζάκων καὶ τοῦ βοεβόδα Κιόβσκη καὶ τῶν λοιπῶν ἀποστατῶν τοῦ συμμάχου μας Αὐγούστου τοῦ ῥηγός, οἱ ὁποῖοι εὑρίσκονται εἰς τὸν τόπον σας, πῶς ἀνίσως καὶ θέλετε ὁ ῥῆγας τῆς Σφεκίας ἂς ἔβγῃ ἀπὸ τὸν τόπον σας, καὶ χωρὶς νὰ χαλασθῇ ἡ ἀγάπη μας ἂς περάσῃ ἀπὸ ὅπου θέλει, καὶ ἂς ὑπάγῃ εἰς τὸν τόπον του· εἰ δὲ καὶ θέλετε, νὰ τὸν περάσετε διὰ τῆς Λεχίας. Καὶ τώρα ὁ σκοπός μας αὐτὸς εἶναι, ὅτι μὲ τρεῖς χιλιάδες ἀνθρώπους νὰ περάσῃ, μακάρι καὶ ἀπὸ τὴν μέσην τοῦ φουσάτου μας. Ἀκόμι ἐγράψαμεν τὸν ἀποκρισιάρην μας, ὁποῦ εἶναι εἰς τὴν εὐτυχῆ σας πόρταν, καὶ ἐπροστάξαμεν νὰ ἀναφέρῃ τῇ Ὀθωμανικῇ βασιλείᾳ, ὅτι ὁ ῥῆγας τῆς Σφεκίας νὰ περάσῃ καὶ μὲ πέντε χιλιάδες στράτευμα διὰ τῆς Λεχίας καὶ ἡμεῖς νὰ μεσιτεύσωμεν εἰς τὴν ἀριστοκρατίαν τῆς Λεχίας καὶ εἰς τὸν Αὔγουστον, νῦν ῥῆγα τῆς Λεχίας, νὰ τὸν δώσῃ ἄδειαν. Ὅμως ἂν ἐσεῖς θέλετε στείλῃ τὸν ῥηθέντα ῥῆγα μὲ περισσότερον στράτευμα, παρὰ ὁποῦ εἴπαμεν, σημεῖον εἶναι τόσον εἰς ἡμᾶς, ὅσον καὶ εἰς τὸν σύμμαχόν μας Αὔγουστον, πῶς χαλνᾶτε τὴν ἀγάπην ὁποῦ ἔχετε μὲ τοῦ λόγου μας· διὰ τὸ ὁποῖον κατὰ τὴν συμμαχίαν, ὁποῦ ἔχομεν ἡμεῖς μὲ τὸν Αὔγουστον περὶ τῆς αὐτῆς ὑποθέσεως, δὲν ἠμποροῦμεν νὰ κάμωμεν ἀλλέως, παρὰ νὰ τοῦ δώσωμεν στράτευμα εἰς βοήθειάν του. Ἡμεῖς εἴμεθα ἀθῶοι τοῦ κρίματος, ὅτι δὲν θέλομεν μὲ κανένα τρόπον νὰ χαλάσωμεν τὴν ἀγάπην, ὁποῦ μὲ λόγου σας ἐστηρίξαμεν, ἀλλὰ πιστῶς τὴν φυλάττομεν. Καὶ ἂν ἐτοῦτο τὸ ἔργον προξενήσῃ αἱματοχυσίαν ἐκείνων ὁποῦ εἶναι αἰτία εἰς τὸ νὰ χαλασθῇ ἡ ἀγάπη, νὰ τὸ εὕρουν ἀπὸ τὸν Θεόν. Διὰ νὰ περάσῃ ὁ ῥῆγας τῆς Σφεκίας εἶναι καὶ ἄλλος δρόμος· ὅμως τοῦτο ὁποῦ ἐξάπαντος γυρεύει, νὰ περάσῃ ἀπὸ τὴν Λεχίαν, εἶναι διὰ νὰ προξενήσῃ φιλονεικίαν. Πλὴν ἀπόκρισις εἰς ἐκεῖνες τὲς ἐπιστολές μας δὲν μᾶς ἦλθε, μήτε ὁ ἀποκρισιάρης μας μᾶς ἐδήλωσεν ἂν τὲς ἔλαβε καὶ ἂν σᾶς τὲς ἔδωσεν· ὅμως ἀλλαχόθεν ἀκούομεν, πῶς ὁ ῥηθεὶς ἀποκρισιάρης μας νὰ εἶναι φυλακωμένος καὶ νὰ ἐδόθησαν προσταγὲς εἰς τὸ νὰ συναχθοῦν στρατεύματά σας εἰς τὰ σύνορα, καὶ νὰ ἐπροστάχθησαν οἱ Τάταροι νὰ ἑτοιμασθῶσιν εἰς πόλεμον, καὶ πῶς θέλετε νὰ στέλλετε τὸν ῥῆγα τῆς Σφεκίας μὲ πολὺ στράτευμα διὰ τῆς Λεχίας, καὶ πῶς μᾶς καλεῖτε εἰς πόλεμον. Διὰ τοῦτο ἐφάνηκεν ἀναγκαῖον νὰ γράψωμεν καὶ νὰ στέλλωμεν καὶ ταύτην τὴν βολὰν τὴν παροῦσάν μας ἐπιστολήν, καὶ θέλομεν νὰ μᾶς ἀποκριθῆτε τόσον εἰς τὲς πρῶτες, ὅσον καὶ εἰς τούτην· θέλετε νὰ κρατήσετε τὴν ἀγάπην, ὁποῦ μεθ᾿ ὅρκου ἐστηρίξετε ἐπέρυσιν, ἢ χωρὶς αἰτίαν τὴν χαλνᾶτε; διὰ νὰ τὸ ἠξεύρωμεν. Εἰ δὲ καὶ δὲν μᾶς ἀποκριθῆτε καὶ ἀκούσωμεν πῶς ὅλον συνάζετε φουσᾶτα καὶ ἀναγκαῖα πολεμικά, καὶ θέλετε νὰ περάσετε τὸν ῥῆγα τῆς Σφεκίας στανικῶς διὰ τῆς Λεχίας, καταλαμβάνομεν καὶ ἡμεῖς πῶς ἐχαλάσετε τὴν ἀγάπην, καὶ ἐξ ἀνάγκης, διὰ νὰ μὴν εὑρεθοῦμεν ἀμέριμνοι, ἐπικαλούμενοι τὸ ἔλεος τοῦ Θεοῦ διὰ τὴν ἀσφάλειάν μας, παντοίῳ τρόπῳ ἐπιμελούμεθα καὶ ἡμεῖς πρὸς ἑτοιμασίαν, καὶ μάλιστα ἐπαραγγείλαμεν τὰ στρατεύματά μας, ὁποῦ εἶναι κοντὰ εἰς τὰ σύνορά σας, νὰ πλησιάσουν εἰς τὰ σύνορα. Καὶ ἂν ἐκεῖ γίνῃ αἱματοχυσία, θέλομεν εἶσθαι συμπαθημένοι ἐνώπιον τοῦ Θεοῦ καὶ παντὸς τοῦ κόσμου, ὅτι τοῦτο κά-

www.dacoromanica.ro

www.dacoromanica.ro



μινομεν ἐξ ἀνάγκης καὶ ὁ Θεὸς τὸ γινώσκει, πῶς δὲν εἴχαμεν κανένα σκοπὸν νὰ χαλάσωμεν τὴν ἀγάπην, μάλιστα κατὰ τὰς συνθήκας μας καὶ τώρα καὶ εἰς τὸ ἑξῆς τὴν φυλάττομεν.

Ἐλπίζομεν δὲ εἰς τὸν Θεόν, πῶς ὅσοι δὲν φυλάττουν τὰς συνθήκας, νὰ μὴν εὐτυχήσουν.

2. Ἀλλὰ τίς ἡ τοσαύτη τοῦ Θεοῦ Λόγου περὶ ἡμᾶς οἰκονομία καὶ συγκατάβασις; τίς ἡ τοσαύτη φιλανθρωπία καὶ χάρις; πόθεν καὶ ἀπὸ ποίαν αἰτίαν τὰ τοιαῦτα πάντα δι' ἡμᾶς καταδέχεται; Φανερὸν εἶναι ὅτι πῶς διὰ τὴν ἀδέκαστον αὐτοῦ δικαιοκρισίαν καὶ ἔμφυτον ἀγαθότητα. Βασιλεὺς ἦτον οὐρανοῦ καὶ γῆς παντοδύναμος καὶ πάνσοφος καὶ πανάγαθος, καὶ ἀνάγκην εἶχε νὰ εἰρηνεύσῃ τὸ βασίλειόν του, οὐράνιον καὶ ἐπίγειον· ἐπειδὴ ἔργον βασιλέως εἶναι νὰ καταπολεμᾷ τοὺς ὑπεναντίους καὶ νὰ ἐλευθερώνῃ τοὺς ἰδικούς του ἀπὸ τὰ χέρια τῶν πολεμίων, καὶ νὰ καταστήσῃ εἰρήνην βαθεῖαν καὶ μακαρίαν ζωὴν εἰς τὴν βασιλείαν του. Ἠπάτησεν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὁ διάβολος τὸν ἄνθρωπον καὶ τὸν ἐκαταδούλωσεν μὲ τὴν παρακοὴν τῆς ἐντολῆς τοῦ Θεοῦ εἰς τὴν ἐξουσίαν του, καὶ τὸν ἔκαμεν ἐχθρὸν μὲ τὸν ποιητὴν καὶ δημιουργόν του Θεόν, ὡς καθὼς καὶ αὐτὸς πρότερον ἀποστάτησεν ἐκτραχηλιάσας ἀπὸ κυρίου Θεοῦ παντοκράτορος, καὶ τοιουτοτρόπως ἀνεχώρησεν ἡ εἰρήνη καὶ ἀγάπη τοῦ Θεοῦ ἀπὸ τοὺς ἀνθρώπους καὶ ὅλως ἀπὸ τὴν γῆν καὶ τὸν κάτω κόσμον καὶ ἔμεινε μόνον εἰς τοὺς οὐρανοὺς μεταξὺ τοῦ Θεοῦ καὶ τῶν οὐρανίων καὶ ἁγίων ἀγγέλων, καὶ ἐχαίρετον ὁ διάβολος εἰς τὸν πόλεμον καὶ τὴν νίκην, ὁποῦ ἐκατώρθωσε καὶ ἔκαμε κατὰ τῶν ἀνθρώπων καὶ τοὺς εἶχεν ὅλους κεκρατημένους ὑπὸ τὴν ἐξουσίαν του μέσα εἰς τὴν αἰώνιον κόλασιν, ἁπαξάπαντας, καὶ δικαίους καὶ ἁμαρτωλούς, ἀπὸ κτίσεως κόσμου εἰς πέντε χιλιάδας καὶ πεντακοσίους τόσους χρόνους. Ἀλλὰ δὲν ἄφηκεν ἕως τέλους ὁ δικαιοκρίτης καὶ βασιλεὺς τῶν ὅλων Θεὸς τὸ πλάσμα του ἀδίκως κρατούμενον ὑπὸ τὴν ἐξουσίαν τοῦ Σατανᾶ· ἀμὴ ὡσὰν παντοδύναμος καὶ πάνσοφος καὶ πανάγαθος ὁποῦ ἦτον, ὡς εἴπομεν, ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ ἔλαβε σάρκα ἐκ τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας καὶ ἔγινεν κατὰ ἀλήθειαν ἄνθρωπος τέλειος, ὡς καθὼς ἦτον καὶ Θεὸς ὑπερτέλειος, καὶ ἐπολέμησεν ὡς ἄνθρωπος τὸν μισάνθρωπον, τὸν ἐχθρὸν Θεοῦ καὶ ἀνθρώπων, διὰ νὰ νικήσῃ μὲ τοῦτον τὸν τρόπον δικαίως τε καὶ πρεπόντως ὁ ἄνθρωπος ὁποῦ ἐνικήθη αὐτὸν τὸν διάβολον, ὁποῦ τὸν ἐνίκησεν πρότερον· καὶ ἐκεῖ ὁποῦ εἶχε παίγνιον πρότερον ὁ διάβολος τὸν ἄνθρωπον, ἐγένετο ὕστερον αὐτὸς ὁ διάβολος παίγνιον καὶ καταπάτημα τοῦ ἀνθρώπου, καθὼς τὸ ὁρίζει καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις· «Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ»[1].

3. Καὶ τοιουτοτρόπως ἠλευθέρωσεν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς τὸν ἄνθρωπον, τὸ πλάσμα τῶν χειρῶν του, ἀπὸ τὴν αἰχμαλωσίαν καὶ ἐξουσίαν τοῦ διαβόλου, καὶ κατεχάλασε τὴν ἔχθραν ὁποῦ εὑρίσκετον ἀναμεταξὺ Θεοῦ καὶ ἀνθρώπων, καὶ ἥνωσεν τὰ μακρὰν διεστῶτα καὶ ἔκαμε τὰ ἀμφότερα ἕν, οὐράνια καὶ ἐπίγεια, θεῖά τε καὶ ἀνθρώπινα, κάμνωντας διαλλαγὴν καὶ εἰρήνην μεγάλην μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, ἐξαγοράζωντάς τους μὲ τὸ ἴδιόν του αἷμα, ὁποῦ ἔχυσεν ἐπάνω εἰς τὸν σταυρόν. Διὰ τοῦτο καὶ ἔψαλλον οἱ ἄγγελοι τοῦ Θεοῦ σήμερον χαίροντες ἐν τῇ Βηθλεὲμ διὰ τὴν ἡμῶν σωτηρίαν καὶ λέγοντες· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία»[2], ἐπειδὴ πρότερον μὲν εἰς τοὺς οὐρανοὺς μόνον εὑρίσκετο ἡ εἰ-

[1]) Πρβλ. Ματθ. ι', 1. Λουκ. ι', 19. [2]) Λουκ. β', 14.



www.dacoromanica.ro

ρήνη, ὡς εἴπομεν, μεταξὺ Θεοῦ καὶ ἀγγέλων. Ἀμὴ σήμερον, τοῦ Χριστοῦ γεννηθέντος, ἐγένετο καὶ ἐπὶ γῆς εἰρήνη· καὶ τί λογῆς εἰρήνη; «ἐν ἀνθρώποις εὐδοκία», τουτέστιν οἰκονομία καὶ σωτηρία εἰς τοὺς ἀνθρώπους. Διὰ τοῦτο καὶ ἔλεγε μετὰ τὴν ἀνάστασιν αὐτὸς ὁ σωτὴρ τοῦ κόσμου Χριστός· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς»[1], ἐπειδὴ τὴν γῆν πρὸ τῆς ἐνσάρκου οἰκονομίας τὴν ἐξουσίαζεν ὁ διάβολος, ἔχωντας τὸν βασιλέα τῶν ἐπιγείων ἁπάντων αἰχμάλωτον, ἤγουν τὸν ἄνθρωπον ὑπὸ τὴν ἐδικήν του ἐξουσίαν, καὶ ἐλατρεύετο ὡς Θεὸς ὑπ᾽ αὐτοῦ. Διὰ τοῦτο καὶ ἄρχων ἐλέγετο τοῦ κόσμου τούτου καὶ θεὸς τοῦ αἰῶνος τούτου. Ἀλλ᾽ ὁ κραταιὸς ἐν πολέμοις Κύριος διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας τὸν ἐξωστράκισεν καὶ τὸν ἐδίωξεν ἀπὸ τὴν ἐξουσίαν καὶ βασιλείαν τούτου τοῦ κόσμου, καθὼς τὸ ὁρίζει καὶ μοναχός του ἐν Εὐαγγελίοις· «νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται»[2]. Καὶ τοιουτοτρόπως ἔλαβεν πᾶσαν ἐξουσίαν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ὡς προείπομεν· ὄχι μόνον ἐπὶ γῆς, ἀλλὰ καὶ τῶν καταχθονίων ἐγένετο κύριος, καταβὰς εἰς τὸν Ἅδην καὶ σκυλεύοντάς τον ἠλευθέρωσεν τὰς τῶν ἀπ᾽ αἰῶνος ἁγίων ἐκεῖσε κατεχομένας ψυχάς, ἵνα κατὰ τὸν θεῖον ἀπόστολον «ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται»[3], εἴτε οὐράνιος, εἴτε ἐπίγειος, εἴτε καταχθόνιος, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. Ἀμήν». Κατὰ τὸν ὅμοιον τρόπον καὶ εἰς τὴν παροῦσαν ζωὴν καὶ εἰς τὸν πρόσκαιρον τοῦτον κόσμον αὐτὸς ὁ βασιλεὺς τῶν βασιλευόντων ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ χειροτονεῖ ὁ ἐπουράνιος βασιλεὺς βασιλεῖς καὶ ἄρχοντας ἐπιγείους, καὶ ὁ ἐπουράνιος ἀρχιερεὺς ἀρχιερεῖς καὶ ποιμένας ἐπιγείους κατὰ μίμησιν τῆς οὐρανίου ἱεραρχίας τε καὶ βασιλείας (ἐπειδὴ οὐκ ἔστιν ἐξουσία κατὰ τὸν ἀπόστολον, εἰ μὴ ἀπὸ τοῦ Θεοῦ)[4], διὰ νὰ κυβερνῶνται καὶ οἱ ἐπίγειοι ἄνθρωποι ὑπὸ ποιμένων ἐκκλησιαστικῶν τε καὶ πολιτικῶν θεαρέστως, κατὰ μίμησιν τῆς ἀγγελικῆς ἐκείνης διαγωγῆς τε καὶ πολιτείας, ἵνα ᾖ τὰ πάντα ἐν πᾶσι Χριστὸς ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

4. Αὐτὸς ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, Ἰησοῦς Χριστὸς καὶ Θεός, μὲ δικαίαν ψῆφον κατὰ τὴν θείαν αὐτοῦ πρόγνωσιν ἀνεδίδασεν καὶ τὴν θεοφρούρητον καὶ θεοδόξαστον ὑμῶν ἐκλαμπρότητα εἰς ταύτην τὴν περίφημον καὶ μεγαλώνυμον αὐθεντείαν, γνωρίζωντας ἀκριβῶς τὰς ἡρωϊκὰς καὶ μεγαλοφυεῖς αὐτῆς ἀρετάς, ὁ τῶν κρυπτῶν γνώστης Θεός, εἰς τέτοιον καιρὸν ἐπιτήδειόν τε καὶ χρειαζόμενον, διὰ νὰ τεθῇ κατὰ τὴν εὐαγγελικὴν ἐκείνην φωνὴν τὸ φῶς ἐπὶ τὴν λυχνίαν, διὰ νὰ λάμψῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, ὅπως ἴδωσιν οἱ ἄνθρωποι ὑμῶν τὰ καλὰ ἔργα καὶ τὴν χριστομίμητον ὑμῶν πολιτείαν καὶ πάνσοφον πρόνοιαν καὶ κυβέρνησιν, καὶ δοξάσωσι τὸν κοινὸν ἡμῶν πατέρα, τὸν ἐν τοῖς οὐρανοῖς· ἐπειδὴ βλέπομεν, ὅτι, ὡς καθὼς ὁ βασιλεὺς τῶν βασιλευόντων Χριστὸς ὁ Θεὸς ἡμῶν μὲ τὴν ἁγίαν του πολιτείαν ἐδίδασκε τοὺς ἀνθρώπους τὰς ἁγίας καὶ σωτηρίους αὐτοῦ ἐντολάς, καθὼς τὸ ὁρίζει καὶ ὁ ἱερώτατος εὐαγγελιστὴς Λουκᾶς εἰς τὴν ἀρχὴν τῶν Πράξεων, «ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν»[5], τὸν ὅμοιον τρόπον καὶ ἡ θεοτίμητος ὑμῶν ἐνδοξότης μὲ τὰ καλὰ καὶ θεάρεστα ὑμῶν ἔργα διδάσκετε τοὺς πάντας εἰς τὸ νὰ φυλάξουν καὶ αὐτοὶ ὁμοίως τὰς ἁγίας αὐτοῦ ἐντολάς. Διὰ τοῦτο καὶ ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος εἶναι πάντοτε ὑπερασπιστὴς καὶ πρόμαχος καὶ ἀντιλήπτωρ εἰς πᾶσαν ὑμῶν θεάρεστον χρείαν, καὶ εἶναι τὰ ὦτα Κυρίου πάντοτε ἀνεῳγμένα εἰς πᾶσαν ὑμῶν σωτήριον αἴτησιν καὶ εἰς πάντα τὰ ἐν Χριστῷ καταθύμια καὶ πρὸς σωτηρίαν αἰτήματα καὶ ζητήματα. Διὰ τοῦτο καὶ ἡμεῖς οἱ εὐτελεῖς δοῦλοι καὶ ἱκέται τῆς θεοφυλάκτου καὶ θεοσώστου ὑμῶν ἐκλαμπρότητος, κοντὰ εἰς τὸ κοινὸν χρέος ὁποῦ ἔχομεν μετὰ τῶν ἄλλων ἁπάντων, καὶ χρεωστοῦμεν νὰ παρακαλοῦμεν τὸν πανοικτίρμονα Κύριον διὰ τὴν ὑμετέραν ὑγείαν, εὐτυχίαν καὶ ἄκραν εὐδαιμονίαν, διὰ τὰ καλὰ καὶ συμφέροντα, ὁποῦ καθ᾽ ἑκάστην ἀπολαμβάνομεν ἀπὸ τὴν πατρικὴν ὑμῶν κηδεμονίαν τε καὶ κυβέρνησιν. Ἔχομεν ἀκόμι χρέος ξεχωριστὰ νὰ παρακαλοῦμεν μὲ ὅλην μας τὴν ψυχὴν καὶ καρδίαν τὸν παντοκράτορα Κύριον διὰ τὴν θεόσεπτον ὑμῶν ἐκλαμπρότητα ἐν ἑσπέρᾳ καὶ πρωῒ καὶ μεσημβρίᾳ καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ, διὰ τὴν μεγάλην καὶ ἀνυπέρβλητον ὑμῶν πρὸς ἡμᾶς εὐεργεσίαν καὶ χάριν, ὁποῦ

---

1) Ματθ. κη', 16. 2) Ἰωάν. ιβ', 31. 3) Φιλιπ. β', 10, 11. 4) Ῥωμ. ιγ', 1. 5) Πράξ. α' 1.

www.dacoromanica.ro

καθ' ἑκάστην ἀπολαμβάνομεν, λέγω τὴν προκοπὴν καὶ ἐπίδοσιν τῶν γραμμάτων, ὁποῦ καλὸν μεγαλήτερον δὲν ἐχάρισεν ὁ Θεὸς εἰς τὸν κόσμον κατὰ τὸν σοφώτατον Σολομῶντα καὶ αὐτὴν τὴν ἀλήθειαν, ὡσὰν ὁποῦ στολίζει τὰ ἤθη καὶ τὰς πράξεις καὶ τὴν πολιτείαν τῶν ἀνθρώπων μὲ ἔργα καλὰ καὶ κοσμοσωτήρια κατορθώματα, καὶ κοσμεῖ τὴν ψυχὴν καὶ τὸν νοῦν μὲ τὴν θεωρίαν καὶ γνῶσιν τῶν ὄντων, πρᾶγμα ὁποῦ μηδὲ ἄλλος τινὰς τὸ ἐπιχειρίσθηκεν ἄλλην φορὰν εἰς ταύτην τὴν πολιτείαν· ἡ ὁποία σοφία στολίζει μὲ τὰ ἐδικά της καλὰ τὰ ἀνθρώπινα πάντα καὶ ὅλην τὴν πρόσκαιρον ταύτην ζωήν, τόσον κατὰ τὰ ἐκκλησιαστικὰ καὶ πνευματικά, ὅσον κατὰ τὰ πολιτικὰ καὶ σωματικά, καὶ εἶναι κοινὴ σωτηρία τοῦ κόσμου.

5. Ὅθεν καὶ ἡμεῖς ἅπαντες δεόμεθα ἐκτενῶς καὶ παρακαλοῦμεν, καὶ ὅλοι κοινῶς ὁμοῦ καὶ ξεχωριστὰ ὁ καθ' ἕνας, αὐτὸν τὸν παντοδύναμον καὶ φιλανθρωπότατον ἡμῶν δεσπότην καὶ κύριον, τὸν σήμερον ἐν σπηλαίῳ γεννηθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου καὶ θεοτόκου διὰ τὴν ἡμῶν σωτηρίαν, ἵνα διατηρήσοι, φρουρήσοι, περιέποι καὶ περισώσοι τὴν θεοδόξαστον ὑμῶν ἐκλαμπρότητα ὑπὸ τὰς πτέρυγας τῆς πανσθενεστάτης καὶ παντεπόπτου αὐτοῦ προνοίας καὶ χάριτος, καὶ ἵνα ὑποτάξοι ὑπὸ τοὺς πόδας αὐτῆς πάντα ἐχθρὸν καὶ πολέμιον, αἰσθητόν τε καὶ νοητόν, καὶ ἵνα τῆς ἐπιβραβεύσοι καὶ χορηγήσοι πᾶσαν αὐτάρκειαν, ζωὴν πολυχρόνιον, ἄκραν ὑγείαν, ἄκραν εἰρήνην, ἄκραν εὐδαιμονίαν, πᾶν ἐν Χριστῷ καταθύμιον ἄχρι βαθυτάτου καὶ λιπαροῦ γηρατείου, εἰς σύστασιν καὶ καταρτισμὸν καὶ κατὰ Θεὸν προκοπὴν καὶ ἐπίδοσιν τῆς ἐμπιστευθείσης αὐτῇ θεοσώστου καὶ περιωνύμου ταύτης πολιτείας καὶ αὐθεντείας, σὺν τῇ εὐσεβεστάτῃ, ἐκλαμπροτάτῃ καὶ θεοφυλάκτῳ κυρίᾳ ἡμῶν Μαρίᾳ δόμνᾳ, μετὰ τῶν ἐκλαμπροτάτων καὶ θεοφυλάκτων ὑμῶν μπεγζατέδων καὶ πάσης συγγενικῆς καὶ κατ' οἶκον ὑμῶν ἐκκλησίας καὶ ὁμηγύρεως τῶν ἐντιμοτάτων καὶ ἐνδοξοτάτων ἀρχόντων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου καὶ πάσης ἁπλῶς τῆς εὐλογημένης ταύτης τζάρας καὶ αὐθεντείας, καὶ εἰς τοὺς καθ' ἡμᾶς χρόνους καὶ καθεξῆς ἀλληλοδιαδόχως εἰς γενεὰς γενεῶν μέχρι συντελείας αἰῶνος· ἐν δὲ τῷ μέλλοντι ἐπιβραβεύσαιτο ὑμῖν ἀπειροπλασίως εἰς ἀνταπόδοσιν τῶν θεοφιλῶν αὐτῆς ἀρετῶν τὴν ἀκατάλυτον ἐκείνην καὶ ἀκατανόητον καὶ ἀδιάδοχον καὶ οὐράνιον αὐτοῦ βασιλείαν εἰς ἀπεράντους ἀτελευτήτους καὶ ἀϊδίους αἰῶνας αἰώνων. Ἀμήν.

---

Πολυχρόνιον ποιήσαι Κύριος ὁ Θεὸς τὸν εὐσεβέστατον, ἐνδοξότατον καὶ ἐκλαμπρότατον ἡμῶν αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγκροβλαχίας, κύριον κύριον Ἰωάννην Κωνσταντῖνον Μπασαράμπα βοεβόδα, σὺν τῇ εὐσεβεστάτῃ κυρίᾳ ἡμῶν δόμνᾳ Μαρίᾳ καὶ τῶν ἐκλαμπροτάτων καὶ θεοφυλάκτων αὐτῆς πεγζατέδων, πρὸς δὲ καὶ τὸν πανιερώτατον καὶ θεοπρόβλητον ἡμῶν πατέρα καὶ δεσπότην καὶ πνευματικὸν ποιμένα πάσης Οὐγκροβλαχίας κύριον κύριον Θεοδόσιον εἰς ἐτῶν πολλῶν περιόδους. Ἀμήν, ἀμήν, ἀμήν.

,αχϙε$^{ῳ}$ (=1695). *Εἴρηται ὑπὸ Σερβάνου, υἱοῦ τοῦ ἄρχοντος βιστιάρη.*

## 7.

## (ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΠΕΡΙΤΟΜΗΝ ΤΟΥ ΚΥΡΙΟΥ).

«Ὁ θρόνῳ πυριμόρφῳ ἐν ὑψίστοις καθήμενος σὺν πατρὶ τῷ ἀνάρχῳ καὶ τῷ θείῳ σου πνεύματι» κτλ.

1. Περιτομὴν δεσποτικὴν ἑορτάζομεν σήμερον καὶ μνήμην ἱεράρχου σοφοῦ καὶ τρισμάκαρος, ἐκλαμπρότατε, ἐνδοξότατε καὶ θεοφρούρητε ἡμῶν αὐθέντα καὶ εὐεργέτα. Διπλῆν ἑορτὴν ἑορτάζομεν σήμερον, λέγω δεσπότου καὶ δούλου, ὅτι σήμερον ὁ τῶν ὅλων Κύριος περιτομὴν ὑπομένει καὶ βροτῶν τὰ παίσματα ὡς ἀληθῶς περιτέμνει, καὶ τοιουτοτρόπως δίδωσι τὴν σωτηρίαν σήμερον <τῷ> κόσμῳ. Σήμερον δὲ μεταβαίνει ἐκ τῶν προσκαίρων καὶ ὁ δοῦλος πρὸς τὸν δεσπότην, καὶ χαίρει ἐν τοῖς ὑψίστοις ὁ τοῦ κτίστου ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος. Περιτέμνεται σήμερον αὐτὸς ὁ τῆς περιτομῆς νομοθέτης, ἵνα καταπαύσῃ

www.dacoromanica.ro

τὸν νόμον αὐτὸν τῆς περιτομῆς· περιτέμνεται μόνος αὐτὸς ἀντὶς διὰ ὅλον τὸ ἀνθρώπινον γένος, διὰ νὰ ἐλευθερώσῃ τοὺς πάντας ἀπὸ τὴν τοῦ νόμου κατάραν, ὁποῦ δὲν περιτέμνονται· περιτέμνεται. Ἵνα περιτέμῃ καὶ καταπαύσῃ τοῦ λοιποῦ τὸν νόμον τὸν Μωσαϊκόν, τὸν γραπτόν, τὸν σκιώδη καὶ τυπικόν, ἐπειδὴ ἔμελλεν νὰ μᾶς δώσῃ αὐτὸς ἀπὸ λόγου του ἄλλον νόμον νέον, τὸν προτυπούμενον ὑπὸ τοῦ παλαιοῦ, τὴν νέαν καὶ καινὴν Διαθήκην, τὸ ἅγιον Εὐαγγέλιον, αὐτὴν τὴν χάριν καὶ τὴν ἀλήθειαν, ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ δὲ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Παύει τὴν σαρκικὴν ταύτην περιτομήν, τὴν ἄχρηστον καὶ ἀνωφελῆ, μὲ τὴν ἐδικήν του περιτομήν, καὶ ἀντὶ ταύτης μᾶς χαρίζει τὴν ἀληθινὴν καὶ πνευματικὴν περιτομήν, τὴν ἀναγκαίαν καὶ ψυχοσώτειραν, λέγω τὸ ἅγιον βάπτισμα, βαπτισθεὶς πρῶτος αὐτὸς ἐν τῷ Ἰορδάνῃ ὑπὸ τοῦ Ἰωάννου.

2. Τὴν περιτομὴν ἐκείνην τὴν παλαιὰν οἱ ἄνδρες μόνον ἐπεριτέμνοντο ὡσὰν ἕνα σημεῖον, διὰ νὰ ξεχωρίζωνται ἀπὸ τὰ ἄλλα ἔθνη τὰ ἀπερίτμητα, καὶ ὡσὰν ἕνα γνώρισμα θεοσεβείας καὶ ἔργων ἀγαθῶν· ἀμὴ τὴν ἀληθινὴν περιτομὴν τὴν περιτέμνονται ἁπαξάπαντες ὡς ἀναγκαίαν τε καὶ σωτήριον, κἂν ἄνδρες, κἂν γυναῖκες. Τὴν περιτομὴν ἐκείνην τὴν παλαιὰν μήτε οἱ ἄνδρες Ἑβραῖοι τὴν ἐκράτησαν, ἀλλ' ἔμειναν ἀπερίτμητοι τεσσαράκοντα χρόνους εἰς ὅλην ἐκείνην τὴν ἄβατον, ἐπειδὴ ἦσαν κεχωρισμένοι ἀπὸ τὰ ἄλλα ἔθνη τὰ ἄπιστα, τοὺς εἰδωλολάτρας, καὶ ἀπέθανον οὗτοι πάντες εἰς τὴν ἔρημον ἀπερίτμητοι, ἔξω ἀπὸ δύο τινάς, τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ τὸν Χάλεβ· ἀμὴ τὴν ἀληθινὴν περιτομήν, εἴ τις δὲν περιτέμνεται, ἀληθινὰ ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς ἐξολοθρευθήσεται, ἐπειδὴ καὶ κατὰ τὴν εὐαγγελικὴν ἐκείνην ἀπόφασιν, ὅστις οὐκ ἀναγεννηθῇ «ἐξ ὕδατός τε καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[1]. Ὀκταήμερον ἐκεῖνοι περιετέμνοντο, κατὰ μὲν τὸ φαινόμενον διὰ τὸν πρῶτον καθαρισμὸν τῶν μητέρων ἀπὸ τὰ παχύτατα αἵματα (ἐπειδὴ κατὰ τὴν ἁγίαν Γραφὴν ἑπτὰ ἡμέρας ἡ γυνὴ ἀκάθαρτος ἔσται), τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ περιετέμνοντο κατὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, κατὰ δὲ τὸ νοούμενον διὰ τὴν τοῦ ἑπταδικοῦ τούτου αἰῶνος ἀκαθαρσίαν, διὰ τὴν φονικὴν καὶ αἱματηρὰν πλημμύραν τῶν ἀκαθάρτων καὶ παρανόμων καὶ ἀσεβῶν ἔργων καὶ λόγων καὶ ἐνθυμήσεων, τῆς τῶν ἀνθρώπων κακίας καὶ πονηρίας. Διὰ τοῦτο καὶ ὀλίγοι κατὰ πολλά εἰσιν οἱ σῳζόμενοι· διότι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, καὶ οὐδεὶς ἀναμάρτητος κατὰ τὴν ἁγίαν Γραφήν, οὐδ' ἂν μία ἡμέρα ᾖ ἡ ζωὴ αὐτοῦ· κατὰ δὲ τὸν ὄγδοον καὶ ἀτελεύτητον ἐκεῖνον αἰῶνα πᾶσα κακία καὶ ἁμαρτία περιτέμνεται καὶ καταπαύει. Διὰ τοῦτο καὶ ὁ σοφώτατος Σολομὼν μᾶς προστάζει καὶ λέγει· «δὸς μερίδα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ»[2], διδάσκωντάς μας μὲ τοῦτο νὰ φυλάξωμεν εἰς τὴν πρόσκαιρον ταύτην ζωὴν τὰς ἐντολὰς τοῦ Θεοῦ, διὰ νὰ κληρονομήσωμεν ἐκεῖ τὴν αἰώνιον.

3. Κατὰ δὲ τὸ παιδογόνον μόριον περιετέμνοντο, διδάσκοντος τοῦ Λόγου δύο τινά, τὸ μὲν διὰ νὰ λείψουν ἀπὸ τὴν συγγενικὴν τεκνογονίαν καὶ δεύτερον διὰ νὰ ἀπέχουν καὶ νὰ λείψουν ἀπὸ τὰς σαρκικὰς καὶ ἐμπαθεῖς ἀπολαύσεις καὶ ἡδονὰς τῆς σαρκός, καὶ ἀπὸ τὰς φαύλους καὶ ψυχοφθόρους ἐννοίας καὶ ἐνθυμήσεις. Ζεῦγος δὲ τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν προσέφερον εἰς θυσίαν, ἀπὸ τὰ ὁποῖα τὸ μὲν ἕνα τὸ ἐθυσίαζον, τὸ δὲ ἄλλο τὸ ἀπέλυον καὶ τὸ ἠλευθέρουν, φανερώνωντας ὁ Λόγος μὲ τοῦτο, πῶς ὁ αὐτὸς καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς ἦτον καὶ εἶναι ἀρχηγὸς καὶ δοτὴρ καὶ δεσπότης τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης, καὶ πῶς τὴν μὲν παλαιὰν ὡς σκιώδη καὶ τυπικὴν Διαθήκην ἔμελλε νὰ τὴν καταργῇ καὶ νὰ τὴν σηκώνῃ ἀπὸ τὸ μέσον καὶ ἀντ' ἐκείνης νὰ εἰσαγάγῃ τὴν νέαν Διαθήκην, νὰ τὴν ἀφίνῃ ἐλευθέραν καὶ κυρίαν μέχρι συντελείας αἰῶνος. Δεύτερον, διὰ νὰ δείξῃ τὰς δύο φύσεις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν θεότητα λέγω καὶ ἀνθρωπότητα, καὶ πῶς ἡ μὲν ἀνθρωπότης του ἔμελλε νὰ σφαγῇ καὶ νὰ θυσιασθῇ ἐπάνω εἰς τὸν σταυρὸν διὰ τὴν τοῦ κόσμου σωτηρίαν, ἡ δὲ θεότης του νὰ μένῃ ἐλευθέρα καὶ ἀπαθής. Καὶ τρίτον, διὰ νὰ μᾶς δείξῃ πῶς ἐκεῖνοι ὁποῦ περιτέμνονται τὴν ἀληθινὴν περιτομήν, λέγω διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀφιερώνουσι τὸν ἑαυτόν τους εἰς τὸν Θεόν, χρεωστοῦν τὴν μὲν σάρκα τους νὰ τὴν θυσιάσουν καὶ νὰ νεκρώσουν τὸ φρόνημα τῆς σαρ-

[1]) Ἰωάν. γ', 5. [2]) Ἐκκλ. ια', 2.

www.dacoromanica.ro

κός, ὑποτάσσωντάς την εἰς τὴν δέσποιναν καὶ κυρίαν της, τὴν ψυχήν· αὐτὴν δὲ τὴν ψυχὴν νὰ τὴν ἀφήσουν ἐλευθέραν καὶ κυρίαν τοῦ σώματος, ὑποτάσσωντας τὸ φρόνημα καὶ τὸ θέλημα τῆς σαρκὸς εἰς τὸ φρόνημα καὶ τὸ θέλημα τῆς ψυχῆς, ἂν εἶναι καὶ θέλουν νὰ κληρονομήσουν τὴν οὐράνιον βασιλείαν, ἐπειδὴ κατὰ τὸν εἰπόντα «ἡ πίστις καὶ τὸ βάπτισμα χωρὶς τῶν ἔργων νεκρά ἐστι», καθὼς καὶ τὰ ἔργα εἶναι νεκρὰ χωρὶς τὸ βάπτισμα καὶ τὴν πίστιν.

4. Αὐτὰ μὲν οὖν τὰ ὀλίγα τὰ εἴπαμεν διὰ τὴν κατὰ σάρκα περιτομὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὸ μέτρον τοῦ καιροῦ καὶ τοῦ τόπου, καὶ ἂς εἰποῦμεν ἀκολούθως ὀλίγα τινὰ καὶ διὰ τὸν συνεορταζόμενον μέγαν Βασίλειον, τοῦ ὁποίου ἡ κοίμησις συνέδραμε σήμερον, ἀῤῥήτοις προνοίας λόγοις, μὲ τὴν κατὰ σάρκα περιτομὴν τοῦ δεσπότου Χριστοῦ, ὡσὰν ὁποῦ καὶ αὐτὸς μὲ τὴν δίστομον ῥομφαίαν καὶ πνευματικὴν μάχαιραν τῆς πανσόφου διδασκαλίας του περιέτεμε πᾶσαν αἵρεσιν καὶ πᾶσαν ἀντίθετον γλωσσαλγίαν ἀπὸ τὴν τοῦ σήμερον κατὰ σάρκα περιτμηθέντος Χριστοῦ Ἐκκλησίαν, καὶ τὴν ἐκατάστησεν ἐλευθέραν ἀπὸ τὴν καταδυναστείαν τῶν τυραννούντων αἱρετικῶν καὶ ἀπίστων. Βασίλειος ἐκεῖνος ὁ μέγας, ὁποῦ ὑπέταξε πάντα τὰ πάθη τῆς ψυχῆς τε καὶ τοῦ σώματος ὡς ἄλλος οὐδείς, καὶ ἐχρημάτισεν ὄντως κατὰ τὸ ὄνομά του βασιλεὺς καὶ κύριος τῶν παθῶν· Βασίλειος ἐκεῖνος, ὁποῦ ἤλεγξεν αὐθεντικῶς τε καὶ βασιλικῶς μὲ τόσην τόλμην καὶ παῤῥησίαν βασιλεῖς καὶ τυράννους, Οὐάλεντα λέγω καὶ Μόδεστον· Βασίλειος ἐκεῖνος ὁ μέγας, ὁποῦ κατέσφαξε τὸν παραβάτην ἐκεῖνον καὶ ἄθεον βασιλέα, τὸν Ἰουλιανόν, φθάνωντας εἰς μίαν ῥοπὴν καιροῦ ἀπὸ τὴν Καισάρειαν εἰς τὴν Περσίαν μὲ τὴν δύναμιν καὶ ῥομφαίαν τῆς προσευχῆς του· Βασίλειος ἐκεῖνος ὁ πύρινος καὶ οὐρανομήκης στῦλος τῆς Ἐκκλησίας, καθὼς τὸν ἔβλεπεν ὁ μέγας ἐκεῖνος ἀσκητὴς καὶ ὁσιώτατος Ἐφραὶμ ὁ Σύρος μὲ τὰ νοερὰ μάτια τῆς ψυχῆς του· ὅθεν καὶ ἄκουεν ἀπὸ οὐράνιον μαρτυρίαν, πῶς τοιοῦτος οὐρανομήκης καὶ στῦλος τοῦ πυρὸς ὑπάρχει ὁ μέγας Βασίλειος. Βασίλειος οὗτος ἐκεῖνος, τοῦ ὁποίου τὰ διατάγματα καὶ θεσπίσματα καὶ βασιλεῖς ᾐδέσθησαν καὶ οἰκουμενικαὶ σύνοδοι ἐπεκύρωσαν. Βασίλειος ἐκεῖνος, ἡ ἀκράδαντος καὶ ἀπερίτρεπτος βάσις τῆς Ἐκκλησίας, ὁ ἄξιος καὶ τῷόντι γνήσιος υἱὸς καὶ κληρονόμος τῆς οὐρανῶν βασιλείας· Βασίλειος, τοῦ ὁποίου τὴν πρὸς Θεὸν παῤῥησίαν καὶ δαίμονες ἔφριξαν καὶ ὁ τούτων ἀρχηγός· ὡσὰν νὰ ἦτον ἀδικημένος ἔκραξε λέγωντας· «Ἀδικεῖς με, Βασίλειε, ἀδικεῖς με». Βασίλειος ἐκεῖνος, ὁ ὁποῖος αὐτοδεσπότως τε καὶ βασιλικῶς διετάξατο κανόνας καὶ ὅρους ἐκκλησιαστικούς τε καὶ πολιτικούς, ἀσκητικούς τε καὶ μοναδικούς. Βασίλειος ὁ μέγας, ὁ ὁποῖος μὲ τὴν προσευχήν του καὶ μόνην (ὢ ἐξαισίου τερατουργήματος) ἐχάρισεν τὴν Ἑλληνικὴν σοφίαν καὶ γλῶτταν ἐκείνου τοῦ ἁγιωτάτου ἀνδρὸς καὶ μεγάλου προειρημένου ἀσκητοῦ Ἐφραὶμ τοῦ Σύρου. Βασίλειος ὁ μέγας, ὁ θεῖος καὶ κατὰ χάριν θεὸς (ὢ τοῦ φρικοῦ θαύματος), ὁποῦ συνεχώρει ἁμαρτίας καὶ μετὰ θάνατον. Βασίλειος ἐκεῖνος, ὁποῦ ἐβασίλευσεν καὶ αὐτοῦ τοῦ θανάτου καὶ δὲν ἐτόλμα κἂν νὰ τοῦ πλησιάζῃ ὁ θάνατος, μόνον διὰ νὰ σώσῃ ψυχὰς Ἰουδαϊκάς.

5. Τοιαῦτα τὰ τοῦ μεγάλου Βασιλείου ἀνδραγαθήματα, τοιαῦτα τὰ τοῦ οὐρανοφάντορος κατορθώματα. Τοιοῦτος ἐστάθηκεν ὁ μέγας Βασίλειος, ἂν καλὰ καὶ αὐτὰ μὲν τὰ εἴπαμεν ἡμεῖς, ὅσον νὰ φανερώσωμεν ἀπὸ παραμικρά τινα γνωρίσματα τὸ μεγαλεῖον καὶ τὸ ὑπερέχον καὶ ἀσύγκριτον τῆς ἀγγελικῆς ζωῆς τε καὶ πολιτείας τοῦ θειοτάτου τούτου ἥρωος καὶ ἁγιωτάτου πατρὸς ἡμῶν Βασιλείου, ὡς καθώς τινες ζωγράφοι δοκιμάζουν νὰ δείξουν ἐξ ὀνύχων τὸν λέοντα· ὅτι ἐκεῖνοι ὁποῦ βούλονται νὰ παραστήσουν ἀκριβῶς μὲ λόγον καὶ μὲ διήγησιν τὸν βίον, τὴν πολιτείαν, τὴν σοφίαν, τὴν ἄκραν ἄσκησιν, τὴν ἀγγελικὴν διαγωγήν, τὰς ἀμιμήτους καὶ ὑπὲρ ἄνθρωπον ἀρετὰς καὶ κατορθώματα τοῦ ἁγίου, μιμοῦνται ἄνθρωπον ὁποῦ δοκιμάζει νὰ μετρήσῃ καὶ νὰ ἀπαριθμήσῃ ἀκριβῶς ἢ τοὺς ἀστέρας τοῦ οὐρανοῦ, ἢ τὴν ἄμμον καὶ τοὺς σταλαγμοὺς τῆς θαλάσσης.

6. Τοιαύτην διπλῆν ἑορτὴν ἑορτάζομεν σήμερον, δεσπότου καὶ δούλου, ἢ διὰ νὰ εἰπῶ ἁρμοδιώτερα καὶ σαφέστερα, πατρὸς οὐρανίου καὶ κατὰ χάριν υἱοῦ καὶ εἰκόνος θείας, καθὼς μᾶς τὸ βεβαιώνει σήμερόν καὶ ὁ ᾀσματογράφος λέγωντας ὡς πρὸς αὐτὸν ἐκεῖνον τὸν μέγαν Βασίλειον· «Εἰκὼν τοῦ πατρὸς ὁ υἱὸς καὶ υἱοῦ τὸ πνεῦμα πέφυκεν· σὺ δὲ τοῦ πνεύματος, ὦ Βασίλειε, ἀκηλίδωτον ἔσοπτρον οἶκός τε τῆς ὅλης Τριάδος ἐδείχθης· μα-

www.dacoromanica.ro

www.dacoromanica.ro



καρία ἡ μνήμη σου καὶ οἱ δοξάζοντες αὐτὴν ἀντιδοξάζονται»[1]. Βλέπετε πόσην ἔχει δύναμιν ἡ θεάρεστος ζωή τε καὶ πολιτεία καὶ ἀκραιφνεστάτη τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ; ὁποῦ κατασταίνει τὸν ἄνθρωπον καὶ τὸν κάμνει ἔσοπτρον καὶ καθρέπτην Θεοῦ καὶ ναὸν ἅγιον καὶ οἰκητήριον τῆς ὅλης Τριάδος· ὅτι ὡς καθὼς μέσα εἰς ἕνα παστρικὸν καὶ ἀκηλίδωτον καθρέπτην φαίνεται καθαρὸς ὁ λαμπρότατος ἥλιος καὶ ἀντιλάμπει καὶ ὁ καθρέπτης ὡς ἄλλος ἥλιος καὶ γίνεται ὡσὰν ἕνα δοχεῖον καὶ κατοικητήριον τοῦ ἡλίου, τοιουτοτρόπως καὶ ὁ καθαρώτατος καὶ ἁγιώτατος νοῦς δέχεται τὰς θείας ἐμφάσεις καὶ λάμψεις τοῦ θείου φωτὸς καὶ γίνεται ὡσὰν ἕνας καθρέπτης καὶ ναὸς τοῦ Θεοῦ, καὶ ἀπὸ τότε γίνεται καὶ εἶναι καὶ λέγεται κατὰ χάριν θεὸς καὶ κάμνει θαυμάσια ὁ τοιοῦτος ἄνθρωπος ὑπερφυῆ καὶ μεγάλα, τὰ ὅσα μανθάνομεν καὶ ἀκούομεν ἀπὸ τὰ βιβλία τῆς ἁγίας μας Ἐκκλησίας.

7. Τοιοῦτον ἀκηλίδωτον καὶ καθαρώτατον ἔσοπτρον καὶ ἔμψυχον εἰκόνα Θεοῦ τὴν σήμερον βλέπομεν καὶ γνωρίζομεν τὴν ἡλιόμορφον, θεοδόξαστον καὶ θεοφρούρητον ὑμῶν ἐκλαμπρότητα, ἔστωντας καὶ νὰ βλέπωμεν καὶ εἰς αὐτὴν τοιούτους τινὰς θείους καὶ πνευματικοὺς χαρακτῆρας καὶ ἀστραπὰς καὶ ἀκτῖνας θεοειδεῖς, λέγω τὰς θεοφιλεῖς ἡρωϊκάς τε καὶ μεγαλοφυεῖς αὐτῆς ἀρετάς, μὲ τὰς ὁποίας θείως τε καὶ θεαρέστως καὶ σχεδὸν ὑπὲρ ἄνθρωπον κυβερνᾶτε τὸ θεόθεν ἐμπιστευθὲν ὑμῖν ποίμνιον, ὁποῦ νοῦς ἀνθρώπου δὲν φθάνει μηδὲ κἂν νὰ κατανοήσῃ καὶ νὰ καταλάβῃ τὴν ἄκραν ὑμῶν φρόνησίν τε καὶ σύνεσιν καὶ ἔμφυτον σοφίαν καὶ γνῶσιν· πρᾶγμα ὁποῦ δὲν ἠμπορεῖ τινας νὰ ἀποκτήσῃ τοιοῦτόν τινα πνευματικὸν πλοῦτον μὲ τὴν ἔξωθεν ἐπίκτητον σοφίαν καὶ προκοπὴν τῶν γραμμάτων. Τίς νὰ μὴν ἐκπλαγῇ τὴν ἄκραν αὐτῆς ἡμερότητα καὶ γλυκύτητα, ὁποῦ αἰχμαλωτίζετε τοὺς πάντας εἰς τὴν ἀγάπην καὶ τὸν διακαέστατον πόθον τῆς θεοσώστου ὑμῶν εὐσεβείας; Τίς νὰ μὴν θαυμάσῃ τὴν ἄκραν αὐτῆς ὑπομονὴν καὶ μακροθυμίαν; Ἄλλοι ἂς μεγαλύνουν καὶ ἂς ἐκθειάζουν τὴν καθαρὰν αὐτῆς καὶ ἄδολον καὶ κατὰ πάντα θεάρεστον διαγωγήν τε καὶ πολιτείαν, τὰς νυκτερινὰς καὶ μυστικὰς αὐτῆς καὶ πρὸς Θεὸν ἐκ βαθέων καρδίας ἐντεύξεις καὶ ἱκεσίας, τὰς ἀπείρους ἐλεημοσύνας, φανεράς τε καὶ ἀφανεῖς, τὰς πολυτελεῖς οἰκοδομάς τε καὶ ἀνεγέρσεις τῶν θείων ναῶν καὶ τῶν ἄλλων ἀναγκαίων πρὸς τὰς ἀνθρωπικὰς καὶ πολιτικὰς χρείας μεγαλοπρεπῶν οἰκοδομημάτων τε καὶ κτισμάτων, τὰς διηνεκεῖς λιτανίας καὶ λειτουργίας. Ἀμὴ θαύματος ἄξιον εἶναι ἀπάνω εἰς ὅλα νὰ ἀπορήσῃ τινάς, πῶς τὰ μὲν ἔξοδα τῆς ἐξωτερικῆς δυναστείας, ἀφίνω νὰ λέγω τὰ διατεταγμένα καὶ τὰ συνήθη, ἀμὴ τὰ ἄλλα παράλογα καὶ ἄδικα καὶ ἀμέτρητα νὰ ὑπερεπλήθυναν τόσον, ὁποῦ λογαριασμὸν δὲν ἔχουν, καὶ μάλιστα εἰς σὲ τέτοιαις ἀνωμαλίαις καὶ ἀκαταστασίαις πολέμων καὶ βαρυσυμφορωτάτους καιροὺς καὶ τόπους ἐπικινδύνους, καὶ ἀπέκει νὰ γένῃ τοιαύτη κυβέρνησις εἰς ὅλην τὴν τζάραν καὶ αὐθεντείαν, ὡσὰν νὰ μὴν ἐπλήθυναν τὰ τοιαῦτα κακὰ ἀπὸ τὴν πάνσοφον αὐτῆς σοφίαν καὶ γνῶσιν.

8. Τοῦτο ἐκπλήττει κάθε σοφὸν καὶ φρόνιμον ἄνθρωπον· τοῦτο καταναγκάζει τοὺς πάντας νὰ μεγαλύνουν τὴν θείαν πρόνοιαν, ὁποῦ μᾶς ἐχάρισεν εἰς σὲ τέτοιους ἀναγκαίους καιροὺς τοιοῦτον θαυμάσιον καὶ ἁγιώτατον αὐθέντην καὶ εὐεργέτην, καὶ ἀπάνω εἰς ὅλα τὰ ἄλλα νὰ καταστήσετε καὶ μαθημάτων σχολεῖον καὶ ψυχῶν φροντιστήριον διὰ προκοπὴν καὶ ἐπίδοσιν τῶν φιλομαθῶν καὶ σπουδαίων τῆς περιφήμου ταύτης πολιτείας καὶ αὐθεντείας· ἕνα καλὸν τοιοῦτον, μέγα καὶ θαυμαστόν, ὁποῦ εἰς τοὺς εὐτυχισμένους καιρούς τε καὶ χρόνους δὲν ἀξιώθηκεν ποτὲ νὰ τὸ κάμῃ καὶ νὰ τὸ καταστήσῃ εἰς ταύτην τὴν πολιτείαν. Τοῦτο τὸ κατόρθωμα τὰ ἄλλα τὰ ὑπερβαίνει· τοῦτο τὸ μέγα καλὸν ἔχει νὰ μεγαλύνῃ καὶ νὰ κυρύξῃ τὴν θεοφρούρητον ὑμῶν ἐκλαμπρότητα εἰς ὅλα τοῦ κόσμου τὰ πέρατα. Τοῦτο ἔχει νὰ τῆς προξενήσῃ ἀειποτεσινὸν τὸ μνημόσυνον, ἐπειδὴ πάντα τὰ ἄλλα καλὰ ἐνεργοῦνται καὶ γίγνονται διὰ σωματικὴν κυβέρνησιν τῶν ἀνθρώπων, ὁποῦ εἶναι πρᾶγμα φθαρτόν τε καὶ πρόσκαιρον· ἡ δὲ τοιαύτη ὠφέλεια καὶ προκοπὴ τῶν γραμμάτων εἰς τὴν ψυχὴν διαβαίνει καὶ φωτίζει τὸν νοῦν τοῦ ἀνθρώπου, ὁποῦ εἶναι εἰκὼν ἀθάνατος τοῦ Θεοῦ τοῦ ἀοράτου καὶ τὸν κάμνει νὰ γένῃ κατὰ χάριν θεός.

---

[1]) Κανόνος Ἰωάννου ᾠδὴ ζ' ἐν τῷ Μηναίῳ Ἰανουαρίου (Βενετίᾳ 1890), σ. 9.

9. Διὰ τοῦτο καὶ ἡμεῖς οἱ εὐτελεῖς δοῦλοι τῆς θεοτιμήτου ὑμῶν ἐκλαμπρότητος, ὁποῦ ἀπολαμβάνομεν διηνεκῶς καὶ καθ' ἑκάστην τὸ τοιοῦτον μέγα καλὸν τῆς μαθήσεως διὰ μέσου τῆς θεοφυλάκτου ὑμῶν ἐκλαμπρότητος, παρακαλοῦμεν χρεωστικῶς ὅλοι κοινῶς ἐκ μέσης ψυχῆς καὶ καρδίας τὸν πανοικτίρμονα Κύριον, κοντὰ εἰς τὰς ἄλλας αὐτῆς εὐεργεσίας καὶ χάριτας ὁποῦ μετὰ τῶν ἄλλων ἀπολαμβάνομεν, καὶ διὰ ταύτην τὴν μεγάλην καὶ ὑπερβολικὴν πρὸς ἡμᾶς εὐεργεσίαν καὶ χάριν νὰ τῆς ἐπιβραβεύσῃ τὴν ἀνταπόδοσιν ἀπειροπλασίως κατὰ πάντα ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, εἰς ἀπεράντους ἀλήκτους καὶ ἀδιαδόχους αἰῶνας αἰώνων. Ἀμήν.

,αχϙϛ$^{\varphi}$ (=1696). *Οὐκ ἐῤῥέθη ὅμως τότε.*

Πολυχρόνιον ποιήσαι Κύριος ὁ Θεὸς καὶ τὰ ἑξῆς.

www.dacoromanica.ro

www.dacoromanica.ro

## Η΄.

# ΙΩΑΝΝΟΥ

ΓΡΑΜΜΑΤΙΚΟΥ ΚΑΙ ΠΡΙΜΙΚΗΡΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ ΘΡΟΝΟΥ

# ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΙΣΤΟΡΙΚΩΤΕΡΟΝ

ΔΙΑΛΑΜΒΑΝΩΝ ΤΟΝ ΒΙΟΝ

## ΝΙΚΟΛΑΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΜΑΥΡΟΚΟΡΔΑΤΟΥ

ΗΓΕΜΟΝΟΣ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.



www.dacoromanica.ro

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ ΙΣΤΟΡΙΚΩΤΕΡΟΝ

*διαλαμβάνων τὸν περιφανῆ βίον τοῦ ὑψηλοτάτου καὶ σοφωτάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγκροβλαχίας κυρίου κυρίου Ἰωάννου Νικολάου Ἀλεξάνδρου βοεβόνδα, συντεθεὶς παρὰ τῷ ἐν ἐλαχίστοις Ἰωάννῃ γραμματικῷ καὶ μεγάλῳ πριμικηρίῳ τοῦ Πατριαρχικοῦ τῆς Μεγάλης Ἐκκλησίας Θρόνου.*

1. Εἴ μοι περί τινος τῶν ἰδιωτευόντων τῷ βίῳ καὶ τῶν κάτω (ὡς εἰπεῖν) καὶ χαμαὶ ἐρχομένων προὔκειτο γράφειν, οὐκ ἂν ἀγώνων ἐδέησε καὶ καμάτων, ἐφ᾽ ᾧ διεξελθεῖν ἐκ τοῦ σχεδὸν τὰ ἐκείνου, ἀλλ᾽ οἷα δὴ μικρῶν πέρι μέλλοντι λέγειν ῥάστην καὶ ἀκάματον ξυνέβαινεν εἶναι καὶ τὴν τοῦ λόγου πλοκήν· ὧν γὰρ ὁ βίος χαμαιπετής, μικρὰ δήπου καὶ τὰ σφῶν ἔργα καὶ εἰς ἀφήγησιν εὐχερῆ. Καὶ τί γὰρ ἂν καὶ φαίη τις πρὸς Θεοῦ, ἢ πῶς καὶ ἐς διαρκὲς λόγου μῆκος τὸ τῆς ξυγγραφῆς ὕφος ἔχοι συνείρειν καὶ ὡς ἀπὸ πηγῆς ἀναστομωθείσης δαψιλῆ νάματα καθηδύνοντος λόγου φιλοκροάμασιν ὑπαντλῆσαι ψυχαῖς ἔνθα τὸ μὲν γένος ἄσημον, λιτὴ δὲ ἡ ἐκ παίδων ἀνατροφή, ὅ τε βίος χαμερπὴς καὶ αἱ πράξεις ἀνώνυμοι καὶ οὐδὲ μνήμης ἐπάξιοι, εἰ μήπου καὶ εἰς τοὐναντίον μᾶλλον αὐτῷ τὸ ἐγχείρημα περισταίη καὶ ταὐτὸν πάθοι ὡσανεί τις ἐν θέρει ἀπὸ χειμάῤῥου πειρῷτο ὕδωρ ἀντλεῖν καὶ πληθὺν διψῶσαν ποτοῦ κορέσαι; Νῦν δὲ τί πάθω, τίς γένωμαι; ὅλον γὰρ Ἀτλαντικὸν πέλαγος διηγημάτων ἀπεράντων διανήξασθαι πειρώμενος ἰλιγγιῶ καὶ κραδαίνομαι, καὶ τὴν καρδίαν δειλαίνομαι καὶ ἱδρώτων λιβάσι πολλαῖς περιῤῥαίνομαι· μέγας καὶ γὰρ ὁ προκείμενος οὗτος ἀγών, παρ᾽ ὅσον καὶ ὁ περὶ οὗ τὸν παρόντα λόγον ἐνεστησάμην μέγιστος καὶ μεγέθει οὐδενὶ ξυμβλητός.

2. Ταύτῃ τοι μεγάλοις οὕτω καὶ ἀνεφίκτοις μέλλων ἐπιχειρεῖν, ἄλλως τε καὶ ἀμηχανίαν ἐξ ἀπειρίας περὶ τὸ συγγράφειν ἐμαυτῷ συνειδώς, ὑποστέλλομαι καὶ δέδοικα τὰ πολλὰ φόβῳ συνεχόμενος καὶ τῆς χειρὸς τὸν τόνον ἀνακοπτόμενος, μήποτε πλήθει μὲν καὶ μεγέθει τῶν ἀφηγηθησομένων, ἀπειροκαλίᾳ δὲ καὶ ἀβελτηρίᾳ τῆς ἐμῆς τυχὸν περὶ τὰ τοιαῦτα ἀδυναμίας πόῤῥω σκοποῦ βάλλειν καὶ τῆς ἀξίας κατόπιν ἥκειν (ὃ δὴ καὶ πᾶσα παθεῖν ἀνάγκη) τὸν παρόντα γένοιτο λόγον κἀντεῦθεν δόξαι τοῦτον συμβῇ καθυβρίζειν μὲν παρὰ χορδὴν καὶ παρ᾽ ἀξίαν τὸν ἄνδρα, μηδὲ τοῦ πολλοστοῦ τῶν προσόντων αὐτῷ πλεονεκτημάτων ἐφικέσθαι δεδυνημένον, ἀμαθίαν δὲ τοῦ συγγραφέως καταγινώσκειν καὶ πολλήν οἱ τὴν ἀπαιδευσίαν ἐλέγχειν, ὡς ἀνηνύτοις ἐπιχειροῦντος καὶ τὰ ὑπὲρ δύναμιν καθυπισχνουμένου. Οὕτως οὖν τῆς περὶ λόγων συγγραφὴν δεξιότητος ἀποδέοντί μοι καὶ τηλικούτοις παραβάλλειν κινδύνοις ἐπιχειροῦντι ἔννοιά τις ἐπῆλθε δειλίας καὶ ἀγωνίας μεστή, μικροῦ καὶ τοῦ ἀρχῆθεν ἀνασειράζουσά με σκοποῦ καὶ ἀναγκαστῶς πείθουσα παλινῳδίαν ᾄσαντα τοῦ ἐγχειρήματος ἀποσχέσθαι καὶ τῇ σιγῇ ἐφησυχάσαι· κρεῖττον καὶ γὰρ εἶναι κατ᾽ ἐμαυτὸν διεσκόπουν πραγμάτων ἀφέμενον τηλικούτων ἀτρέμας ἔχειν καὶ ἀφασίᾳ συζῆν καὶ κατὰ τοὺς πολλοὺς σιγῶντα ἰδιωτεύειν ἤπερ ζήλῳ τοῦ τὰ καλὰ διεξιέναι ἐθέλειν τὴν περὶ ἐμὲ ὑπόληψιν τῶν τυχόντων, εἴ τῳ καὶ τῶν ἡμετέρων μέλει ποσῶς, εἰς τοὐναντίον περιτρέψαι τε καὶ προσχῶσαι, μῶμόν τ᾽ ἐπισπᾶσαι καὶ οὐκ ἀγαθὴν ἐξενεγκεῖν καθ᾽ ἑαυτοῦ ψῆφον, μὴ τοῦ κατ᾽ ἀξίαν ἐφικνεῖσθαι οἵου τε ὄντος καὶ τέλος δι᾽ ἀποτυχίαν σκοποῦ πλατὺν γέλωτα παρὰ τοῖς πολλοῖς ὀφλῆσαι καὶ (ὃ δὴ λέγεται) διασυριχθῆναι· οὐδὲν γὰρ οὕτως ἐπίμωμον καὶ καταγέλαστον ἀνθρώπῳ, ὡς τὸ ἀπάρξασθαι τοὔργου καὶ πρὶν ἢ πε-

www.dacoromanica.ro



φθακέναι τὸν πρὸς ὃν ὅρον δοκεῖν ἀπὸ τῆς ἀρχῆς τὸ πᾶν ἤδη κατωρθωκέναι, κᾆτα πρύμναν κρουσάμενον ἀπειρίᾳ τέχνης παλινδρομῆσαι καὶ τοῦ σκοπουμένου διαμαρτῆσαι· ὃ δήπου καὶ παρὰ τῇ θείᾳ κατηγορεῖται Γραφῇ, κατὰ τὴν εὐαγγελικὴν τοῦ Σωτῆρος φωνήν, «οὐδεὶς» οὕτω φάσκοντος «βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»[1].

3. Ὡς οὖν μήποτε κἀμοὶ τοιοῦτόν τι παρὰ γνώμην ἐπὶ τοῦ παρόντος συμβῇ, μηδὲν τῆς ἐς ὕστερον μεταμελείας ἀπωναμένῳ, οὔκουν ἐδόκει τῆς ἐγχειρήσεως ἅψασθαι. Ἄλλως τε καὶ οἷς γε, μηδεμιᾶς τῶν βιωτικῶν ὑπολειφθείσης φροντίδος, ὡς αὐτάρκεις πλουτοῦσι τὰς πρὸς τὸ ζῆν ἀφορμὰς λόγος ὁ βίος ἅπας ἐγένετο, πρέποι ἂν προσφυῶς τὸ ἐπιχείρημα, ὡς δι' ἀπράγμονα καὶ ἀπερίσπαστον βιοτὴν ξυρῷ πρὸς ἀκόνην εἰκαζομένοις καὶ τυχεῖν ἴσως τοῦ κατ' ἀξίαν συνησομένοις· ἐμοὶ δὲ πράγμασι τοῖς κατὰ κόσμον ἀφύκτοις πιεζομένῳ καὶ μερίμναις βιωτικαῖς κατατεινομένῳ καὶ τῶν δεόντων ἀέκοντί γε θυμῷ ἀπασχολουμένῳ, ὡς τῶν ἀναγκαίων εἰς ἄλλα κατεπειγόντων, τόν τε τῆς ψυχῆς τόνον ἐξ ἧς προϋπέστην μακρονοσίας ἐκείνης ἐκλελυμένῳ, ὥστε καὶ τῶν ἐγνωσμένων παρ' ὀλίγον κινδυνεύειν ἐπιλελῆσθαι, σχολῇ γε ἂν ἐφαρμόζειν εἴκαζον τοὔργον· κἀντεῦθεν τῆς προθέσεως ἀπαγόμενος, ὤκνουν τὴν ἀρχὴν καὶ ἀνεδυόμην καθάπερ ἐχῖνός φασι τὸν τόκον. Ἀλλὰ γὰρ ἑτέρωθεν αὖθις τὸ ἔνδον τοῦ πόθου πῦρ ὑπεκκαῖόν με καὶ ἀνθέλκον δεινῶς ἐτυράννει καὶ ἀδεῶς κατατολμᾶν τοῦ ἔργου ἀνέπειθε καὶ θαρρεῖν παρεκέλευε, καὶ τέως μὲν ἐν ἀμφιβόλῳ καθειστήκειν καὶ ὡς ἐν μεταιχμίῳ γενόμενος οὐκ ᾔδειν ποῖ τράπωμαι· ὑπῆρχον τ' ἐφ' ἱκανὸν τὸν νοῦν ὥσπερ ζυγοστατῶν καὶ τὴν διάνοιαν ἀμφιτάλαντος, πόθῳ καὶ φόβῳ τὴν ψυχὴν μεριζόμενος· χρόνου δὲ συχνοῦ μεταξὺ τριβέντος εἰς ἐκλογὴν τοῦ πρακτέου, τέλος ἡττηθεὶς τῆς τὰ πάντα νικώσης φύσεως αἱροῦμαι τὸ βέλτιον καὶ γίνομαι τῆς κρείττονος μοίρας· πάντα τε ὄκνον ἀποσεισάμενος ἐρρίφθω κύβος ἔφην καὶ πρὸς τὸν παρόντα ἀπεδυσάμην ἀγῶνα, Θεῷ τὸ πᾶν ἀνατιθείς, τῷ καὶ τὴν ἀρχὴν τοῦ εὖ λέγειν διδόντι καὶ ἐπ' αἰσίοις τὸ τοῦ λόγου πέρας κατευοδοῦντι. Ἀλλὰ τῶν μὲν τῆς ὑποθέσεως προτεμενισμάτων ἅλις· καιρὸς δ' ἂν εἴη λοιπὸν θύραν ὑπανοίξαντας ἡμᾶς τῷ λόγῳ τὴν εἴσοδον οὕτω θαρρῆσαι.

4. Πάλαι μὲν Ἀθῆναι καὶ γῆ Ἑλλάδος κλεινὸν ἔδαφος Μουσάων θείων καὶ ἐνδιαίτημα Χαρίτων ὅσων ἁπανταχῇ διεθρυλεῖτο, ἡδὺ μὲν ὁρῶσι θέαμα, περιλάλητον δὲ ἐπαΐουσιν ἄκουσμα· κεῖθι γὰρ τὰ φιλοσοφίας ὄργια τοῖς μυουμένοις ἐτελεῖτο, γραμματικῆς τε ἔντεχνοι λόγοι καὶ ποιητῶν ἔμμουσα μέλη τοῖς προσφοιτῶσιν ἀκαδημείαις ἐκοινοῦντο· ῥητορείας τε δεινότης καὶ λόγων τορῶν πολύστροφοι ἐνήκμαζον πλοκαί, μαθηματικῆς τε παντοῖαι καὶ πολυσχιδεῖς ἐπήνθουν ἰδέαι καὶ πάσης ἄλλης, συλλήβδην φάναι, παιδείας καὶ ἐπιστήμης ἀγαθὸν ἐπεχωρίαζε χρῆμα· εἶπες ἂν τὸν χῶρον ἰδὼν ἀτεχνῶς ἐαρινῷ λειμῶνι παρεμφερῆ καὶ τὰ λειμῶνος ἄνθη μιμούμενον, λογικῶν ἀνθέων ἀποπνέοντα χάριτας, τοὺς δὲ τῶν λόγων φιλομαθεῖς καὶ φιλακροάμονας ὥσπερ τινὰς μελίττας σοφάς, ἄλλον ἀλλαχῇ τῶν βλαστημάτων τῆς σπουδῆς καθιζάνοντας καὶ τὰ κάλλιστα τῶν ἀνθέων, ὅσα εἰς ψυχῆς ἥκει κόσμον καὶ γλυκασμόν, φιλοπόνως συλλέγοντας καὶ τοὺς καρποὺς τῆς ὄντως εὐδαιμονίας δρεπομένους εἰς κόρον. Ἐξ ὅτου δὲ μετὰ πολὺν ἐπιγενόμενον χρόνον τὰ βασίλεια σκῆπτρα ἀπὸ τῶν ἑσπερίων ἐπὶ τὰ πρὸς ἀνίσχοντα ἥλιον μετενήνεκται μέρη καὶ ἡ τοῦ Βύζαντος φιλοτιμότερον ἐπολίσθη καὶ βασιλικὴ ἀπεφάνθη καθέδρα, ἐχρῆν εἰκότως πρὸς ταῖς λοιπαῖς τοῦ βίου λαμπρότησιν, ὅσαι τηνικαῦτα οἷά τινα ποτάμια ῥεῖθρα ἐκεῖθεν αὐτῇ μετοχετευθέντα ἀγλαοπρεπῶς τὸ βασιλικὸν κατήρδευον ἔδαφος, καὶ τὰ κατὰ πᾶσαν ἰδέαν φιλοσοφίας καὶ ἐπιστήμης εἰσρεῦσαι τῇδε πολύρρυτα νάματα, πᾶσαν ὄχθην (τὸ τοῦ λόγου) ὑπεραλάμενα καὶ πλήσμιον ἑκάστοις ἀρύεσθαι τὸ τῆς γνώσεως ποτὸν παρεχόμενα· παρῆν γὰρ τέως ὁρᾶν σοφῶν καὶ ἐλλογίμων ἀνδρῶν πόρρω σοφίας ἐληλακότων καὶ ἐς ἄκρον παντοίας ἀρετῆς ἐξηκριβωμένων θαυμαστήν τινα καὶ ξένην χορείαν λογικῆς ἕξεως καὶ ἐπιστημονικῆς θεωρίας πολύφθογγα καὶ Σειρήνιά τινα προέσχουσαν ᾄσματα τὰς ψυχὰς τῶν φιληκόων κατακηλοῦντα τῇ τῶν λόγων ἡδύτητι· μεστά τε ἦν τὰ κατὰ τὴν πόλιν μικροῦ δεῖν πάντα φιλοσοφίας καὶ ῥητορείας ἀνάπλεω· ἥ γε μὴν τῆς δογματικῆς θεολογίας διδασκαλία καὶ ἡ τῶν

---

[1] Λουκ. θ', 62.

θείων λόγων μελέτη, πάντων ὡς εἰκὸς τῶν ἄλλων ὑπερανίσχουσα παιδευμάτων, ἐπήνθει μᾶλλον καὶ ἤκμαζε καὶ ὁ περὶ εὐσεβείας λόγος ἐκράτει καὶ ἄλλος ἐξαίσιος οἷος ἐμπρέπων κόσμος τῇ Κωνσταντίνου ἐτύγχανεν ὤν.

5. Καὶ τί με δεῖ καταλέγειν καθ' ἓν ἕκαστον ἀριθμοῦντα ὅσα τοιαῦτα ὁ πάλαι χρόνος ἤνεγκε τῷ Γένει ἡμῶν, εὐμενῶς τῆς τύχης τηνικαῦτα προσμειδιώσης, οὐκ εὐάριθμα ἀγαθά, ἃ καὶ σῶμα κοσμοῦσι καὶ ψυχαῖς τὰ μάλιστα συντελοῦσι καὶ οἷς ὁ κυρίως καὶ ἔσω χαρακτηρίζεται ἄνθρωπος, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ πλάσαντος ὄντως γνωριζόμενός τε καὶ πιστευόμενος; ἐξὸν τῷ βουλομένῳ παντὶ ἱστοριογράφων ἀρχαίων βίβλοις ἐγκύψαντι ἐντεῦθεν τὴν περὶ αὐτῶν ἀναλέξασθαι γνῶσιν καὶ οἷον αὐτοπτῆσαι τῇ καθ' ἕκαστα ἀφηγήσει τὴν κατ' ἐκεῖνο καιροῦ τῶν ἐν λόγοις δοκίμων πληθύν. Ὃ δέ μοι λέγειν προήχθη ὁ παρὼν λόγος, ἐκεῖνο ἄρα ἐστίν, ὡς εἰ καὶ ὁ πρόσθεν ζηλωτὸς τοῦ καθ' ἡμᾶς Γένους ἠλλοίωται ὕστερον βίος καὶ τῆς πρὶν ἐκπέπτωκεν εὐκληρίας, τῶν πραγμάτων εἰς τὸ ἀντίξουν ἀποκλινάντων, ὥσπερ ὀστράκου ἢ κύβου μεταπεσόντος εἴτε τύχης ἀλάστορος ἐπηρείᾳ, ὡς ἄν τις εἴποι, ἄλλοτε ἄλλως τὰ ἀνθρώπεια μεταμειβούσης καὶ ὡσεὶ παίγνιον διαχλευαζούσης, εἴτε καὶ τἀληθὲς φάναι κρίμασι προνοίας ἀῤῥήτοις, ἥτις ὡς οἶδε καὶ βούλεται καὶ ὡς οὐκ ἂν ἐφίκοιτο λόγος ἄγει καὶ στρέφει, πρὸς τὸ συμφέρον οἰκονομοῦσα τὰ ἡμέτερα. Ἔμπης ὄμμασιν ἱλέοις εἰσέτι καὶ νῦν ἐφ' ἡμᾶς τοῦ Θεοῦ ἐπιβλέποντος οὐ πάντη τὸ ἡμέτερον Γένος παρορα θὲν ἐν σπάνει τῶν προτέρων αὐχημάτων κατέστη, οὔτε μὴν ἄρδην τὰ λαμπρὰ ἐκεῖνα τῆς ἀρχαίας εὐδαιμονίας καὶ εὐγενείας γνωρίσματα ἀπεβάλετο· ἀλλὰ τῆς εὐσεβοῦς τὰ μάλιστα πίστεως ἀκεραίου σῳζομένης τε καὶ φυλαττομένης, ὃ δὴ πρὸ τῶν ἄλλων ἁπάντων τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ φιλανθρωπίας τε καὶ κηδεμονίας ἀψευδὲς τυγχάνει μαρτύριον καὶ δι' οὗ τὰ τῆς σωτηρίας ἡμῖν ἐλπίζεται, καί τινες τῶν προλαβόντων τοῦ βίου ἐπ' ἀρετῇ καὶ παιδείᾳ καλῶν σπινθῆρες ἐναύοντες, τοῦ πυρσοφαοῦς ἐκείνου πυρὸς μακρά τινα περιληφθέντες λείψανα, κατὰ μικρόν, προϊόντος τοῦ χρόνου, εἰς πυρσὸν ἀνεῤῥιπίσθησαν αὖθις καὶ τὸ ἀρχαῖον ὀλίγου δεῖν ἀνεζωπύρησαν φῶς. Καὶ δῆτα συχνοὶ μὲν καὶ ἄλλοι φρονήσει καὶ παιδείᾳ προὔχοντες ἄνδρες ἐν τοῖς ἔμπροσθεν ἤκμασαν χρόνοις, ἄλλος ἄλλοτε λόγοις ἐνευδοκιμήσαντες καὶ οὐ τὸ τυχὸν κλέος ἐν ἀνθρώποις ἀράμενοι· ὃν δὲ ὁ καθ' ἡμᾶς οὗτος ἤνεγκέ τε καὶ ἐγνώρισεν αἰών, κύριος Νικόλαος φημὶ ὁ τῶν πώποτε ἡγεμονίᾳ καὶ ὑπεροχῇ δόξης σεμνυνομένων περιφανέστατος καὶ ὑψηλότατος χρηματίζων ἤδη αὐθέντης Οὐγγροβλαχίας, οὐ μενοῦν τοιοῦτος οἷος τοῖς ἄλλοις εἰς παιδείας παραβάλλεσθαι λόγον, ἀλλὰ πολλῷ τῷ μέσῳ τούς τε πρὸ αὐτοῦ καὶ τοὺς κατ' αὐτὸν ἐπὶ συνέσει τε καὶ σοφίᾳ καὶ λόγων ἀπηκριβωμένων μελέτῃ παραδραμών, ἅτε πᾶσι τούτοις ὡς οὐδεὶς ἄλλος κατηρτισμένος, κατὰ πάντων ἦρε καταλλήλως τῇ κλήσει τὰ νικητήρια, παῖδας, ὡς ἔγῳμαι, ἐκείνους ἀποφηνάμενος.

6. Ὁ τοίνυν ἐν ἡγεμόσι περίβλεπτος οὗτος καὶ ἐν σοφοῖς διαβόητος, ἵνα μικρὸν ἄνωθεν ἀναλαβόντες, ὅσον ἐξ ὀνύχων γνωρίσαι τὸν λέοντα, τὴν χρυσῆν αὐτῷ τοῦ γένους σειρὰν ἐξυφάνωμεν ἐπιτροχάδην τῷ λόγῳ, πατρίδα μέν, ἐν ᾗ καλῶς ἔφυ τε καὶ ἐτράφη, τὴν βασιλίδα τῶν πόλεων ἔλαχε, Βυζάντιος ὢν καὶ τὰ πρῶτα ἐν Βυζαντίοις τελούντων γένει τε καὶ δόξῃ καὶ πλούτου περιουσίᾳ κἂν τῇ λοιπῇ τοῦ βίου λαμπρότητι πολλῷ προφερέστερος καὶ τῶν πάλαι ποτὲ ἐπὶ προγόνων εὐγενείᾳ ἐναβρυνομένων Πελοπιδῶν ἐκείνων καὶ Κεκροπιδῶν περιφανέστερος καὶ τῆς ἐνεγκαμένης καρπὸς ἐπάξιος, πόλεως ὄντως βασιλείοις σκήπτροις ἀναλογούσης ἀφ' ἑστίας τε πλουτούσης τὸ εὐκλεὲς καὶ πασῶν οἷα βασιλίδος ὑπερκαθημένης τῶν πόλεων. Ταύτης τὴν ἀρχαίαν καλλονὴν καὶ εὐπρέπειαν, ὅση τε περὶ τοὺς θείους καὶ εὐκτηρίους ναοὺς πλήθει καὶ μεγέθει καὶ κάλλει ἀνὰ τὴν ὑπ' οὐρανὸν ἐπισημοτάτους ὑπὸ τῶν κατὰ καιροὺς αὐτοκρατόρων μετὰ τὸν ἐν βασιλεῦσιν ἰσαπόστολον Κωνσταντῖνον τὸν πρῶτον οἰκιστὴν αὐτῆς καὶ δομήτορα σὺν ἁδραῖς δαπάναις πεφιλοτίμηται, καὶ ὅση ἐν οἰκοδομίαις λαμπραῖς χρυσορόφων βασιλικῶν ἀνακτόρων τῇ ἐκ χρυσοῦ ποικίλῃ καὶ πολυτελεῖ διαυγείᾳ μαρμαρυγὰς ἀποστιλβόντων καὶ ἄλλων μετεώρων οἴκων διορόφων τε καὶ τριορόφων χρυσῷ καὶ ἀργύρῳ κατακόρως ἀληλειμμένων πεφιλοτέχνηται, τάς τε ὑπερεχούσας τῶν ἀνάκτων ἀρχὰς καὶ τὰς ὑπερηφάνους τῶν ἐπὶ δόξης τιμὰς καὶ τὰ τῶν ἐν τέλει περιφανῆ ἀξιώματα, τάς τε συγκροτήσεις τῶν ἑκασταχόθι σεμνείων τε καὶ μουσείων καὶ τὰ τῶν ἐλλογίμων ἀνδρῶν τηνικαῦτα τῷ βίῳ διαλαμψάντων συστήματα,

www.dacoromanica.ro

ἐῶ μὲν λέγειν, τὴν πρὸ τῶν ἄλλων τὰ μάλιστα τότε ἐπικρατοῦσαν καὶ ἐς τόδε χάριτι Θεοῦ ἐπὶ ποσὸν σῳζομένην ὡς ἐκ πολυχόρδου καὶ πολυφθόγγου κινύρας πνευματικῆς ἐναρμόνιον καὶ ἐμμελεστάτην τῆς Ἐκκλησίας ἁγιαστικὴν εὐκοσμίαν καὶ εὐταξίαν, τὴν κατὰ βαθμοὺς ἱεραρχίας εὐαγοῦς προϊοῦσαν καὶ εἰς διαιρέσεις πνευματικῶν ἀξιωμάτων μεριζομένην καὶ τὸ πλήρωμα τῶν ὀρθοδόξων καταχαλλύνουσαν, καὶ πρό γε πάντων τὰ σεπτὰ καὶ θεῖα κειμήλια, ὅσα τοῦ δεσποτικοῦ προσψαύσαντα σώματος καὶ δεῦρο προνοίᾳ βασιλέων εὐσεβῶν κομισθέντα ἐν ἱεροῖς τὸ τηνικάδε ναοῖς ὑπῆρχον ἀπόθετα ὡς χριστιανοῖς φυλακτήρια καὶ τῆς σωτηρίας σφίσιν ἐχέγγυα· τἆλλά τε ὅσα ἐπηκολούθει τέλος ἐπανθοῦντα τῇ πόλει αὐχήματα, τὰ βασιλικά φημι τρόπαια, τὰ ἐξάκουστα τῶν ἀνδρῶν ἀριστεύματα, τὰς τῶν θεαμάτων ἀναστηλώσεις, τοὺς πολυτελεῖς ἐπὶ νίκαις θριάμβους, τὰ δημοτελῆ θέατρα, τὰ προάστεια, τὰ κυνηγέσια, τὰ γυμνάσια, τὰ θεώρια, τὰς ἁμίλλας, τὰς ἱπποδρομίας καὶ τὰ λοιπά, ὅσα οὐδὲ καταλέγειν τανῦν ἡμῖν ἡ τοῦ λόγου ἐπιτρέπει ὁρμὴ ἐπὶ τὰ καιριώτερα κατεπειγομένοις· ταῦτα δὴ πάντα καὶ ἅπερ ὁ λόγος διὰ τὸ πλῆθος παρῆκεν ἀξιοθέατα ὄντα καὶ ἀξιάκουστα ἱκανῶς οἱ πρὸ ἡμῶν ἀφηγήσαντο, καὶ ἄλλοτε ἄλλοις λογίων ἀνδρῶν ὑπὸ τὸν χρόνον ἐκεῖνον γεγενημένα καὶ τὰ πράγματα αὐτοπτήσασιν ἱστορικαῖς ξυγγραφαῖς παραδοῦναι προὔργου ἐγένετο, κἀκεῖθεν ἔνεστι τοῖς γε βουλομένοις ἀκοῦσαί τε καὶ μαθεῖν ἐκεῖνα σὺν ἐκπλήξει καὶ θαύματι.

7. Σὺ δέ μοι θέα ὁ τῶν καλῶν ἐραστὴς καὶ τὰ εἰσέτι καὶ νῦν διαρκοῦντα κάλλη τῆς πόλεως, ὅσα ταύτῃ φύσις ἅμα καὶ τέχνη ἀλλήλαις ὥσπερ διαμιλλώμεναι ἐπεδαψιλεύσαντο, τὰς πολυδαπάνους λέγω δὴ καὶ πολυταλάντους τῶν τειχέων οἰκοδομὰς καὶ τὰς ὑπεριδρυμένας τῶν πύργων κατὰ περίμετρον προβολάς, τὰς παλαιοτάτας στοὰς καὶ τὰς τῶν ὑδάτων δεξαμενὰς ἐκ μυρίων ὀχετῶν τε καὶ ὑπονόμων ὡς διὰ σηράγγων ἑκασταχῇ τῆς πόλεως μετοχετευούσας τὰ νάματα, τοὺς εὐθέτους λιμένας, τοὺς εὐκλύστους ὅρμους καὶ τὰ νεώλκια, τό τε περὶ ἑκάστην τοῦ ἔτους ὥραν ὑγιεινόν τε καὶ σύγκρατον, εὐκρασίαν τε ἀέρος πανταχόθεν εἰσπνέοντος καὶ εὐφορίαν γῆς καρποφόρου τε καὶ παμφόρου· ἄλση τε κατάσκια καὶ κατάῤῥυτα ὕδασιν, ὅσα Βυζαντίου ἔνδον καὶ ὅσα πέριξ τῆς πόλεως, πολὺ τὸ χαρίεν ἀνθρώπων ὄψεσι παρεχόμενα καὶ ψυχὰς φιλοκάλους τρυφᾶν τῆς θέας παρασκευάζοντα, καὶ δένδρα ποικίλα ἀμφιλαφῆ καὶ κατὰ στέγην συνηρεφῆ ἄλλα τε καὶ κυπαρίττους ἐπὶ στοίχου πεφυτευμένας, καὶ πίτυς ἅμα καὶ πεύκας ζεφύρου πνοαῖς συριζούσας καὶ οὐκ ὀλίγην καταχεούσας τῶν ὁρώντων τὴν ἡδονήν (ἐν οἷς καὶ ὄρνιθες ᾠδικοί, ἦρος ἄρτι φανέντος καὶ ἡλίου εἰς τὸ τῆς γῆς παρακύψαντος πρόσωπον, ἄκροις τοῖς πετάλοις ἐπικαθήμενοι κελαδήμασι πολυφθόγγοις καὶ μελῳδικοῖς ᾄσμασί τε καὶ τερετίσμασι περιηχοῦσι τῶν παριόντων τὰς ἀκοάς), λειμῶνάς τε καὶ κήπους καὶ παραδείσους ῥοδωνιαῖς ἅμα κρινωνιαῖς τε καὶ ἰωνιαῖς κοσμουμένους καὶ πολλὰς τὰς ἐκ τῶν σφίσιν ἀνθέων προβαλλομένους τὰς χάριτας, πᾶσί τε φυτοῖς κομῶντας καὶ παντοίοις βρίθοντας καρποῖς· ὅπως τε πέφυκεν ἡ μεγαλόπολις αὕτη στάσεως καὶ θέσεως κατὰ τόπον, μέση μὲν ἑῴας καὶ ἑσπερίας κειμένη γῆς καὶ ἀμφοτέρων οὖσα μεταίχμιον, ἄρκτῳ τε καὶ μεσημβρίᾳ συνηρμοσμένη καὶ ἑκατέρᾳ γνωριζομένη μεθόριον, δισσῇ δὲ θαλάσσῃ συνεζευγμένη καὶ κοινὸν αὐταῖς λογιζομένη ἐμπόριον, ἑπτά τε γηλόφοις ὑπὸ τῆς φύσεως οἷά τισιν ἀθανάτοις στήλαις στεφανουμένη καὶ καλουμένη Ἑπτάλοφος· ἅ τε ἀπὸ γῆς καὶ θαλάσσης πλουτεῖ ἑκατέρωθεν παντοδαπὰ καὶ ἄφθονα ἀγαθά, μυρίοις ὅσοις ἔκτοθεν περιῤῥεομένη καὶ εὐθηνουμένη καλοῖς, ὅσα τε εἰς χρῆσιν καὶ ὅσα εἰς τέρψιν ἄλλως τοῖς ἐνοικοῦσι συμβάλλει, κοινόν τε πᾶσιν ἔθνεσι καὶ γένεσι προκειμένη καταγώγιόν τε καὶ καταφύγιον, ἰδέσθαι τε θαῦμα καὶ ἀκούεσθαι ἐξαίσιον χρῆμα ἀνὰ στόμα τῇ οἰκουμένῃ ἁπάσῃ κείμενον καὶ ὑφ' ἡλίῳ λαλούμενον μάρτυρι.

8. Ἐκ τοιαύτης οὖν ἀρούρας εὐβώλου καὶ εὔγεω καὶ οὕτω λιπαρᾶς καὶ εὐδαίμονος ὁ ἁβρὸς καὶ ἀειθαλὴς οὗτος ἐξήνθησεν ἄσταχυς, ἀρδείαις καὶ ἐπιμελείαις ταῖς προσηκούσαις εἰς καρποφορίαν ζωοτρόφων ληΐων ἐπὶ σιτισμῷ καὶ εὐεργεσίᾳ πολλῶν γεωργηθεὶς καὶ τημεληθεὶς τῶν καὶ γειναμένων καὶ θρεψαμένων· ὧν πατὴρ μὲν ἦν αὐτῷ Ἀλέξανδρος ἐκεῖνος ὁ πάνυ, εἰς τοὺς περιφήμους Μαυροκορδάτους ἀναφέρων τὸ γένος, οὗ πολὺς ἐπὶ σοφίᾳ διακωδωνίζεται λόγος· διὰ γὰρ τὸ περιὸν τῆς ἐνούσης αὐτῷ κατὰ πᾶσαν ἀρετὴν προκοπῆς ὁ ἀοίδιμος ἐκεῖνός φημι ἐφ' ἱκανοῖς χρόνοις βασιλικὸς ἑρμηνεὺς χρηματίσας καὶ οἱονεὶ γέρα ἧς μεταξὺ βασιλέων

www.dacoromanica.ro

διεπρεσβεύσατο εἰρήνης αὐθεντικῇ ἐπωνυμίᾳ τετιμημένος καὶ ἐξ ἀποῤῥήτων τῆς κραταιᾶς βασιλείας ἐπικληθεὶς ἑαυτῷ τε μέγα κλέος προσεκτήσατο καὶ τοῖς ἐξ αὐτοῦ καταγομένοις καταλέλοιπεν· ἀνὴρ ἀγχίνους τῳόντι καὶ συνέσει τῶν ἄλλων ἁπάντων προὔχων, πολιτικοῖς τε ὁμιλῆσαι πράγμασι δεινότατος καὶ τὰ μάλιστα δραστήριος, συνεῖναί τε τὸ δέον νοὸς ὀξύτητι δυνατὸς καὶ καταπράξασθαι σὺν λόγῳ δυνάμεως περιουσίᾳ ἱκανός, ὥστε καὶ πολλῶν πολλάκις τῶν τοῦ ἀρχιερατικοῦ καταλόγου ἐγκρίτων ἤκουσα ἐγὼ ἐπιφωνούντων ἐκείνῳ, ἐν τοῖς ζῶσι τέως διατελοῦντι, τὸ παρὰ Πυθαγορείοις θρυλούμενον «αὐτὸς ἔφα». Οὕτω διὰ πάσης ἤγετο παρὰ πᾶσιν ἐκείνοις αἰδοῦς καὶ τιμῆς, ἅτε καὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ εὐταξίας διάπυρος ζηλωτὴς καὶ τῶν πρὸς σύστασιν αὐτῆς καὶ ἐπικουρίαν φερόντων εὐγνώμων πρόμαχός καὶ προασπιστής, τῆς τε καθ' ἡμᾶς ἱερᾶς θεολογίας εἰδήμων ὑπάρχων ἀκραιφνὴς καὶ τῆς θύραθεν φιλοσοφίας γνώμων ἀκριβής, ναὶ δὴ καὶ τῆς τῶν Ἀσκληπιαδῶν περὶ τὴν σωτήριον ἰατρικὴν ἐπιστήμης ἐμπείρως ἔχων ὡς οὐδεὶς ἄλλος, λόγων τε ἀγαθῶν δημιουργὸς καὶ τῶν πώποτε μέγ' ὄνομα ἐπὶ σοφίᾳ κληρωσαμένων οὐ δεύτερος, ἐν ταῖς ἁπάντων γλώσσαις ἐς δεῦρο κείμενος καὶ δι' εὐφήμου μνήμης ἀγόμενος δι' ἅπερ ἐπλούτει ἔκ τε πράξεως καὶ θεωρίας πλεονεκτήματα, ὥς γε τὰ ὑπ' αὐτῷ Ἑλλάδι φωνῇ κατὰ γραμματικοὺς καὶ φιλοσόφους καὶ ῥήτορας δαιμονίως ἐκπονηθέντα συγγράμματα τὴν προσοῦσαν τἀνδρὶ ἀρετὴν ἀριδήλως παρίστησι, μηκέτι μηδενὸς οἶμαι ἐπαινέτου ἑτέρου εἰς ἀφήγησιν δεομένην. Ἀλλὰ καὶ οἷς γε ῥητορικωτέρας μέτεστι γλώττης τὰ κατ' ἐκεῖνον προτερήματα ἄλλοτε πρότερον ἀναγεγραμμένα ἅλις ἔχει δοκῶ μοι, ἐν τῷ παρόντι τὰ τῆς ὁμοζύγου συνείρειν ὑπὸ τοῦ λόγου προτρεπομένῳ, τῆς καὶ μητρὸς τοῦ εὐφημουμένου, Σουλτάνας ἐκείνης λέγω τῆς εὐγενείᾳ καὶ σεμνοπρεπείᾳ καὶ κοσμιότητι βίου πασῶν τῶν ἄλλων τηνικαῦτα διαφερούσης καὶ καταλλήλως τῷ γαμέτῃ συναρμοσθείσης· ἐκ Χρυσοσκουλαίων καὶ γὰρ γένους οὕτω πως ὀνομαζομένου ἐξορμωμένη ἔσχε μὲν καὶ ἀπ' ἐκείνου ὄνομα εὐκλεές, διὰ δὲ τὴν πρὸς τηλικοῦτον ἄνδρα συνάφειαν, ἐπιδόξου τότε γεγενημένου, πλέον ἢ πρότερον περιώνυμος ἐγεγόνει καὶ ἐν τιμαῖς παρὰ πᾶσιν ἐτύγχανεν οὖσα.

9. Ἐκ ταύτης οὖν τῆς καλῆς τὰ πάντα κἀγαθῆς ξυνωρίδος ἄλλοι θ' ἱκανοὶ ἄῤῥενές τε καὶ θήλειαι προήλθοσαν παῖδες ἀγαθοί, ὧν οἱ μὲν εἰς ἄνδρας ἤδη τελοῦντες, τοῦ ζῆν αὐτοῖς ὅσον εἵμαρτο σχεδὸν ἐκμεμετρημένου, ἐξ ἀνθρώπων ἐγένοντο, Σκαρλάτος ἐκεῖνός φημι ὁ καὶ τῶν υἱέων πρεσβύτερος φὺς καὶ γαμβρὸς ἐπὶ θυγατρὶ Βασσαράβα τοῦ πρόσθεν ἱκανῶν χρόνων ἡγεμονεύσαντος Οὐγγροβλάχων γενόμενος, καὶ ὁ τῶν ἄλλων νεώτερος καὶ περιβόητος Ἰωάννης βοεβόνδας ὁ μακαρίτης, ὃς ἐφ' ἡμῶν τε ἤκμασε καὶ μεγαλοπρεπῶς, περιόντος ἔτι τοῦ πατρός, ἀνετράφη τε καὶ ἐβίω καὶ ἐπὶ μέγα δόξης προὐκεχωρήκει, ἑρμηνεὺς μετὰ ταῦτα κἀκεῖνος τῆς μεγίστης τῶν Ὀθωμανῶν βασιλείας κατὰ διαδοχὴν τοῦ παρόντος ὁμαίμονος γεγονὼς καὶ τὴν ἡγεμονίαν Οὐγγροβλαχίας εἰσέπειτα, ἐφ' ὅσον ὁ καιρὸς καὶ τὸ φέρον συνεχώρει, περιζωσάμενος. Αἱ δέ, ἵνα τι καὶ παρεκβατικώτερον παρενείρωμεν τῷ λόγῳ, ὡς δήπου καὶ τοῦτο ἐν ἐπαίνου μοίρᾳ τῷ εὐφημουμένῳ λογισθησόμενον, διὰ τὴν ἐκ τῆς αὐτῆς ῥίζης κοινὴν αὐτῶν βλάστησιν εἰσέτι καὶ νῦν λαμπρῶς ἄγαν καὶ ἐνδόξως ἀμφότεραι τὸν βίον ἐπιμετροῦσι, πασῶν τῶν ἀνὰ τὴν πόλιν εὐγενῶν κατὰ πάντα ὑπερτεροῦσαι καὶ ὡς εἰκὸς προτιμώμεναι, Ῥωξάνδρα φημὶ ἡ περιφανὴς ὁμοῦ καὶ περικαλλής, ἡ καὶ κυρία δόμνα τανῦν χρηματίζουσα, ἀπὸ τοῦ κλεινοῦ υἱέος αὐτῆς κυρίου Γρηγοράσκου τοῦ ἐκλαμπροτάτου Μολδοβλαχίας αὐθέντου ἐπαξίως τὴν ἐπωνυμίαν λαχοῦσαι γυνὴ τά τε ἄλλα συνετὴ καὶ μεγαλοφυὴς τὴν διάνοιαν, ὥστε καὶ ἀνδράσι τὰ δέοντα βουλεῦσαι ἱκανή, καὶ κοσμιότητι βίου διαπρέπουσα, πλούτῳ τε κομῶσα καὶ τοῖς ἄλλοις βρύουσα πᾶσι τῶν ὅσα γυναιξὶ κόσμον φέρει προσάντα καλά· καὶ ἡ ταύτης τῷ μὲν καθ' ἡλικίαν ὑστερίζουσα χρόνῳ τὰ δ' ἄλλα πάντα συναμιλλωμένη ἐνδοξοτάτη Ἑλένη, ἐχέφρων τε καὐτὴ καὶ μεγαλοπρεπὴς γυνὴ καὶ τοῦ προσήκοντος συνέσεως μέτρου οὐκ ἀποδέουσα, χρηστοήθης τ' ἐς τὰ μάλιστα καὶ σεμνοπρεπής, ὥραν τε περὶ τὸ σῶμα εὖ ἔχουσα καὶ ταύτῃ τὰς κατ' αὐτὴν διαφερόντως παρελαύνουσα πάσας καὶ τῷ ἐκτὸς τοῦ σώματος εἴδει τὴν ἔνδον τῆς ψυχῆς ὑπογράφουσα ὡραιότητα, ὡς τοῦ ἔξωθεν ἀνθρώπου τὸν ἔσω χαρακτηρίζοντος.

10. Μεταξὺ δὲ τούτων ὡσεὶ ῥόδον εὔοσμον ἐν μέσῳ κρίνων ἡδυπνόων ὡς ἀπό τινος ἀμφιλαμφοῦς καὶ καλλιχρόου ῥοδωνιᾶς ἐξέφυ τε καὶ ἐξήνθησεν ὁ περὶ οὗ πρόκειταί μοι λέγειν

www.dacoromanica.ro

ἀγαστὸς ὁμοῦ καὶ σοφὸς ἐν ἡγεμόσι κύριος Νικόλαος, ἀψευδὲς ὄντως τοῦ φύσαντος ἀφομοίωμα καὶ τοῦ γενέτου λαμπρὸν ἀπεικόνισμα· ὃς ἐς παῖδας ἄρτι τελῶν μεγαλοφυῶς ἀνετρέφετο καὶ σεμνοπρεπῶς ἐπαιδαγωγεῖτο τῇ τῶν πρώτων καὶ στοιχειωτικῶν γραμμάτων θηλῇ κατὰ ἀναλογίαν ἡλικίας καὶ δυνάμεως προσανέχων καὶ ὡς ὑπὸ στάθμῃ τῷ οἰκείῳ πατρὶ τυπούμενος τὸν βίον καὶ ῥυθμιζόμενος. Αὐξομένης δὲ τῆς κατὰ σῶμα ἡλικίας αὐτῷ, καὶ ἡ τῆς ψυχῆς ἅμα συνηύξανε προκοπή, καὶ ἐγίνετο ἄρα τὰ ἐν ἀρχαῖς προγυμνάσματα τῆς ἐσομένης κατ' ἀρετὴν τελειότητος προμηνύματα· καὶ γὰρ φυτὰ ἀπὸ γραμμῆς, ὃ λέγεται, δῆλα ἃ μέλλει κάρπιμα ἔσεσθαι. Οὔπω δὲ τὸν μείρακα παραλλάξας καὶ τοῖς ἑλληνικοῖς ἐγγυμνάζεται παιδεύμασι, καὶ τὰ μὲν πρῶτα ὑπὸ ἐλλογίμῳ καθηγητῇ, τῷ ἐξ Ἄργους κυρῷ Ἰακώβῳ τῷ καὶ τῆς ἐν Κωνσταντινουπόλει πατριαρχικῆς ἐξ δεῦρο προϊσταμένῳ σχολῆς, ἀνδρὶ γραμματικῆς τ' ἐπὶ πλεῖστον ἥκοντι τέχνης καὶ λίαν ἐπὶ φιλοσοφίᾳ γνωρίμῳ, τὰ ἐγκύκλια ἐκπαιδεύεται, πᾶσαν θ' ὑπ' αὐτοῦ ἔντεχνον ἰδέαν παιδείας, ὅση τε εἰς λογογράφους ἀνήκει καὶ ὅση ῥητορικώτερον μεθοδεύεται, ἐς ἀκρίβειαν διδάσκεται.

11. Εἶθ' οὕτω καθ' ὁδὸν προϊὼν καὶ τῶν κατὰ θεωρίαν ἐπιστημονικῶν ἀκροαμάτων ἐφάπτεται· ὧν δὴ θᾶττον ἢ καθ' ἡδονὴν ποδὸς ἐπήβολος γεγονὼς καὶ πάντων ἅμα κατακόρως γευσάμενος, ὥσπερ τις γίγας νεανικῷ καὶ κούφῳ ἁλάμενος τῷ πηδήματι ἐπ' αὐτὰ τὰ τοῦ Ἑλικῶνος ἀνέθορεν ἀνακτόρια, ἔνθα αἱ Μοῦσαι περιχορεύουσαι καὶ τὸν ὑμέναιον ᾄδουσαι χρυσοπλόκοις στέμμασιν ἀνθέων εὐχρόων τε καὶ μυριπνόων τὴν κεφαλὴν τοῦ ἥρωος ἀνεδήσαντο καὶ τῷ χορῷ τῶν φιλοσόφων συνετάξαντο. Ἀλλ' ἔδει ἄρα καὶ ἀναγκαίως ἐχρῆν, οὕτω καθ' εἱρμὸν καὶ τάξιν ἰούσης τῆς τῶν πραγμάτων ἀκολουθίας, μὴ μόνον τῆς καθ' Ἕλληνας παιδείας τὸν Μουσῶν τρόφιμον κορεσθῆναι, ἀλλὰ καὶ ἑτερογλώσσων διαλέκτων καὶ τῶν κατ' ἐκείνας παιδεύσεων καὶ ἐπιστημῶν πειραθῆναι, ἵνα μηδ' ἐν τούτοις τοῦ γενέτου ἀπολειφθείη, πρὸς ὃν ὅσαι ὧραι ὡς εἰς ἔμψυχον καὶ ζῶσαν ἀτενίζων εἰκόνα κἀκεῖθεν τοὺς τύπους τῶν ἀρετῶν ἄγαν εὐφυῶς ἀπομάττων ὡσεὶ κηρῷ τῇ ψυχῇ ἐγκεκολαμμένους ἐδέχετο καὶ ἄντικρυς ἐκμαγεῖον τοῦ ἀρχετύπου ἐγίνετο, τῷ πατρὶ κατ' ἴχνος ἑπόμενος κἀκείνῳ συμπαρεκτεινόμενος καὶ συναμιλλώμενος. Καὶ δῆτα συχνοὺς τῶν κατὰ πᾶσαν διάλεκτον εὐδοκιμούντων τότε ἀνδρῶν ἐπιστήσας ἑαυτῷ διδασκάλους, πατρικαῖς θ' ἑρμηνείαις τὰ πολλὰ ὑπαγορευόμενος, ἐντὸς ὀλίγου κἀκείνων ἐγκρατὴς ἐγεγόνει, καὶ τὰ Λατίνων Ἀράβων τε καὶ Περσῶν οὐκ ἐπιπολαίως οὐδ' ἄκρῳ (φασὶ) δακτύλῳ, ἀλλ' ἐν χρῷ καὶ ἐς κόρον ἐξεμελέτησε γράμματα, διὰ πάσης συνελόντα εἰπεῖν διαλέκτου ἀκριβῶς οὕτω καὶ ἐπιστημόνως ἐλάσας, ὡς οὐδεὶς διὰ μιᾶς καὶ μόνης, καὶ οὕτως ἑκάστην κατάκρως ἐξακριβώσας, ὡς δῆθεν μίαν καὶ μόνην αὐτὴν ἐπιστάμενος.

12. Οὕτως οὖν τῶν ἐκ πάσης καὶ παντοίας παιδεύσεως ποικίλων καὶ καλῶν ἀγωγίμων τὴν τῆς ψυχῆς ἀναπλήσας ὁλκάδα, φοροῦ τε καὶ κατὰ πρύμναν λαβόμενος πνεύματος καὶ ἐξ οὐρίας τὸν ἀπόπλουν ποιήσας, ὡς ὀρθῷ δήπου πηδαλιουχούμενος λογισμῷ, ἀγαθῷ λιμένι τῆς εἰσέπειτα διαδεξαμένης ὑπεροχικῆς καὶ λαμπροτέρας εὐημερίας φέρων προσήῤῥαξεν. Ἄρτι καὶ γὰρ τοῦ πατρὸς ἀπὸ ἑρμηνέως βασιλικοῦ πρέσβεως ἀναδεδειγμένου κἀκ τῆς πρεσβείας ἐπανιόντος μεθ' ὅσης ἂν εἴποις εὐδαίμονος τύχης καὶ εὐφημίας καὶ εἰς βαθμὸν ἀξίας καὶ προσηγορίας αὐθένταις ἀποκληρωθείσης προβιβασθέντος, τὴν ἐπιστασίαν τοῦ προλαβόντος αὐτῷ ἀξιώματος ὥσπερ τινὰ κλῆρον πατρῷον ὁ ἀξιάγαστος οὑτοσὶ διαδέχεται καὶ γενικὸς ἑρμηνεὺς τῆς κραταιᾶς βασιλείας προβάλλεται, βασιλικαῖς τε καὶ ὑπερεχούσαις συναγελάζεται ἔψεσι, ναὶ δὴ καὶ μέγας λογοθέτης τοῦ Οἰκουμενικοῦ Θρόνου ὑπὸ τοῦ τότε πατριαρχοῦντος κατὰ διαδοχὴν τοῦ πατρὸς προχειρίζεται καὶ τοῦ εὐαγοῦς τῆς Μεγάλης Ἐκκλησίας κλήρου προεξάρχων ἀναδείκνυται, πατριάρχαις ἀρχιερεῦσί τε καὶ κληρικοῖς καὶ ἀρχόντων λογάσι τὰ εἰκότα τιμώμενός τε καὶ ἀγαπώμενος· ἡνίκα καὶ γάμου δεῆσαν αὐτῷ (ἦν γὰρ ἄχρι καὶ τότε ἄζυγα βίον ἀνύων) κατεγγυᾶται καὶ συναρμόζεται εὐγενὴς γυνὴ καὶ ἐπίδοξος, ἐξ αὐθεντικῶν αἱμάτων τὸ γένος ἐφέλκουσα καὶ τοῦ ὀνομαστοῦ ἐν αὐθένταις Δημητράσκου βοεβόνδα ἐκείνου τῶν θυγατέρων ἡ τῷ χρόνῳ καὶ τῷ κάλλει πρωτεύουσα. Ἑξῆς δὲ προφρόνως ἄγαν καὶ συνετῶς ταῖς ἀναλογούσαις τῷ βασιλικῷ ἀξιώματι ἐνασχολούμενος χρείαις, πρός τε τὰς τοῦ καιροῦ τύχας καὶ τὰς τῶν δεσποζόντων τῷ τότε γνώμας σοφοῦ δίκην ἀμέμπτως δίκην μεθαρμοζόμενος καὶ τὰ τοῖς κρατοῦσι δο-

www.dacoromanica.ro

κοῦντα ἀνελλιπῶς ἐκπληρῶν εὐάρεστος ἦν ἐκείνοις καὶ ἐνευδοκίμει τοῖς πράγμασι καὶ τῆς περὶ ἕκαστα ἐπιστήμης καὶ ἀρετῆς ὡς εἰκὸς ἐθαυμάζετο, πράξει μὲν κοσμούμενος, θεωρίᾳ δὲ σεμνυνόμενος καὶ παντοίων ἀγαθῶν ἐπομβρίᾳ περικλυζόμενος. Ἀλλ' οὔ φασιν ἀλύπως τῶν ἡδίστων μετέχειν τῇ ἀνθρωπίνῃ συγκεχώρηται φύσει, οὐδὲ πάντῃ ἔοικεν ἀμιγῆ τὰ καλά, ὥσπερ οὐδὲ τρίτος ἐν Διὸς πίθος, οὐκ οἶδ' ὅπως τοῖς τοῦ βίου τερπνοῖς τῶν ἀνιαρῶν παραπεπηγότων· ἐν ᾧ γὰρ τὰς διατριβὰς εἰς Ἀδριανούπολιν ἐποιεῖτο, τῆς βασιλείας ἐκεῖσε τηνικαῦτα αὐλιζομένης, συνέβη οὕτω παρ' ἐλπίδας τὴν ὁμόζυγον θανάτῳ ζημιωθῆναι, τῆς προθεσμίας τοῦ βίου ἐκείνην καταλαβούσης· ἐφ' ᾧ καὶ ἤλγησε μέν, ὅσον ἔδει φιλόσοφον ὄντα ἀλγῆσαι, οὐ μὴν δὲ καὶ ἡττήθη τοῦ πάθους ὁλοσχερῶς, φιλοσοφῶν κἀν τοῖς πάθεσι· καί γε μετ' οὐ πολὺ τὸ ἀλγεινὸν εἰκότως παραμυθούμενος καὶ νόμῳ φύσεως εἴκων πρὸς δευτέρους ἀπεκλίνατο γάμους καὶ Πουλχερίαν ἐκείνην τὴν ἐπ' εὐγενείᾳ καὶ ἤθων κοσμιότητι καὶ ψυχικαῖς ἀρεταῖς καὶ οἴκτῳ τῷ πρὸς τοὺς δεομένους πολλῷ τὰς κατ' ἐκεῖνον ὑπερβάλλουσαν τὸν χρόνον ἠγάγετο, κόρην ἐς Καντακουζηνοὺς μὲν τὴν τοῦ γένους διαδοχὴν ἀναφέρουσαν, σώφρονα δὲ καὶ σπουδαίαν ἐν τῇ κατ' ἀρετὴν ἀκριβεῖ πολιτείᾳ τοῦ βίου μαρτυρουμένην.

13. Συχνὸς ἐξ οὗ χρόνος τῇ ἀξίᾳ ταύτῃ διέπρεπε, καὶ ἡ τῆς προνοίας ψῆφος πόῤῥωθεν τὸ τῆς πολλοῖς ξυνοῖσον προβλεπομένη τὴν ἀνωτάτω ἡγεμονίαν αὐτῷ προμνηστεύεται· ἔδει γὰρ ὄντως καὶ λίαν ἥρμοζε τὸν καλῶς ὑπὲρ ἑαυτοῦ διανοηθέντα καὶ περὶ τῶν ἄλλων συμφερόντως βουλεύσασθαι, καὶ τὸν ἐν ἤθεσι σφετέροις καὶ ταῖς κατ' οἶκον οἰκονομίαις δόκιμον ἀναφανέντα τὸ πρὶν καὶ βασιλικαῖς τὰ μάλιστα ἐνευδοκιμήσαντα λειτουργίαις καὶ πολιτικῶν προστήσασθαι διοικήσεων καὶ ἀρχὴν ὅλην ἐγχειρισθῆναι λαοῦ. Ἀμέλει τοῦ κατ' ἐκεῖνο καιροῦ τὴν δεσποτείαν διέποντος Μολδοβίας προστάξει βασιλικῇ τοῦ ἡγεμονεύειν παραλυθέντος, καίπερ ἄλλων τέως τῷ θρόνῳ τῆς ἀρχῆς ἐποφθαλμιζόντων, τῶν καὶ δικαίου πρόφασιν δῆθεν ἐκ τοῦ προτέρου δοκούντων ἔχειν καὶ τὰ μέγιστα ἀγωνισαμένων σὺν μεσιτείαις λιπαρεστέραις καὶ χρυσοῦ πολυταλάντοις ὑπισχνουμέναις ὁλκαῖς, ἔμπης τοῦ βασιλικοῦ κράτους μηδένα λόγον ἐκείνων ποιησαμένου καὶ τὴν τῆς ἡγεμονίας ἐξενέγκαντος ψῆφον ἐπ' αὐτὸν τὸν οἰκεῖον αὐτοῦ ἑρμηνέα, ὡς ἀξιώτερον πάντων καὶ εἰς ἀρχαιρεσίαν ἁρμόδιον προκριθέντα, δι' ἣν εἰλήφει προτοῦ ἀποχρῶσαν πεῖραν τῆς ἐνούσης αὐτῷ ἀρετῆς. Ἤδη λοιπὸν ὁ πάμμεγας οὗτος βασιλικῷ προτρεπόμενος νεύματι, μὴ ἐξὸν ἑτέρως γενέσθαι, τὸ ἡγεμονικὸν ἀνεζώσατο κράτος, χλαμύδι καὶ διαδήματι καταλλήλῳ ὡς ἔθος ἐπ' ὀφθαλμοῖς τοῦ ἄνακτος κοσμηθεὶς καὶ τοῖς λοιποῖς παρὰ βασιλεῖ δωρουμένοις συνήθεσι τῶν ἡγεμόνων γνωρίσμασι φιλοτιμηθείς, τοῦ ὑστάτου αὐτῷ ἀδελφοῦ Ἰωάννου βοεβόδα τοῦ μακαρίτου, οὗ ἐν τοῖς ἔμπροσθεν ἐμνήσθην, εἰς τὴν τοῦ ἑρμηνέως τότε ἀξίαν διαδοχῆς λόγῳ προβεβλημένου, ἅμα δὲ καὶ τοῦ τρισμακαρίστου πατρὸς παρὰ πόδας μεταστάντος τῶν τῇδε ἐν προβεβηκότι καὶ εὐκλεεῖ ζωῆς καταστήματι· κἀπὶ τὴν περιωπὴν ἀκολούθως ὁ τρισόλβιος οὗτος τοῦ τῆς ἡγεμονίας ἐκείνης ἥλατο ὕψους, ἐπὶ θώκου ἡγεμονικοῦ ἀξιοπρεπῶς ἐφεζόμενος καὶ μεγέθει δόξης ἀναδούμενός τε καὶ λαμπρυνόμενος. Ἔνθα ἅπαξ καὶ δὶς μετὰ ταῦτα τὸ ἄρχειν ἐκ βασιλείας ἐπιτραπεὶς καὶ κηδεμονικῶς ἄγαν τὸν ὑπὸ χεῖρα διοικήσας λαὸν θαυμαστὰ μᾶλλον ἢ πειθοῦς ἄξια διεπράξατο, ὀλίγα μὲν δυνάμεως καὶ ἐξουσίας φροντίζων, τὰ πλεῖστα δὲ ἐπιεικείᾳ καὶ χρηστότητι χαίρων καὶ πραότητι τὴν ἐξουσίαν κιρνῶν, πατρικῶς τε καὶ εὐνοϊκῶς μᾶλλον ἤπερ ἡγεμονικῶς καὶ κατὰ δυνάστας τοῖς ὑπὸ χεῖρα προσφερόμενος, οἴκτῳ τε καὶ συμπαθείᾳ πρὸς πάντας καμπτόμενος καὶ δι' ἐλευθεριότητα γνώμης μεγαλοπρεποῦς καὶ μεγαλοδώρου χεῖρας προτείνων τοῖς ἅπασιν εὐεργέτιδας. Εἰ δέ ποτε, καιροῦ καλοῦντος, καὶ φόβου ἔδει, καὶ τούτου οὐκ ἀπελείπετο· δίκαιος θ' ἅμα καὶ φοβερὸς ἐν καιρῷ τῷ δέοντι ἐγίνετο, καὶ τῷ μὲν τοὺς εὖ βιοῦντας θαῤῥεῖν ἀσφαλιζομένους, τῷ δὲ τοὺς ἁμαρτάνοντας ὀκνεῖν σωφρονιζομένους παρεσκεύαζεν, ἐκεῖνο σαφῶς ἐπιστάμενος, ὡς ἄρ' ἀτελὲς ὑπάρχον θάτερον παρὰ θάτερον ἀναρχία μᾶλλόν ἐστιν ἢ ἀρχή, καὶ (εἰ χρὴ τἀληθὲς εἰπεῖν) πᾶσιν ἅμα φόβον, οὐχ ὃν μῖσος καὶ ἀπέχθεια συνίστησιν καὶ ὃν δοῦλοι πρὸς δεσπότας καὶ οἱ τυραννούμενοι φέρουσι πρὸς δυνάστας, ἀλλὰ τὸν εὐλαβῆ καὶ σεμνόν, οἵῳ δὴ χρῶνται παῖδες πρὸς πατέρας καὶ οἱ εὔτακτοι τῶν πολιτῶν πρὸς τοὺς εὐνοϊκῶς διοικοῦντας, ὅσα γε δὴ Νικομαχείοις πείθεσθαι.

14. Ἐπεὶ δὲ τοιοῦτος ὢν ἐθρυλεῖτο παρὰ πάντων καὶ ἐθειάζετο καὶ ἡ φήμη ἀπτέρῳ



www.dacoromanica.ro

τάχει ἀπανταχῇ ἐφοίτα διαδραμοῦσα καὶ διαπρυσίως σαλπίζουσα καὶ Στέντορος δίκην καταβροντῶσα πάντων ἐπλήρου τὰς ἀκοὰς καὶ τὸ σμῆνος τῶν ἀρετῶν περιεβόμβει μικροῦ δεῖν τὴν ὑπ' οὐρανόν, ἤδη δὲ καὶ βασιλικοῖς ὠσὶν ἐνηχεῖτο τὰ κατ' αὐτόν, συμβάν τε παρὰ πόδας τῷ τότε καιρῷ τὴν αὐθεντίαν Οὐγγροβλαχίας χηρεύουσαν ἡγεμόνος καταλειφθῆναι, τῶν φθασάντων ἤδη βασιλικαῖς ὑποπεσόντων ὀργαῖς καὶ ἐκ μέσου γεγενημένων, ἀκολούθως λοιπὸν ὁ ἐν αὐθένταις ἀπόβλεπτος οὑτοσὶ καὶ περίπυστος, μηδεμιᾶς αὐτῷ προϋπούσης εἰδήσεως καὶ μελέτης, ὡς ἄρα τοῖς εἰδόσι μαρτύρεται, βασιλικῇ ἐκλογῇ τε καὶ προτροπῇ ἡγεμὼν Οὐγγροβλαχίας ψηφίζεται· κἀντεῦθεν ἀπὸ Δακίας ἐπὶ τὴν Μοισῶν ἐπικράτειαν μεταβαίνει καὶ ἀπὸ δόξης εἰς δόξαν μεταχωρεῖ καὶ θρόνου θρόνον ἀλλάσσεται μείζονα, ἄξια τὰ γέρα τῶν ἀρετῶν ἐκεῖσε μᾶλλον καρπούμενος· καί γε τῶν πρὸ αὐτοῦ ἡγεμονευσάντων τὰ εἰς εὔκλειαν δόξης καὶ εὐνομίας διοίκησιν πολὺ καθυπερτερῶν οὐδενὶ τῶν πρωτείων παραχωρεῖν ἠνείχετο, πάντας δ' ἐπὶ πᾶσι παρευδοκίμει καὶ τὰς μνήμας ἐκείνων τῷ εὐκλεεῖ αὐτοῦ ὀνόματι καταχωννύων ἀπέκρυπτε, καθάπερ τὰς ἀστραϊκὰς ἀγλαΐας οἶδεν ἐξαμαυροῦν τὰ ἡλιακὰ σελαγίσματα.

15. Ἀλλ' ἔμελλεν ἄρα ἐν τοσούτῳ ὕψει καὶ τηλικούτῳ μεγέθει εὐημερίας καὶ αἰθρίας ὑπερβαλλούσης καί τινα τῶν ἀδοκήτων ἐνσκήψαντα οἷόν τι νέφος πρὸς καιρὸν τῷ ἡλίῳ ἐπιπροσθῆναι, οὐκ ἄλλως (οἶμαι) τὰ τοιαῦτα παρὰ τῆς προνοίας συγχωρηθέντα, εἰ μὴ ἐφ' ὅσον τὸ τῆς μεγαλόφρονος τούτου ψυχῆς περὶ μέσης κινδύνους γενναῖον καὶ ἀπτόητον λῆμμα ἐν τῷ τῆς ὑπομονῆς χωνευτηρίῳ χρυσοῦ δίκην δοκιμασθῆναι καὶ τὸ τῆς ἀρετῆς αὐτοῦ χρῆμα διάδηλον πᾶσι γενέσθαι, ὡς τῆς ἐπιστήμης τοῦ σοφοῦ καὶ δεξιοῦ κυβερνήτου ἐν τρικυμίαις πραγμάτων τὰ μάλιστα γνωριζομένης. Καὶ τὰ μὲν πρῶτα θανάτου τὴν σύνευνον αὐτῷ δόμναν μακαρίτιδα Πουλχερίαν ἐκείνην κατειληφότος οὐκ ἀναλγήτως διετέθη, τὸ μὲν διὰ τὴν στέρησιν τῆς ἀποιχομένης, τὸ δ' ὅτι καὶ χηρείᾳ ὑποπέπτωκε διπλῇ· εἶτα δὲ καὶ βασιλέων κατὰ πόδας ἐκπολεμωθέντων ἀλλήλοις καὶ τῶν τῇδε πραγμάτων εἴπερ ποτὲ στενωθέντων, εἰς γόνυ τ' ἐπιδήλως καμψάντων καὶ ἐν χρῷ κινδύνου γεγενημένων, βασιλικῆς τε δυνάμεως σχεδὸν ὅλης ἀπειρηκυίας, οὐκ ἦν ἄρα καὶ τὸν μέγιστον τοῦτον καὶ καρτερικὸν ἡγεμόνα μὴ οὐχὶ πειραθῆναι τῶν ἀβουλήτων. Τύχης δὲ ἀλόγῳ φορᾷ τῶν ἐναντίων τὰ Μοισῶν ὅρια ἐξάπινα καταδραμόντων καὶ ἀγρίων μονιῶν δίκην ἄχρι καὶ ἐς τὴν αὐθεντικὴν σὺν ἀκατασχέτῳ ῥύμῃ ἐπιβρισάντων ἑστίαν καὶ Μυσῶν λείαν (ὃ λέγεται) πεποιημένων, μετανίσταται τέως ἐκεῖθεν, τοῦ προειρημένου αὐταδέλφου καὶ ἑρμηνέως παραχρῆμα τὴν τῆς ἡγεμονίας ἀρχὴν διαδεξαμένου, καὶ δὶς ἀπὸ γῆς Οὐγγροβλάχων ὁ παμφαὴς οὗτος ἀστὴρ τοῖς τῶν Οὔννων ἐπέλαμπε μέρεσι, καίτοι περιστάσεως νεφέλῃ συσκιαζόμενος.

16. Ἀλλ' οὐδ' ἂν ὑπὸ μοδίῳ, γραφικῶς φάναι, ὁ λύχνος κρύπτοιτο, τὴν λαμπηδόνα τοῦ φωτὸς ἀπεστέρητο· κἀκεῖσε γὰρ πρὸς καιρὸν παρεπίδημος, οὕτω συμβάν, γεγονώς, οὐδόλως τῆς σφετέρας κατ' ἀρετὴν ἐπελάθετο εὐγενείας, οὐδὲ τῇ φορᾷ τῶν πραγμάτων ἐνδοὺς τὸ ἀνδρεῖον προῄκατο, ἢ καθυφεῖκέ τι τοῦ φρονήματος· μεγαλοφυὴς γὰρ καὶ γενναία ψυχὴ οὐχ οὕτω ῥαδίως ἐπὶ ταῖς προστυχοῦσι παθαίνεται. Πάντων δὲ τῶν ἔξωθεν προσπεσόντων, κατευμεγεθοῦσάν τε καὶ ὑπερτεροῦσαν τὴν ψυχὴν ἔχων ὡς οὐκ ὄντων ἐκείνων ὑπερευφρόνει· χρησταῖς ἐλπίσιν ὀχούμενος καὶ τῆς συνήθους ἀντείχετο ἀρετῆς. Οὕτως ἄρα ἐν μεγέθει πραγμάτων ἐσωφρόνισε πρὸς τὴν τύχην, καὶ τύχης αὐτῆς καθυπέρτερος γενόμενος· ἅτε γὰρ ἀκαμπὲς καὶ ἀνένδοτον πάθεσι τὸ φρόνημα κεκτημένος καὶ τὸ τῆς ψυχῆς ὄμμα ἀνεπισκότητον φέρων καὶ λαμπρυνόμενον καὶ τὴν τοῦ νοὸς δύναμιν πλουτῶν ὡς ἐν σταθηρᾷ καὶ μεσημβρινῇ αἰθρίᾳ γαληνιῶσαν καὶ ἤρεμον, σχολῆς τε ἀπράγμονος καὶ τῷ σκοπῷ ἐπιτηδείας λαβόμενος, ὡς φροντίδων ἀπηλλαγμένος, τὴν πολλῆς γέμουσαν φιλοσοφίας *Περὶ τῶν καθηκόντων* συνετάξατο βίβλον, ἐν ᾗ ὅπως χρὴ τὸν κατὰ πρᾶξιν φιλοσοφοῦντα πολιτικοῖς ἐφεστάναι πράγμασι σοφῶς ὑποτίθεται. Ταύτῃ τοι τὴν ἐν λόγοις καὶ ἔργοις σύνεσιν αὐτοῦ καὶ σοφίαν, οἷς ἡ τοῦ ἔθνους ἐκείνου ἐπιτέτραπται ἀρχή, αἰδεσάμενοι καὶ τὴν ἐν πᾶσιν ἀκριβῆ τελειότητα τοῦ νοὸς ὡς χρὴ ὑπαραγασάμενοι (οὐδὲ γὰρ πολεμίοις, ᾗ λέγεται, τὸ τῆς ἀρετῆς χρῆμα ἀγέραστον διαμένει), περὶ πλείονος τὸν ἥρωα ἐποιοῦντο καὶ διὰ τιμῆς ἦγον καὶ φιλοφροσύνης ἁπάσης, τὰ εἰκότα τε ἐθεράπευον καὶ ὅσα μεγίστῳ ἡγεμόνι προσεῖχον.

www.dacoromanica.ro

17. Ἄρτι δὲ σπονδαὶ καὶ συνθῆκαι διαλλαγὴν βασιλεῦσιν ἐπραγματεύοντο, καὶ ὁ γεννάδας οὑτοσὶ πρεσβείας ἔργον γενόμενος μεταναστεύει κατὰ τάχος ἐκεῖθεν κἀπὶ τὴν Κωνσταντίνου μετάπεμπτος ἵεται· καὶ πατρικοῖς τοῦ λοιποῦ ἐνδιαιτώμενος δόμοις, τοῖς ἀπὸ κλήρου λαχοῦσιν αὐτῷ, ἐκαραδόκει τὸ μέλλον καὶ ὡς ἐπ' ἀγκύραις ταῖς ἐλπίσιν ἐσάλευε, Θεῷ τὸ πᾶν ἀναθέμενος. Ἐν δὲ τούτῳ καὶ γάμου ἐπιμνησθείς, ἤδη καὶ πρὸς τὰ τρίτα ἔβλεψε λέκτρα καὶ ἐσοικίζεται γαμετὴν ἡγεμονικῷ κήδει πρόσφορον καὶ κατάλληλον καὶ γάμου ὄντως ὡραίαν, οὐδεμιᾶς ἐλάσσω τῶν ἐν τῇ πόλει εὐγενίδων γεγενημένην, τὴν νῦν ἐκλαμπροτάτην κυρίαν δόμναν Σμαράγδαν· ἧς τὰ κατὰ σῶμα καὶ ψυχὴν περιᾳδόμενα προτερήματα, ὅσα φύσις καὶ τύχη ταύτῃ πεφιλοτίμηνται, τὴν πασῶν, φημί, τῶν ἀρετῶν προεξάρχουσαν σωφροσύνην, τὴν τοῦ βίου σεμνότητα, τὴν τῶν ἠθῶν εὐκοσμίαν, τὴν ἐν τοσούτῳ δόξης μεγέθει μετριόφρονα καὶ χαρίεσσαν γνώμην, τὴν περὶ τὰ θεῖα εὐλάβειαν, τὴν μετ' αἰδοῦς ἡγεμόνι ὀφειλομένην πρὸς τὸν γαμέτην εὐπείθειαν, τὸ πρὸς πάντας τούς τε τῷ γένει ἑκατέρωθεν προσήκοντας καὶ τοὺς ἄλλως οἰκείους τε καὶ γνωρίμους προσηνὲς καὶ εὐπρόσιτον ἦθος, ἵνα τὴν λοιπὴν καθ' ἕκαστα πᾶσαν περὶ τὸν ἐκτὸς ἄνθρωπον ἀναζωγραφουμένην καὶ ἐπανθοῦσαν κατὰ λειμῶνα πλήμμην τῶν ἀρετῶν παραδράμωμεν ἤδη τῷ λόγῳ, ἑτέρου ἂν εἴη καὶ οὐ τοῦ παρόντος ἀφηγήσασθαι καιροῦ, ὑπόθεσιν ὅλην λόγου τὰ κατ' αὐτὴν ἀναγκαζομένου προβάλλεσθαι.

18. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ τἀδελφοῦ, τοῦ Οὐγγροβλαχίας τηνικάδε αὐθέντου, τὸ ζῆν μεταλλάξαντος, ἐκεῖσε αὖθις ὁ ἥρως οὗτος ἐπάνεισι καὶ τῷ ὑψηλῷ τῆς ἡγεμονίας θρόνῳ ὑπὸ βασιλικαῖς ψήφοις ἀποκαθίσταται, κἀπὶ τὴν φωτοδόχον τῆς αὐθεντίας λυχνίαν ὁ φαεσφόρος τίθεται λύχνος, πυρσοφαεῖς λαμπηδόνας ἐκπέμπων τῶν ἀρετῶν καὶ καταυγάζων πᾶσαν τὴν τῆς ἐπικρατείας περίχωρον· καὶ τανῦν λαμπρῶς καὶ μεγαλοπρεπῶς ἄγαν τὰς τῆς ἀρχῆς ἡνίας μεταχειρίζεται καὶ τὸν ἡγεμονικὸν πλέον ἢ πρότερον θῶκον κατακοσμεῖ δᾳδουχῶν καὶ λαμπρότερον δείκνυσιν, ὑπεροχῇ δόξης καὶ εὐφημίαις στεφόμενος καὶ τῷ περιστοιχοῦντι τῶν ἐν ἀξιώμασιν ἀρχόντων χορῷ γεραιρόμενος, μᾶλλον δὲ τῷ ἐνδογενεῖ τῆς ψυχῆς κόσμῳ καὶ τῇ χορείᾳ τῶν δορυφορουσῶν ἔσωθεν ἀρετῶν καθωραϊζόμενος ὁμοῦ καὶ μεγαλυνόμενος· ἐφ' οἷς καὶ πάρεστιν ἤδη λέγειν κατὰ χορδήν, οἷς γε μετὸν τὸ φιλάληθες, ὅπερ τις τῶν πάλαι περὶ τοῦ πότ' ἂν ἄριστα τὰ κοινὰ διοικοῖντο προσφυῶς ἀπεφήνατο, καὶ καιρὸν ἐκεῖνον εἶναι ἀριδήλως τανῦν, καθ' ὃν οἱ βασιλεῖς, ταὐτὸν εἰπεῖν ἡγεμόνες, φιλοσοφοῦσι καὶ οἱ φιλόσοφοι βασιλεύουσιν· ἅτε γὰρ σοφίᾳ τε καὶ ἡγεμονίᾳ ἀνακραθεὶς τὴν ψυχὴν καὶ τοῖς ἐξ ἐκείνης γλυκεροῖς νάμασι τὸ οἰνῶδες καὶ σφοδρὸν ταύτης λεαίνων τε καὶ χαλῶν ἀσινὲς καὶ ἐπωφελὲς πᾶσι τὸ τῆς διοικήσεως κεράννυσι πόμα, πράως τε διέπει καὶ ἐπιεικῶς διεξάγει τὸν ὑπὸ χεῖρα λεὼν καὶ πᾶσι τρόποις τοὺς ἀρχομένους εἰς εὐνομίαν καθίστησι, δικαιοσύνῃ καὶ φιλανθρωπίᾳ ταλαντευόμενος καὶ νῦν μὲν τοῦτο νῦν δὲ ἐκεῖνο γινόμενος καὶ πρὸς τὸν συντείνοντα ἑκάστῳ καιρὸν δεξιῶς μεταῤῥυθμιζόμενος, ὡς φοβεῖσθαι μὲν ὑπὸ τῶν πολλῶν διὰ τὸ περὶ τὴν τῶν πραγμάτων ἀκρίβειαν ἀπροσωπόληπτον καὶ ἀδέκαστον, ἀγαπᾶσθαι δὲ παρὰ πάντων διὰ τὸ ὑπερβαλλόντως τῆς γνώμης εὐσυμπάθητον ὁμοῦ καὶ φιλάνθρωπον· οἷς τισι χρώμασιν ἡ τοῦ κυρίως καὶ ἀληθῶς ἄρχοντος ἀναζωγραφεῖται καὶ μορφοῦται ψυχή, πολυτρόπως τὸ συμφέρον ἑκάστῳ τῶν ὑπ' αὐτὸν οἰκονομοῦντος καὶ πρυτανεύοντος.

19. Καὶ τὰ μὲν ἐκ θείας προνοίας καὶ τῆς ἄνωθεν ῥοπῆς κατὰ τὸν ἔξω μάλιστα περιφανῆ αὐτοῦ βίον οἰκονομηθέντα τε καὶ συντελεσθέντα ἐς δεῦρο τοιαῦτά τε καὶ τοσαῦτα καὶ ὅσα μόνον ἡ μνήμη ἀναπεμπάζουσα γραφῇ καὶ λόγῳ παρέδωκε, τῶν πλειόνων, οἶμαι, ταύτης διὰ τὴν μεταξὺ τοῦ χρόνου πολυωρίαν ἀποῤῥυέντων· τὰ δὲ ἐσωτερικὰ τῶν περὶ τὸ σῶμα δοκούντων καλῶν, ὅσα φύσις ὡς ὑπὸ χειρὶ ζωγράφου ἐφιλοτεχνήσατο αὐτῷ καὶ φιλοτίμως ἀνεζωγράφησεν, ὁποῖα ἄρα καὶ ὅσα; πάντως γε τῷ ὕψει ὑπερμεγέθη καὶ τῷ κάλλει ὑπέρλαμπρα καὶ οἷα ἐχρῆν ἡγεμονικῷ σώματι συνεξυφανθῆναι· πάρεστι γὰρ ὄντως περιαθρεῖν οἷς τὰς τῆς αἰσθήσεως ἔῤῥωται τὸ τῆς μορφῆς αὐτῷ πρωτεῦον καὶ ἀξιοθέατον εἶδος καὶ τὸ τῆς ὄψεως ἀγλαόμορφον καὶ ἡγεμονίας ὄντως κατὰ τὸν φιλόσοφον ἄξιον, τὸ προσηνὲς τοῦ ἤθους καὶ οἷον ὑπομειδιάζον καὶ ἥμερον, τὸ ἱλαρὸν τοῦ βλέμματος καὶ γαλήνιον, τὴν εὔλαλον γλῶτταν καὶ εὐανθῆ καὶ μυρίας ὅσας ἀποπνέουσαν χάριτας, τὴν ἐπικαθημένην τοῖς χείλεσι γλυκεῖαν πειθὼ

www.dacoromanica.ro

www.dacoromanica.ro



καὶ τὸ ἐν λόγοις ἡδύ τε καὶ εὐφραδὲς καὶ ὅλως ἐπαγωγὸν καὶ σειρήνιον, ἐφ᾽ ᾧ καὶ τὸ ποιητικὸν προσφυῶς ἂν ἔχοι εἰρῆσθαι, «τοῦ καὶ ἀπὸ γλώττης μέλιτος γλυκίων ῥέεν αὐδή»[1], τὴν εἰς ἱκανὸν καὶ σύμμετρον μέγεθος τοῦ σώματος ἀναδρομήν, ὅπως τε πέφυκεν αὐτὸ διαρθρώσεως καὶ ἁρμονίας μελῶν καὶ μερῶν ὀργανώσεως (ἐν οἷς ἡ τῆς σωματικῆς ὁλοκληρίας καὶ ἀρτιότητος γνωρίζεται ἀρετή), καὶ τὴν πᾶσιν αὐτοῖς ἐπιτρέχουσαν ἀναλόγως ποιὰν καὶ εὔχρουν διάθεσιν καὶ φύσεως φιλοτιμίᾳ σχεδιασθεῖσαν ἠρινοῖς ἄνθεσι παραπλησίως περικαλλεστάτην τοῦ σκήνους περιγραφήν, ἣν Φειδίου τέχνη ἄντικρυς ἔγλυφε καὶ Δαιδάλου χεὶρ ἐτεχνούργησεν· ἐξ ἧς ἔνεστι τεκμαίρεσθαι ἀτεχνῶς ὡς ἀπὸ κατόπτρου διαυγεστάτου τὴν ἐνδογενῆ τῆς ψυχῆς καλλονὴν καὶ εὐπρέπειαν, ὡς τῶν ψυχικῶν αὐτῷ κινημάτων ἐκ τῶν ἐκτὸς διαῤῥήδην μαρτυρουμένων· πέφυκε γὰρ ὡς ἐπίπαν, ἔφη τις τῶν πάλαι σοφῶν, τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασι καὶ βουλήμασι τὸ τοῦ σώματος εἶδος συνδιαπλάττεσθαι. Ἐγὼ δὲ μέμνημαι, αὐτήκοος γεγονὼς καὶ τοῦ ἀειμνήστου τοῦδε πατρός, τοῦ τῆς μακαρίας μνήμης ἐξ ἀποῤῥήτων, τοῦ προσδιαλεγομένου περὶ τοιούτων ποτέ, ἐκ Πυθίου τρίποδος ὥσπερ ᾠδίπως ἀποφοιβάσαντος, ὡς ἄρα ψυχὴ ἐν καλῷ κατασκηνοῖ σώματι καὶ ἀντιπεπονθότως τῷ μὴ καλῶς ἔχοντι τὰ περὶ ψυχὴν προσόμοιον τὸ σκῆνος συνεξυφάνθη.

20. Ἀλλὰ μέχρι μὲν τοῦδε εὔδρομά μοι τὰ τῆς πορείας ἐγένετο καὶ ἀπροσκόπως ἰόντι ἐδόκει ῥᾳδίως καὶ ὅσον οὔπω τοῦ τέλους ἐπιτυχεῖν· ἐνταῦθα δὲ τοῦ λόγου γενόμενος μικροῦ ἄφωνος ὥσπερ καὶ ἐννεὸς ἀναπέφηνα, καί γε τὸ μέλλον ἀποσκοπῶν ἀποναρκῶ τὴν χεῖρα καὶ τὼ πόδε προσκόπτω καὶ οἷον εἰς λαβύρινθον ἐναπειλημμένος οὐκ οἶδα ποίᾳ χρήσομαι ὁδῷ· φρίκη γάρ με ὑποτρέχει καὶ δέος κατέχει παρομαρτοῦν τοῖς ἑξῆς τοῦ διηγήματος προσιόντα καὶ ὡς ἀπὸ σκοπιᾶς ἀχανεῖ πελάγει ἐπαφέντα τὰς ὄψεις καὶ ἀψευδῶς συνορῶντα, ὡς ἄρα μοι ἀγὼν ὁ μείζων ἐπίπροσθεν ἔτι κεῖται καὶ τὰ πλείω τε καὶ καλλίω, ὧν ἀφηγεῖσθαι προὐθέμην τοῦ ἡγεμόνος αὐτοῦ πλεονεκτημάτων, ἀνέπαφά μοι εἰσέτι καὶ ἀμνημόνευτα περιλείπεται, ἀπέραντα ὄντα τῷ πλήθει καὶ τῷ μεγέθει ἀδεξίτητα καὶ ὠκεανείοις ὅλως ἀναλογοῦντα θαλάσσαις καὶ (τὸ τοῦ ποιητοῦ φάναι) «νιφάδεσσιν ἐοικότα χειμερίῃσιν»[2]. Ἔμπης καὶ τούτοις ἐπιβαλεῖν οὐκ ἀποκνητέον ὑπὸ Θεῷ ποδηγέτῃ.

21. Τοίνυν ἧς τρέφει πρὸς Θεὸν εὐσεβείας καὶ ὀρθοδόξου λατρείας λαὸν ὀρθόδοξον, πάντα ταύτῃ ὑπερνικῶν ὁ τῆς νίκης ὄντως φερώνυμός τε καὶ ἁγιώνυμος, τοῦ χοροῦ τῶν ἐν τῇ θεοτυπώτῳ αὐτοῦ ψυχῇ ἐμφιλοχωρουσῶν γενικῶν φημι ἀρετῶν οἷα βασιλίδος προεξαρχούσης. χριστιανικώτατος εἴπερ τις ἄλλος καὶ ἔστι καὶ λέγεται· ἀκριβείας τε καὶ γὰρ δογμάτων ἀπρὶξ ἀντέχεται καὶ διάπυρος ζηλωτὴς τῆς ὀρθοδοξίας γνωρίζεται καὶ θερμῶς τῆς Ἐκκλησίας προΐσταται· πάντων τε τῶν ἐπιῤῥεόντων αὐτῷ ἀγαθῶν καὶ τῶν ἄλλως πως γινομένων τοὺς λόγους καὶ τὰς αἰτίας, οἷα δὴ προνοητῇ καὶ διοικητῇ τῶν ὅλων, τῷ κρυφιομύστῃ Θεῷ ἀνατίθησι κἀκείνῳ εὐσεβοφρόνως ἐπιγράφεται πάντα καὶ εὐγνωμόνως ἐπὶ πᾶσιν εὐχαριστεῖ καὶ δόξαν προσφέρει διηνεκῆ καὶ οὐδενὸς τῶν εἰς εὐσέβειαν ἡκόντων ἀπολιμπάνεται· ἅτε γὰρ ἀκραιφνὲς καὶ ἀκέραιον τὸ περὶ τὴν ἀμώμητον πίστιν φρόνημα κεκτημένος καὶ ἀραρότως ἐπὶ τῇ ταύτης ὁμολογίᾳ ὡς ἐπὶ πέτρᾳ (Δαβιτικῶς εἰπεῖν[3]) τὰς τῆς ψυχῆς βάσεις ἐρηρεισμένος, οὐδόλως ἀνέμων πνοαῖς περιτρεπόμενος ἢ φερόμενος καλάμου δίκην σαλεύεται, ὥστε καὶ μικρόν τι τῆς εὐθείας παρατραπῆναι καὶ νοσῆσαι ψυχικὴν νόσον περὶ τὰ θεῖα κατὰ τοὺς ἀσθενοῦντας τῇ πίστει (ὅ φησιν ὁ θεῖος ἀπόστολος[4]), οἵτινες διὰ τὸ περὶ τὸν ὀρθοτομοῦντα τῆς πίστεως λόγον ἀπαγὲς αὐτῶν καὶ ἀβέβαιον τῇδε κἀκεῖσε περικραδαινόμενοι παραφέρονται καὶ ὥσπερ ὄρνιθος πτερόν, ἥπερ ἄλλος ἔφη θεῖος πατήρ, ἄρτι ποθὲν ἐκτιλθὲν καὶ γεγονὸς ἐναέριον οὐδαμοῦ στῆναι δύναται, οὕτω τῆς ὀρθῆς περὶ Θεοῦ δόξης ὑπὸ κουφότητος λογισμῶν ἐκτιναχθέντες αὐτοὶ παντὶ πνεύματι ἀνεμώλιοι φέρονται καὶ τέλος εἰς Ἅδου πέταυρον καταφέρονται· καὶ τούτοις, ὡς ἀμυήτοις τὰ θεῖα καὶ ἀτελέσι καὶ ἀπαραδέκτως ἔχουσι πρὸς στερεωτέραν τῶν μυστηρίων τροφήν, μηδὲ τὸν ἀρτοποιούμενον τοῦ πνεύματος λόγον ἱκανουμένοις εἰσδέξασθαι ἀναλόγως ἂν ἐφαρμόσοι, ὥς φησιν ὁ θεηγόρος αὐτός, λάχανα ἐσθίειν καὶ γάλακτι τρέφεσθαι.

22. Ἀλλ᾽ ἅπαξ τοῖς τῆς πίστεως φεγγοβόλοις ἀκτῖσι τὸν νοῦν ἐλλαμφθεὶς καὶ τῷ τῆς

---

[1]) Ἰλιάδος Α στίχ. 249. [2]) Ἰλιάδος Γ στίχ. 222. [3]) Πρβλ. ψαλμ. κθ', 3. [4]) Ῥωμ. ιδ', 1.

θεογνωσίας φωτὶ φρυκτωρούμενος, κἂν τῷ θεμελίῳ τοῦ ἀκρογωνιαίου λίθου τὸ τῆς ψυχῆς ἡγεμονικὸν ὡς ἄλλος Ἰακὼβ ἐφεδράσας, ἐν ὑγιαινούσῃ τῇ πίστει καὶ σταθηρᾷ διανοίᾳ καὶ ἀκλινεῖ λογισμῷ ἀπρὶξ τοῦ πατροπαραδότου ἀντέχεται δόγματος· ἔκ τε μελέτης ὧν ἐμβατεύει θείων Γραφῶν καὶ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων (ἀποστολικῶς εἰπεῖν) ἀναθρώσκων τῆς τοῦ νοῦ ὀξυτάτοις κινήμασιν, ἐπὶ τὰ πνευματικὰ μετέωρα κἀπὶ τὰ ὑψηλὰ καὶ τοῖς κάτω κειμένοις ἀθέατα ἐπαίρων τῆς διανοίας τὰ ὄμματα ἐπιγινώσκει πρὸ πάντων, ὅσον ἔνεστιν ἀνθρώπῳ, καὶ τούτῳ σοφῷ, τὸν πλάστην αὐτοῦ Θεόν, συνίεισι τὸν κτίσαντα, τὰ τοῦ Κυρίου θαυμάσια διαγγέλλει, τὰ πλούσια τούτου διηγεῖται ἐλέη, ὅσα τε πρότερον αὐτῷ ὡς οἰκείῳ καὶ πιστῷ θεράποντι πεποίηκε καὶ εἰσέτι ποιεῖ καὶ οὐδέ ποτε παύσεται ποιῶν· ὑμνεῖ εὐχαρίστως τὸν εὐεργέτην, τὸν δοξάσαντα ἀξίως ἀντιδοξάζει, χάριτας ἀνομολογεῖ διὰ πάντων τῷ καὶ τὸ εἶναι καὶ τὸ εὖ εἶναι χαρισαμένῳ καὶ λόγοις ἅμα καὶ ἔργοις τὸν πλουσιοδότην ἀμείβεται. Καὶ δῆλον ἐξ ὧν ἄλλων τε παρέσχε πολλῶν τεκμηρίων ἡ αὐτοῦ θεοσέβεια τὸ ὀρθόδοξον σέβας, προσμαρτυρούντων καὶ ὧν μάλιστα ἐδείματο μεγαλοπρεπῶς καὶ ἐκ βάθρων ἀνήγειρεν ἐντὸς ὁρίων τῆς ἐπικρατείας αὐτοῦ καὶ τῷ πατριαρχικῷ τῶν Ἱεροσολύμων θρόνῳ ἐξ αὐτῶν κρηπίδων ἀφωσιώσατο εὐαγῶν ναῶν καὶ ἱερῶν σκηνωμάτων εἰς αἶνον καὶ δόξαν Θεοῦ καὶ ἔνδειξιν ἧς πρὸς αὐτὸν ὠδίνει ὑπερβαλλούσης ἀγάπης καὶ οὗ τρέφει περὶ τὰ θεῖα διαπύρου καὶ θερμοῦ ζήλου.

23. Τῆς γε μὴν φρονήσεως, ὅσης μέτεστι τῷ μεγαλεπηβόλῳ τούτου νοΐ, οὐδ' ἂν πᾶσαι ῥητόρων εὔστροφοι γλῶσσαι εἰς ταὐτὸν συνδραμοῦσαι ἓν χεῖλος γένοιντο τὸ πολλοστὸν παραστῆσαι τῷ λόγῳ δυνήσονται. Οὕτω νουνεχὴς καὶ μεγαλόνους ὑπάρχων ὁ θεῖος οὗτος ἀνήρ, τὰ ἑκατέρωθεν ἀνακύπτοντα καθ' ὑπέρπτωσιν καὶ ἔλλειψιν οὐκ ἀγαθὰ διαπέφευγε γειτονήματα· κἂν τῷ μεσαιτάτῳ τῆς ἀρετῆς ἐνιδρυμένος καθέστηκεν, οὔτε τὸ τοῦ ὄφεως φρόνιμον φέρων ἄκρατον, οὔτε τὸ τῆς περιστερᾶς ἀκέραιον ἀνεπίμικτον, πάντων δὲ λόγων τε καὶ ἔργων τὴν φρόνησιν ἐφεστῶσαν καὶ ἡνιοχοῦσαν ὥσπερ πλουτῶν, δεξιῶς ἄγαν καὶ καταλλήλως τοῖς πράγμασιν ἡνιοστροφεῖται καὶ διεξάγεται, πράττων μὲν σὺν λόγῳ τὰ δέοντα, μετὰ δὲ συνέσεως λέγων τὰ παριστάμενα, τὰ δὲ δοκοῦντα τῷ βασιλικῷ κράτει θᾶττον ἢ λόγος περαίνων ἀνελλιπῶς καὶ τὰ πρὸς σύστασιν καὶ εὐστάθειαν τοῦ αὐθεντικοῦ συμβάλλοντα θρόνου μεταδιώκων ἐπιμελῶς καὶ πᾶσιν ἁπλῶς ἐπιβάλλων καὶ ἐπιστατῶν νουνεχῶς· καί γε τὴν τοιαύτην αὐτῷ ἀρετὴν ἡ τῶν πολιτικῶν πραγμάτων περὶ μέσας ὅλας ἡγεμονίας ὑπὸ χειρὶ τοῦ αὐτοῦ διακονουμένη ἀρίστη διοίκησις ἐν οὕτω στενοῖς καὶ κατηναγκασμένοις καιροῖς ἀποχρώντως ἐπιμαρτύρεται. Σιωπῇ τιμάσθωσαν τοιγαροῦν ὅσοι πάλαι καὶ νῦν ἐπὶ φρονήσει διατεθρύληνται λάμποντες, ταῖς μείζοσι φωταυγίαις στενοχωρούμενοι καὶ πρὸς τηλικαύτης ὁλολαμποῦς γνώσεως ἀνείκαστον φῶς μικρὸν ὅλως καὶ ἀμυδρὸν ἀποσπινθηρίζοντες καὶ ὥσπερ ἀστέρες ἡλίου τελεσφόροις ἀκτῖσιν ὑπερλαμπόμενοι. Σιγάτω Σωκράτης ἐκεῖνος καὶ Λυκοῦργος καὶ Σόλων καὶ πολύμητις Ὀδυσσεὺς καὶ ὁ λοιπὸς τῶν συνέσει διαπρεψάντων χορός, τῷ σφῶν αὐτῶν προεξάρχοντι ἐπιεικῶς τὰ πρωτεῖα παραχωρήσαντες καὶ ἀνεπιφθόνως τὴν ἧτταν ὁμολογούντων ἐκεῖνοι τῇ δυνάμει ὥσπερ τῆς ἀληθείας ἀναγκασθέντες.

24. Τί δὲ καὶ φῶμεν περὶ τῆς ἐνούσης αὐτῷ ψυχικῆς ἀνδρίας καὶ καρτερίας; ἢ ὅτι καὶ τὸν φθάσαντα μὲν ὅσα ὁ λόγος ἐδήλωσεν ἱκανά γε ταύτης μαρτύρια· πάντως γὰρ ἐκεῖνα ἑτέρῳ τῳ προσπεσόντα τῶν οὐκ ἀγενῶν καὶ ἀνάνδρων συνετάραξεν ἂν καὶ παρετρέψατο μονονοὺκ τοῦ λογιστικοῦ τὴν ἀκρόπολιν, οὕτως ὄντα μεγάλα καὶ ψυχῆς οὐ τυχούσης καθικέσθαι δυνάμενα· ἃ δὲ καὶ εἰσαῦθις κατὰ συγχώρησιν προνοίας ἐπηκολούθησε, τὴν μαρτυρίαν ἐπισφραγίζεται. Παίδων καὶ γὰρ ἀγαθῶν, ἀρρένων τε καὶ θηλέων, ἐξ ὧν πρότερον ἐγήματο πατὴρ γεγονώς, καὶ τῶν μὲν γάμου ὥρᾳ πλησιαζόντων, τῶν δὲ καὶ εἰς γάμον συναρμοσθέντων, οὓς πάντας μεγαλοπρεπῶς ἀναθρέψατό τε καὶ εἰς μέτρον ἤγαγεν ἡλικίας, ἤθεσί τε καὶ βίῳ ἐρρύθμισε, ζηλωτοὺς τὰ πάντα καὶ φύσασιν ὅλως προσεοικότας καὶ ἀτεχνῶς γλύμματα Χαρίτων, φύσεως ἄνθη· κἀκείνων ἄωρον ἀποβολὴν ὑποστάς, οὔτω δόξαν θείῳ βουλήματι, οὔτε ἀπαθῶς καὶ ἀλύπως προσηνέχθη τοῖς συμπεσοῦσιν ἀτέγκτου καὶ θρασυκαρδίας φειδοῖ (πῶς γὰρ ἂν ὁ πρὸς οἶκτον τῶν ἄλλων ἐπικαμπὴς ἀναλγήτως τῶν καθ' ἑαυτὸν σχοίη;), οὔτε περιπαθὴς καὶ κατωφερὴς ἐγένετο τῇ λύπῃ προσκαρτερῶν· σοφῶς γὰρ τὸ τοιοῦτον ἐκκλίνων ὡς ἄνανδρον

www.dacoromanica.ro

καὶ θηλυπρεπές, κρείττων ὤφθη τοῦ πάθους καὶ ἀδάμαντος δίκην ἀνένδοτον καὶ ἀήττητον ὅλως τὴν ψυχὴν ἐνεδείξατο, ὡς ἐξ ἐμφύτου ἀρετῆς διδασκόμενος μήτε τοῖς δεξιοῖς τῶν πραγμάτων ἐπαίρεσθαι, μήτε τοῖς ἀριστεροῖς καταπίπτειν καὶ κάμπτεσθαι.

25. Καὶ τὴν μὲν ἀνδρίαν τοιοῦτος· τὴν δὲ σωφροσύνην καὶ τὴν τοῦ βίου κοσμιότητα οἷος; ἄρ' οὐ πᾶσιν ἀνωμολόγηται, τοῖς γε ἀπαθῶς εἰδόσι κρίνειν τὰ πράγματα, ὡς ἀνδρὶ σοφῷ καὶ γενναίῳ κατὰ ψυχὴν καὶ τὸν νοῦν ἡγεμόνα τῶν παθῶν ἐπιστήσαντι οὐ πόνος τὴν σάρκα τῷ πνεύματι καθυποτάξαι καὶ τῇ ψυχῇ τὸ σῶμα δουλαγωγῆσαι καὶ τὸ κρεῖττον προτιμῆσαι τοῦ χείρονος καὶ ψυχὴν ἅμα καὶ σῶμα τῷ λόγῳ κατήκοα παρασχεῖν, κατευνάσαι τε τὰ πάθη καὶ ἐγκρατῆ γεγονέναι; Ἀλλὰ κἀντεῦθεν ἄν τις τοῦ λεγομένου στοχάσαιτο ἀκριβῶς καὶ τεκμήρασθαι σχοίη τὸ ἀσφαλὲς καὶ τῇ ἀληθείᾳ σύμψηφος γένοιτο, ἐκεῖνο σκοπήσας ὀρθῶς, ὡς ὁ πολλῶν ἀρχὴν ἐπιτετραμμένος καὶ δήμου ὅλου ἄρχων ἀναῤῥηθεὶς πολλῷ δήπου πρότερον ἑαυτοῦ ἦρξε καὶ οὐκ ἂν οὕτως εὐκόλως εἴασε τὸν ἀντιστρατευόμενον (κατὰ Παῦλον εἰπεῖν[1]) ἐν τοῖς μέλεσι νόμον τοῦ ἐν τῷ νοΐ κατισχύσαι ψυχικοῦ νόμου, μηδὲ τὸ σαρκικὸν φρόνημα τοῦ πνευματικοῦ κατεξαναστῆναι καὶ τὰ δοῦλα τῶν δεσποζόντων κατακαυχήσασθαι· οὐδ' ἂν ὅλως ἀνάσχοιτο αὐτὸς ἄρχων ἄλλων οἰκείοις ἄρχεσθαι πάθεσιν. Ἢ πῶς ἂν εὐδοκιμήσοι καὶ γένοιτο περὶ τὰ ἔξω χρηστός, εἰ μὴ καὶ τὰ ἔνδον τοιοῦτος εἴη; καὶ ὃς ἡγεγονεύειν προφρόνως οἶδε τοσούτου λαοῦ, εὔδηλον ὡς τῶν τῆς σαρκὸς παθημάτων ἡγεμὼν φθάσας ἀποκατέστη· καὶ ὁ σωφρονίζειν ἄλλους καλῶς ἐπιστάμενος, καὶ καθ' ἑαυτὸν πάντως πολλῷ μᾶλλον ἐγένετο σώφρων καὶ σώφρονι λογισμῷ τῶν σαρκικῶν σκιρτημάτων τὰς ἡνίας φέρων ἐπέτρεψεν, ὡς ὑπὸ μανδραγόρᾳ τῷ λόγῳ κοιμίσας τῶν παθῶν τὰ οἰδήματα. Οὐ γὰρ ἂν περὶ τὰ κοινὰ ὑπῆρξεν ὅλως βελτίων, οὐδ' ἂν ἄλλους ἐῤῥύθμισε καὶ φρονίμους ἐποίησεν, ὃς μὴ πρότερον εἴη ἑαυτῷ χρήσιμος καὶ τὰ πρὸς ψυχὴν ὑπάρχῃ μακάριος· ἄλλως τε καὶ ᾧ γε τρίτος ἐμέλησε γάμος καὶ κηδεύματα νόμιμα, ἅλις ἂν ἔχοι εἰς ἔνδειξιν βίου κοσμίου καὶ σώφρονος.

26. Οὕτως οὖν ἐν τοῖς ψυχικοῖς τούτοις διαπρέπων καλοῖς, δικαιοσύνης τὰ μάλιστα ἐπιστρέφεται, μηδενὶ κἂν τούτῳ ὑπεξιστάμενος τῶν πρωτείων· ἐλευθέραν γὰρ καὶ ἀδούλωτον λήμμασι τὴν ψυχὴν κεκτημένος καὶ τὴν γνώμην ἀδωροδόκητον καὶ οὐδόλως ἐρασιχρήματον ἀδεκάστους ἐπιφέρει τὰς ἐν ταῖς τῶν πραγμάτων κρίσεσι ψήφους καὶ ὡς ἐπὶ τρυτάνης ἀκλινοῦς τε καὶ ἀῤῥεποῦς εὐθυβόλως ζυγοστατεῖ καὶ ἰσοῤῥόπως τὸ δίκαιον ταλαντεύεται, οὔτε χρημάτων λήψεσι προσανέχων, οὔτε πρόσωπον εἰς κρίσιν ἐπιλαμβάνων (τὸ τῆς Γραφῆς εἰπεῖν[2]), ὑφ' ὧν πᾶς ἄλλος οἶμαι κριτὴς τυραννούμενος καὶ οἷον ὑποκλεπτόμενος πείθεται προδοῦναι πολλάκις τὸ δίκαιον· ἀλλὰ τῇ ἀπλανεῖ τῆς δικαιοσύνης πορευόμενος τρίβῳ καὶ τῆς θείας ἐντολῆς μεμνημένος, κατὰ τὸν μικρὸν καὶ τὸν μέγαν κρίνει καὶ τοῖς πᾶσι διανέμει τὰ δίκαια. Εἰ γὰρ οἰκτίρμων καὶ συμπαθής, εἰ καί τις ἄλλος, εἶναι διαβεβόηται, οὐδὲν ὅμως τοῦ δικαίου ἐπίπροσθεν τίθεται· ᾧ γὰρ ἔλεον καὶ κρίσιν ὡς κυρίῳ ᾄδειν ἐπίσταται, αὐτῷ κἂν τούτοις συνεξωμοίωται, καὶ εἴ τι ἐγὼ τῆς ἀληθείας συνίημι, ἐν ἑκατέροις ἐξ ἴσου μερίζεται, καὶ τὸ δίκαιον συντηρεῖ καὶ τὸ φιλάνθρωπον οὐκ ἀπαναίνεται, καὶ νόμοις προσέχει καὶ φύσεως ἐλέει κρατεῖται, τῷ ἐπαμφοτερίζοντι τοῦ τρόπου σταθμώμενος καὶ ἀναλόγως τῷ καιρῷ καὶ τοῖς προσώποις καὶ πράγμασι προσφερόμενός τε καὶ διαιτώμενος, ὡς μὴ δέον ὂν μήτε ὅλως ἐξὸν ἑνὶ τρόπῳ τοῖς ἀρχομένοις ἅπασι χρῆσθαι. Καὶ ἔνθα μὲν τῆς ἐκ τῶν νόμων προσδεῖ αὐστηρίας εἰς χαλιναγωγίαν καὶ σωφρονισμὸν τῶν τοῦ δικαίου κατορχουμένων, εἴπερ τις φαίνεται νομοφυλακῶν, νόμοις τε τὰς ψήφους ἀποκληρῶν καὶ διώκων ἀσφαλῶς τὸ ἀκριβοδίκαιον καὶ ἄντικρυς δικάζεσθαι Βίαντος καὶ δικαιότερος σταχάνης ὤν, ὡς ἡ παροιμία φησίν. Ἐνταῦθα γὰρ φιλανθρωπίας ὑπόθεσις τὸ παρὰ τοῖς ἀρχαίοις λεγόμενον καὶ ἐν πολλοῖς πολλάκις γινόμενον ὕλη μειζόνων ἀδικημάτων τοῖς πονηροτάτοις τῶν ἀνθρώπων πέφυκε γίνεσθαι· ὅπου δ' αὖ συγκαταβάσεως καὶ συμπαθείας καιρός, τότε τὸ σφοδρὸν καὶ οἷον ἀπότομον τῆς νομικῆς ἀκριβείας μεθεὶς ὡς ἀνόνητον εἰκότως οἶκτον τῶν χρῃζόντων λαμβάνει καὶ ἑτοίμως συγγνωμονεῖ, καὶ σπλάγχνα πραότητος ἐπιδείκνυται καὶ ὡς δεξιὸς καὶ ἄριστος οἰκονόμος φιλανθρωπίᾳ τὰ πολλὰ ἢ νόμοις χαρί-

[1]) Ῥωμ. ζ', 23. [2]) Πρβλ. Δευτερ. α', 17.

www.dacoromanica.ro

ζεται, τοῦτο μὲν τὸ ἐκ παρατηρήσεως καὶ φυλακῆς πολλοῦ δικαιώματος ἐπακολουθοῦν τῷ δικαίῳ πολλάκις εὐλαβούμενος ὀλίσθημα, ὡς τὸ ἱερὸν τῆς σοφίας διέξεισι λόγιον, τοῦτο δὲ καὶ μάλα εἰδώς, ὡς ἄρα δικαίου πάντως καὶ τὸ οἰκτείρειν καὶ ἐλεεῖν καὶ οὐκ ἔξω δικαιοσύνης ἡ εὐσυμπάθητος καθέστηκε γνώμη· μᾶλλον δ᾽ ἐξ ἐκείνης αὕτη προκύπτει κἀκείνη ταύτῃ συμπλέκεται, ᾗπερ ὁ δίκαιος πῇ μὲν οἰκτείρειν ψυχάς, πῇ δὲ ἐλεεῖν καὶ δανείζειν λέγεται παρὰ τῇ θείᾳ Γραφῇ[1]. Καὶ ἵνα τι καὶ νεανικώτερον φθέγξωμαι, τύπος ὢν αὐτὸς νόμων καὶ δικαιοσύνης τοῖς ἄλλοις ὑπογραμμός, οὐ δεῖται νόμων ἐφ᾽ οἷς ἂν πράττοι δικαίως· νόμος γὰρ τῷ δικαίῳ οὐ κεῖται, τὸ Γραφικὸν ἀποφαίνεται λόγιον. Κἀντεῦθεν φιλοδίκαιος ὁμοῦ καὶ φιλάνθρωπος εἶναι ὁ θεοειδὴς οὑτοσὶ εἰκότως λέγεται καὶ πιστεύεται, τῷ μὲν ὥσπερ μάστιγι τοὺς ῥαθύμους διανιστῶν, ἐντρέπων τε ἅμα καὶ διορθῶν καὶ δικαιοπραγεῖν ἀναγκάζων οὐκ ἔξω λόγου δικαίου (καὶ γὰρ καὶ πατὴρ παισὶν ἐμβριμᾶται, καὶ διδάσκαλος μαθητιῶσιν ἐπιτιμᾷ, καὶ κριτὴς τοὺς δικαζομένους ἐλέγχει, καὶ ἄρχων ἐπιπλήττων ἐνδίκως σωφρονίζει τοὺς ἀρχομένους, καὶ ἰατρὸς πυρὶ καὶ σιδήρῳ τοὺς κάμνοντας ἐξιᾶται, καὶ πάντες ἅμα πολλάκις τοιούτοις χρῶνται φαρμάκοις πρὸς οὓς ἐτάχθησαν ὠφελεῖν, τὴν σωτηρίαν ἑκάστοις πραγματευόμενοι), τῷ δὲ οἱονεὶ θελγήτρῳ καὶ ἀγάπης ἀρραγεῖ πείσματι τὴν πάντων εὔνοιαν ἐφέλκων καὶ ἐπισπώμενος καὶ ὡς συγγνώμων καὶ ἵλεως καὶ πρύτανις ἐλέους πᾶσιν ὑπεραγαπώμενος καὶ ἀνευφημούμενος. Οἶδε γάρ, οἶδεν ὁ βάθεσι σοφῶν ἐμβατεύων καὶ τὰ πάντα σοφός, ὡς ὅ τε ὄρθιος ἄγαν καὶ εἰς ἅπαντα ἀντιβαίνων τόνος προφάσει δῆθεν δικαιοσύνης ἀπηνὴς καὶ σκληρὸς καὶ τὸ συγκαταβατικὸν αὖθις καὶ ὡς ἐπίπαν συνεφελκόμενον καὶ ἐπιῤῥέπον τοῖς ἁμαρτάνουσιν ἐπισφαλὲς τυγχάνει καὶ κάταντες, καὶ ἀμφότερα τοῦ κανόνος ἐκπίπτοντα, καὶ ὅ φησιν ἡ θεολογικὴ γλῶττα· «ἐπίσης ἄρα κακὸν καὶ ἄνεσις ἀσωφρόνιστος καὶ κατάγνωσις ἀσυγχώρητος, ἡ μὲν ὅλην ἀφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφοδρῷ ἄγχουσα». Διὸ δὴ τῇ μέσῃ τούτων ἀρίστῃ καὶ ἐπαινετῇ κράσει οἱονεὶ ῥυθμῷ ἐμμελεῖ καὶ μουσικῇ ἁρμονίᾳ, ᾗ καὶ σύμπας ὁ κόσμος ἐκ Θεοῦ διοικεῖσθαι λέγεται, χρώμενος συμφερόντως ἰθύνει, πειθοῖ τε καὶ λόγῳ διέπει καὶ διοικεῖ τὸ ὑπήκοον.

27. Ἑξῆς δὲ τούτων τῶν ἀρετῶν καὶ τὰς λοιπὰς ἐπανατελλούσας αὐταῖς ἔνεστιν ὁρᾶν περιχορευούσας ὡς ἐν λειμῶνι πολυανθεῖ τῇ κατηγλαϊσμένῃ τούτου ψυχῇ καὶ ἄλλην ἀλλαχόθεν ἀνθέων δίκην καὶ ῥόδων ἀνίσχουσαν καὶ φιλονεικοῦσαν ἐπιεικῶς τῇ εὐχροίᾳ τε καὶ εὐπνοίᾳ τὰς ἄλλας ὑπερβαλλεῖν· ἔνθεν, φημί, τὴν περὶ τὸ συγγενὲς καὶ ὁμόφυλον φιλοστοργίαν καὶ εὐσπλαγχνίαν καὶ τὴν πρὸς πάντας τοῦ τρόπου καλοκἀγαθίαν τε καὶ χρηστότητα, ἐκεῖθεν τὴν ἄκραν ἐπιείκειαν καὶ εὐμένειαν καὶ ἣν πλουτεῖ κατ᾽ ἐξαίρετον ἐπαινετὴν μετριοφροσύνην καὶ τὴν τοῦ πνεύματος ταπεινότητα, ὅσῳ μέγας ὢν τοσούτῳ καὶ ταπεινούμενος καὶ τῇ ἐνδείξει τῆς ταπεινώσεως τὸ ὕψος τῆς δόξης καρπούμενος· συνῆκε γὰρ ὡς σοφὸς (ὅπερ εἴρηταί τινι τῶν τὰ θεῖα σοφῶν), ὡς οὐκ ἔστι σοφοῦ τὸ ἐπαίρεσθαι, νηπίων δέ, καὶ τούτων ἐπὶ ταῖς ἰδίαις μητράσι· μᾶλλον δὲ ψυχῆς οἶδεν ἀμυήτου καὶ ἀτελοῦς, ἐπειδὰν καὶ μικρᾶς τινος ἀρχῆς ἐπιλάβηται, τῇ κεφαλῇ τὸν οὐρανὸν ἐξαράσσειν τὸ δὴ λεγόμενον.

28. Κἀντεῦθεν τὸ φύσει καὶ ὡς ἐπίπαν ἀόργητον καὶ ὃ περὶ τοὺς πταίοντας φέρει ἀνεξίκακον τὰ πολλὰ καὶ μακρόθυμον, ἐφ᾽ ὅσον μὲν καὶ ὅτε καὶ οἷς γε δεῖ τὸ θυμοειδὲς ἐνδεικνύμενος, μᾶλλον δ᾽ ὥσπερ τινὶ προσωπείῳ εἰς δέον τούτῳ προσχρώμενος, εἶτ᾽ αὖθις τὰ τοῦ δράματος ἀναλύων καὶ εἰς γαλήνην ἀπαθείας μεθιστάμενος· τὸ γὰρ κατάκρως θυμαίνεσθαί τε καὶ ἐγκοτεῖν καθάπαξ τῷ λόγῳ χαλινωθέντα τῆς τοιαύτης ψυχῆς ἀπεσχοίνισται καὶ ἀπῴκισται, τῶν δέ γε τῇ ἀληθείᾳ καὶ τῷ δικαίῳ καὶ Θεῷ μᾶλλον προσκεκρουκότων τῷ θυμῷ ἐνδίκως καθοπλιζόμενος καὶ εἰς ἄμυναν καθιστάμενος καὶ ὄντως ὀργιζόμενος καὶ οὐχ ἁμαρτάνων κατὰ τὸ ᾀδόμενον ἐν ψαλμοῖς[2]. Ἑτέρωθεν αὖ τὴν εἰς πάντας, ὅσοι τε οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες καὶ ὅσοι ἁπλῶς τῆς αὐθεντικῆς αὐλῆς τρόφιμοι καὶ ἄλλως ξένοι τε καὶ ἐπήλυδες, ποταμηδὸν προχεομένην εὐεργέτιδα γνώμην καὶ πλουτοδότειραν· καὶ ἄλλοθεν πάλιν, κυριώτερον δ᾽ εἰπεῖν, τὴν ἐν γειτόνων οἰκοῦσαν περὶ τοὺς δεομένους ἄκραν συμπάθειαν καὶ τὸν χριστομίμητον οἶκτον καὶ τὸ πρὸς αὐτοὺς ὡς ἔκ τινος ἀειῤῥύτου πηγῆς, τῆς μεγαλοδώρου χειρός, ανα-

---

[1]) Πρβλ. ψαλμ. λς´, 21. [2]) Ψαλμ. δ´, 5.

www.dacoromanica.ro

δλόζον ἀνεξάντλητον καὶ ἀδιάπαυστον ἔλεος, τὰς ψυχὰς τῶν τηκομένων τῇ δίψῃ τῆς γυμνητείας ἐς κόρον παραμυθούμενον, καὶ πρό γε πάντων τὴν περὶ τὰ θεῖα τεμένη καὶ ἱερὰ ἑκασταχοῦ καταγώγια δαψιλῶς φιλοτιμουμένην διηνεκῆ εὐποιΐαν καὶ τὴν πρὸς τοὺς ἐκκλησιαστικοὺς καὶ τοῦ ἱεροῦ βήματος ὄντας, πατριάρχας φημὶ καὶ ἀρχιερεῖς καὶ ἄλλως τὸ ἱερᾶσθαι λαχόντας καὶ μοναχοὺς καὶ οἷς μόνον ὄνομα καὶ σχῆμα ἱερὸν ἐπιφαίνεται, πᾶσαν καὶ παντοίαν προσφερομένην αἰδῶ καὶ τιμὴν καὶ εὐλάβειαν· οὓς καὶ ἀφθονίᾳ δώρων αὐθεντικῶν καὶ πάσῃ ἄλλῃ φιλοφροσύνῃ οὐ διαλείπει ἑκάστοτε μεγαλοπρεπῶς ἀμειβόμενός τε καὶ δεξιούμενος, ἅτε καὶ τὴν χεῖρα (τὸ τῆς Γραφῆς εἰπεῖν) ἔχων οὐκ εἰς τὸ λαβεῖν, ἀλλ᾽ ἐν τῷ διδόναι μᾶλλον ἐκτεταμένην, καὶ τὸ χρηματίζεσθαι καὶ πλουτεῖν οὐχ ὥστε κεκτῆσθαι καὶ ταμιεύεσθαι κατὰ τοὺς πολλοὺς καὶ τῇ γῇ τὸν μαμωνᾶν κατορύττειν καὶ ψυχὴν θ᾽ ἅμα συγκατορύσσειν, ὃ λέγεται, ἀλλὰ διὰ τὴν χρῆσιν καὶ τὸ εὖ πράττειν λογιζόμενός τε καὶ ποριζόμενος καὶ πλούτου σχεδὸν ἑκάστοτε ῥέοντος καρδίαν, δαβιτικῶς εἰπεῖν[1], μηδαμῶς προστιθέμενος.

29. Τὸ γὰρ τῆς φιλαργυρίας, ταὐτὸν εἰπεῖν εἰδωλολατρείας, ἐπάρατον καὶ γαγγραίνῃ τῷόντι ἐφάμιλλον νόσημα ὡς λαθραίως ὑφέρπον καὶ τὰ καίρια βλάπτον, ψυχῶν τε δήπου καὶ σωμάτων λυμαντικόν, ἐξ οὗ καὶ τἆλλα φύεται τῶν ἐν τῷ βίῳ κακῶν, ὡς ἐκ πικρᾶς ῥίζης ἀναβλαστάνοντα, ᾗ φησι τὸ θεηγόρον τοῦ Χριστοῦ στόμα, καὶ Θεῷ διὰ τοῦτο καὶ ἀνθρώποις νοῦν ἔχουσι στυγερόν τε καὶ ἀποτρόπαιον καὶ ὅλως ἀνοίκειον καὶ ἀπᾷδον τῷ μεγαλείῳ τῆς αὐτοῦ προαιρέσεως, ἐλευθεριότητι ἐκ πρώτης (ὅ φασι) τριχὸς ἀνατεθραμμένης, παρῆκεν εὐλόγως τοῖς ἀπὸ ἀγορᾶς λεγομένοις πλουσίοις, ὡς ἐκείνοις ἁρμόδιον καὶ κατάλληλον, μικροπρεπέσιν οὖσι καὶ ταπεινοῖς καὶ ἀνελευθέροις τὸ σύνολον, μᾶλλον δ᾽ ἀγύρταις καὶ προσαιτοῦσι προσφυὲς καὶ εὐάρμοστον καὶ ὅλως ἀνδραποδώδεσι καὶ βωμολόχοις ἀνθρώποις, πρὸς τὸ χρηματίζεσθαι κεχηνόσι καὶ μηδέποτε τοῖς ἀθλίοις κορεννυμένοις· ὧν κατ᾽ οὐδὲν οἶμαι ὁ φιλοχρήματος, καίτοι κεκτημένος πολλά, διενήνοχε, πένης εἰκότως καλεῖσθαι ἄξιος ὤν, οὐχ ὡς μηδὲν ἔχων, ἀλλ᾽ ὡς πολλῶν δήπου, καθὼς ὥρισται σοφοῖς, δεόμενος· πλοῦτος γὰρ καὶ πενία, ὥς πού τις ἔφη τῶν τὰ θεῖα σοφῶν, οὐχ ἐν χρήμασιν, ἀλλ᾽ ἐν προαιρέσεσι γνωρίζεται, καίτοι ἀνδρὶ μὲν πένητι συγγνωστὸν ἴσως τὸ τῆς φιλαργυρίας κακόν, τῷ δὲ πλούτῳ βρίθοντι τὸ ἀνελεύθερον καὶ χρυσολάτρην εἶναι αἶσχος ἀπαίσιον.

30. Τοῦ δὴ τοιούτου μοχθηροῦ πάθους, ᾧπερ οὐκ ὀλίγοι σχεδὸν τῶν νῦν ὄντων συνεπιῤῥέπουσι, περιουσίας χρημάτων τἆλλα πάντα δεύτερα θέμενοι, καὶ τῇ τερθρείᾳ τοῦ πλουτοτοκεῖν ἐναβρύνονται, ἀλλοτρίοις πτεροῖς κολοιῶν δίκην χήτει κόσμου οἰκείου ἀμφιεννύμενοι καὶ γαννύμενοι καὶ ἐπ᾽ αὐτοῖς ὥσπερ (βαβαὶ τῆς ἀβελτηρίας) τὸν βίον σαλεύοντες καὶ τὴν σφῶν σωτηρίαν ἐπιγραφόμενοι, πράγμασι κομιδῇ ἀστάτοις καὶ ἀβεβαίοις καὶ πολλὴν τοῖς παρὰ τὸ δέον ἐρασταῖς ὑπανάπτουσι τὴν τῆς νόσου πυράν, ἵνα τὰ λοιπά, ἅπερ ἄν τις εἶχε συνῳδὰ τοῖς εἰρημένοις ἐπιμετρῆσαι καὶ καταφορικῶς ἐπισωρεῦσαι τῷ λόγῳ, τὰ ὦτα τῶν πολλῶν ὑποκνίζοντα καὶ οἷον κατακτυποῦντα τοῖς εἰδόσι παρεὶς σιγῇ παραπέμψω τό γε νῦν εἶναι, τὸ μὲν νόμους ἐγκωμίων αἰδούμενος, τὸ δέ τι καὶ παρενθήκης μηκυνομένης φειδόμενος,—μακρὰν που εἰκότως ἀπελαθέντος τῆς μεγίστης καὶ μικροῦ ἀπαθεστάτης αὐτοῦ ψυχῆς, ὡς μηδέποτε πάροδον ἐκείνῳ ἔνδον αὐτῆς παραχωρηθῆναι οὐχ οὕτω ῥαδίως ἀναξιοπαθεῖν ἡγησαμένης ἀνασχετόν, μεγαλοπρεπῆ καὶ μεγαλόδωρον γνώμην ὁ τρισμέγιστος οὗτος προΐσχεται καὶ χειρὸς ἀφθονίαν προβάλλεται καὶ τῶν ἐκ Θεοῦ πλουτοδοτηθέντων αὐτῷ μυριοστῶν ἀγαθῶν κοινωνοὺς καὶ συμμεριστὰς ποιεῖται τοὺς δεομένους· εὐεργεσίαις τε καὶ εὐποιΐαις μικροῦ δεῖν ἅπαντας κατακλύζει, οὐ μόνον οἷς γε τῆς λαμπρᾶς αὐτοῦ οἰκειώσεως μέτεστι περιορίζων τὰς δωρεάς, ἀλλ᾽ ἐξ ἀφθόνου χάριτος καὶ πᾶσιν ἁπλῶς τοῖς χρῄζουσιν ἀναλόγως ἐξαπλῶν καὶ προχέων τὸν ἔλεον, καὶ πεινῶντας ὁμοῦ καὶ διψῶντας (εὐαγγελικῶς φάναι), ἀστέγους καὶ γυμνητεύοντας, ἀσθενεῖς καὶ δεσμώτας ἐν φυλακαῖς, τοὺς μὲν ἐκτρέφει καὶ διαθρύπτει αὐτοῖς καθ᾽ ἑκάστην τὸν ἄρτον, τοὺς δὲ ποτίζει· τούτους συνεισάγει, ἐκείνους περιβάλλει, ἄλλους ἐπισκέπτεται καὶ ἑτέρους παραμυθεῖται καὶ πᾶσι τρόποις πάντας ὁμοῦ θεραπεύει, καὶ πρό γε πάντων Θεὸν

---

[1]) Πρβλ. ψαλμ. ξα', 11.

www.dacoromanica.ro

αὐτὸν μάλιστα, ᾧ καὶ μιμεῖται εὐεργετῶν καὶ ἐξομοιοῦται ὅσον τὸ ἐφικτόν, ὡς ὁ τῆς θεολογίας ὑπαγορεύει ἐπώνυμος. Καὶ τὸ δὴ μέγιστον, ὅτι καὶ ἥδεται ἀγαθοεργῶν καὶ ταῖς εὐποιΐαις ἐγκαλλωπίζεται μᾶλλον ἤπερ ἡγεμονίας δόξῃ σεμνύνεται· οὐ γὰρ οἴεται ἄρχειν, εἴποτε μὴ τύχῃ (εἰ καὶ τοῦτο ὅλως δοθείη) εὐεργετήσας, τὸ παλαίφατον ἐκεῖνο συνεχῶς ἀνελίττων τῷ νῷ καὶ τῷ στόματι μελετῶν, σήμερον λέγω οὐ βεβασίλευκα, ἐπείπερ οὐδένα εὐηργέτησα· καὶ οὐχ οὕτως ἄλλος εὖ πάσχων ὡς εὖ ποιῶν ὁ κοινὸς οὗτος εὐεργέτης τοῖς ἀγαθοεργήμασιν ἐπαγγέλλεται, οὕτω διδούς, ὡς αὐτὸς λαμβάνων, καὶ οὕτω θεραπεύων τοὺς ἄλλους, ὡς δι' ἐκείνων θεραπευόμενος. Οὐ γὰρ ὅλως τὴν ἄκραν αὐτοῦ διέλαθε σύνεσιν, ὡς ὁ εὖ ποιῶν, καθὼς τοῖς θείοις πατράσι δοκεῖ, οὐ μᾶλλον εὐεργετεῖ ἢ εὖ πάσχει· πληθύνει τὰ ἑαυτοῦ, οὐχὶ δαπανᾷ, αὔξει τὸν πλοῦτον, οὐχὶ μειοῖ, εὐεργετεῖται οὐχ ἧττον αὐτὸς ἢ εὐεργετεῖ, καὶ ἡγούμενος εὖ πάσχειν πολλαπλάσιον ποιεῖ τὸ διδόμενον, καὶ πλειστηριάζων τὸ τάλαντον εἰς ἑαυτὸν διαβιβάζει τα φυόμενα κέρδη, καὶ ὧν μετὰ Θεοῦ διὰ τῶν πτωχῶν ποιεῖται συναλλαγμάτων, αὐτὸς ἑαυτῷ ὁλόκληρον τὴν ὠφέλειαν ἀνταλλάσσεται καὶ Θεὸν ὀφειλέτην τελευτῶν ἀπεργάζεται, ἀμοιβαῖς ἐπαξίοις καὶ νῦν καὶ εἰσέπειτα ἀντιμετροῦντα τὰς χάριτας.

31. Ἀλλὰ μικροῦ με παρέδραμε τὸ καὶ μᾶλλον τῶν ἄλλων εἰς λόγον θαύματος ἄξιον, ὃ κἂν ἄνθρωποι σιγήσωσι, σιγῶν τὸ πρᾶγμα βοᾷ, ὃν δηλαδὴ ὁ διαβατικώτατος οὗτος καὶ τὰ πάντα διακριτικώτατος νοῦς προσερείδει σπουδαίοις καὶ πεπαιδευμένοις ἀνδράσιν εὐνοϊκὸν ὀφθαλμόν, καὶ ἣν ἀπονέμει ἐκείνοις περιποίησιν καὶ περίθαλψιν, τὸ τῆς παιδείας δήπουθεν χρῆμα δι' ἐκείνων ἀσπαζόμενος καὶ τιμῶν καὶ δαιμονίως τὴν ταύτης ἐπίδοσιν ἐπισπεύδων, ὡς τῆς τοιαύτης ἀρετῆς ἀρχῆθεν ὢν ἐραστὴς καὶ τῶν ἐξ αὐτῆς ἡδέων καρπῶν κατακόρως ἐμφορηθεὶς καὶ ταῖς ἐπ' αὐτῇ συνδιημερεύων μελέταις καὶ τῇ χρήσει ταύτης ἀδιαλείπτως προσκείμενος, μηδόλως τῶν τῆς ἡγεμονίας πολυασχόλων καὶ ἐμμερίμνων περισπασμῶν ἀπαμβλύνειν δυναμένων τὴν ἔμφυτον προθυμίαν. Ὥστε τῷ διαπύρῳ πρὸς αὐτὴν φίλτρῳ οὐδέποτε λήγει ἀντὶ θησαυρῶν τῶν τοῦ Κροίσου (οἶμαι) πολυταλάντων, καίτοι κἂν τούτῳ μηδενὸς ἥττων, πληθώρας ὅσης βιβλίων τῶν παρὰ τοῖς πάλαι ξυγγεγραμμένων σοφοῖς παντοίων τε καὶ πολυειδῶν καὶ μηδὲ εἰς γνῶσιν ἡκόντων τοῖς πολλοῖς τῶν νῦν ὄντων ἀποθήκας ὅλας ἀναπιμπλῶν καὶ Πτολεμαῖον ἐκεῖνον νικᾶν ἐν τούτῳ φιλοτιμούμενος, καθὼς ἁπανταχῇ τὰ τοιαῦτα ὡς ὑπὸ σάλπιγγι διατόροις τοῖς ἁπάντων κηρύσσεται στόμασι, ψυχῆς ἄντικρυς ὄντα εἰκόνι θείᾳ λελαμπρυσμένης καὶ τῷ ἀρχετύπῳ ἀφωμοιωμένης φωτὶ καὶ τὸ ὅλον φάναι θεοειδοῦς καὶ ἴσα Θεῷ μεταξὺ τῶν ἄλλων γνωριζομένης. Θεοῦ γὰρ ἄξιος ἄνθρωπος θεὸς ἂν εἴη ἐν ἀνθρώποις.

32. Ἀλλὰ τὰς μὲν σὰς ἀρετάς, ἡγεμὸν ὑψηλότατε καὶ σοφώτατε, ἀκριβῶς καὶ ἐπὶ μέρους διεξιέναι προθυμεῖσθαι ταὐτὸν ἂν εἴη κοτύλῃ θαλάσσης ὕδωρ ἀντλεῖν καὶ παράλιον ψάμμον ὅλην ἀναμετρεῖν καὶ φθάνειν ἐπιχειρεῖν τὰ ἀνέφικτα· οὐδὲ γὰρ τοῖς λόγον τὸν βίον πάντα πεποιημένοις καὶ τούτοις οὐκ εὐαρίθμοις, μήτοι γὲ δὴ ἐμοὶ ἀμούσῳ τε καὶ ἑνὶ καὶ μηδενὶ μᾶλλον ὄντι, ἐξέσται ὅλως καὶ τοῦ πολλοστοῦ τῶν σῶν ἐφικέσθαι προτερημάτων, ὠκεανοῦ ὅλου εἰς πλοῦν ἀφηγήσεως δεομένων. Ἔνθεν τοι, εἰ καὶ ὁ λόγος ἤδη ὡς ὑπέραντλος γεγονώς, εἰκότως τὰ τῆς διηγήσεως ἱστία χαλάσας καὶ τῷ ὅρμῳ τῆς σιγῆς προσοκείλας, τοῦ κατ' ἀξίαν σκοποῦ λειπόμενος φαίνοιτο· ἀλλ' οὖν γε πρὸς τὴν πρόθεσιν ἀποβλέψας καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν ἐπιστάμενος, εὐαπόδεκτον, ἐγῷμαι, κρινεῖς, ὁ τὰ πάντα εὐμενὴς καὶ εὐπρόσιτος, τὸ εἰς ἀφοσίωσιν προσκυνήσεως δουλικῆς παρ' ἐμοὶ ταπεινῷ γε οἰκέτῃ προσφερόμενον τουτὶ δῶρον, ὅσα καὶ βασιλεῖ ποτε ὕδωρ προσενεχθέν, μὴ ἐνὸν ἑτέρως δωροφορῆσαι, τὸ ἔργον ἀποδεξάμενος. Καὶ εἴη γε τὸ θεοπρόβλητον τῆς ἡγεμονίας σου κράτος ὡς ἐπ' ἀσφαλεῖ πέτρᾳ τῷ αὐθεντικῷ θρόνῳ ἐρηρεισμένον καὶ ἀστεμφῶς ἐγκαθιδρυμένον, ἐῤῥωμένης τε καὶ γαληνιώσης ἐπαπολαῦον μακροβιώσεως καὶ εὐζωΐας, τῆς ἐξ ὕψους θείας χειρὸς συναιρομένης τε καὶ συναντιλαμβανομένης ἐν πᾶσι καὶ πάντοτε ἀκλόνητόν τε καὶ ἀνεπιβούλευτον τῇ ὑμετέρᾳ θεοδοξάστῳ καὶ προσκυνητῇ κορυφῇ σὺν τῷ ἐξ αὐτῆς καὶ περὶ αὐτὴν ἐκλαμπροτάτῳ τῶν οἰκείων χορῷ τὴν τῆς ἡγεμονίας ἀρχὴν συντηρούσης καὶ περιεπούσης εἰς κύκλα περιόδων ἡλίου ἀμύθητα.



www.dacoromanica.ro

www.dacoromanica.ro

Θ΄.

ΙΩΣΗΦ ΠΡΩΗΝ ΒΟΥΛΓΑΡΙΑΣ

# ΣΤΙΧΟΙ ΘΡΗΝΗΤΙΚΟΙ ΕΙΣ ΤΗΝ ΤΕΛΕΥΤΗΝ ΝΙΚΟΛΑΟΥ

ΤΟΥ ΜΑΚΑΡΙΤΟΥ ΚΑΙ ΑΟΙΔΙΜΟΥ ΑΥΘΕΝΤΟΥ ΚΑΙ ΗΓΕΜΟΝΟΣ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ, ΤΟΥ ΕΚ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

---

1731.

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΣΤΙΧΟΙ ΘΡΗΝΗΤΙΚΟΙ

*εἰς τὴν τελευτὴν Νικολάου τοῦ μακαρίτου καὶ ἀοιδίμου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγγροβλαχίας, τοῦ ἐκ Κωνσταντινουπόλεως.*

---

Τίς δώσει μου τῇ κεφαλῇ σὺν κατανύξει δῶρον
καὶ τοῖς βλεφάροις τοῖς ἐμοῖς πηγὴν πολλῶν δακρύων,
καὶ θρηνῳδήσω γοερῶς Νικόλαον τὸν πάνυ,
Οὐγγροβλαχίας τὸν σοφὸν καὶ πολιστὴν αὐθέντην,
τὸν λαοσῶον ὀλβιστήν, ἄριστον ἡγεμόνα
καὶ μέγα ἐν τοῖς καθ' ἡμᾶς φῶς καὶ αὐγὴν ὀφθέντα,
καὶ ἐπὶ χλόην νιφετὸς κ' ἐπ' ἄγρωστιν ὡς ὄμβρος
καὶ μαίευμα λόγων σοφῶν καὶ τῶν μουσῶν ἑστία,
τὸν ὅνπερ πάντα οἴδασι κράτη τῶν βασιλέων
ὡς ἀρετῶν πρὸς μέγα τι βαθέως ἀφιχθέντα
καὶ ἤδη κλῆρον ἀφεγγῆ τὸν τάφον κεκτημένον,
εὐκλείας ἔρημον εὑρὼν πυθμένα; φεῦ, ἀβάλε.
Πάντα τὰ πέρατα τῆς γῆς, στενάξατε εὐτόνως
καὶ κλαύσατε καὶ κόψατε κοπετὸν ἐκ καρδίας,
τὴν ἀπουσίαν τοῦ ἀνδρὸς καὶ τῶν ἀνδρῶν κανόνος.
Ὄρη, βουνοὶ καὶ φάραγγες, ὀλολύξατε μέγα
τὴν δυστυχίαν τοῦ πτωχοῦ γένους τῶν νῦν Ῥωμαίων.
Θηρία ἅπαντα τῆς γῆς, ἰχθύες τῆς θαλάσσης,
στενάξατε, θρηνήσατε Γένους τὴν ὀρφανίαν.
Ἄκουσον, γῆ καὶ οὐρανέ, ἥλιος καὶ σελήνη,
πάντα τὰ ἄστρα καὶ τὸ φῶς καὶ τῶν ὑδάτων φύσις·
τὸν τῆς ψυχῆς μου στεναγμὸν προενωτίσθητέ μοι
καὶ συναλγήσατε πικρῶς καὶ συνθρηνήσατέ μοι.
Ὄντως οὐδὲν καθέστηκε μόνιμον ἐν τῷ βίῳ,
οὐ πλοῦτος, οὐ βασίλειον, κράτος, οὐ δυναστεία·
ὄντως ὁ κόσμος στρέφεται, παράγει δὲ τὸ σχῆμα·
παρέρχονται, μαραίνονται, φεύγουσιν, οὐ κρατοῦνται
ἄνθρωπος, δόξα καὶ τιμή, ἰσχύς, ὑγεία, κάλλος·
τὰ πάντα παραῤῥέουσι, τὰ πάντα ματαιότης,
κόνις καὶ τέφρα καὶ καπνός, ὕθλος, σκιὰ καὶ ὄναρ.
Ἰδοὺ γὰρ ὁ τετράκουστος Νικόλαος, ὁ κράτωρ
Οὐγγροβλαχίας ὁ πολύς, τὸν βίον ἀπολείπει

www.dacoromanica.ro

καὶ λίθον κάλυμμα σιγῆς ἐν Βακαρέστοις ἔχει·
ὥσπερ ἀστὴρ ἡμεραυγὴς ὑπὸ τὴν γῆν ἐκρύβη,
καὶ διαβὰς ὡς ἄνθρωπος τὴν ἅλμην τὴν τοῦ βίου,
τὴν ματαιότητα τῆς γῆς λιπών, εἰς πόλον ἤρθη
τῆς πρωτοπόλεως βλαστὸς καὶ 'Αλεξάνδρου γόνος
ἐξ ἀποῤῥήτων τοῦ ποτὲ τῆσδε τῆς βασιλείας·
ὄντως σοφίας θησαυρός, θείων Γραφῶν τὸ στόμα
καὶ γλῶσσα, νοῦς ὁ καθαρός, θεολογίας τόμος,
ἀνὴρ χρηστός, ἐπιεικής, κῆπος πολλῶν χαρίτων
καὶ ἡγεμόσι πρὸ αὐτοῦ ἥλιος ἄλλος μέγας.
'Αλλ', ὦ Βλαχία πενθηρά, πένθει κοινῇ τὸν ἄνδρα·
καὶ σύ, Μοισία, στέναξε καὶ θρήνους σαυτῇ πλέκε·
σῆς γὰρ εὐκλείας καὶ τιμῆς τὴν φλόγα οὐ σκαλεύει,
καὶ κόσμος ἅπας σου εἰς γῆν καὶ τερπωλὴ ἐκρύβη
καὶ χέρσος ὤφθη αὐθεντῶν καὶ ἡγετῶν σου θρόνος
καὶ ἔγκεντρον ἐνέδωκε Κλωθὼ λημμάτων βάτον.
Σὺ δὲ πῶς τόσους ἠρεμεῖς, Ὅμηρε, χρόνων χρόνους;
δέον δευτέραν γράφειν σε ἐν Δάκαις 'Ιλιάδα
καὶ δυσπραγοῦσαν ἅπασαν δακρύειν τὴν Βλαχίαν,
ἥσπερ τὸ κλέος κέκρυπται ἄγον σιγὴν βαθεῖαν.
'Αλλὰ δεῦτε, φιλάδελφοι, δεῦτε, συναρχιθῦται,
δεῦτ', ἔξοχαὶ πατριαρχῶν, βάθραι, τὸ φῶς τοῦ κόσμου·
δεῦτε, πιστοὶ φιλόθεοι, κάλλιστοι φίλοι πάντες,
συνελατῆρες ἀδελφοί, γνωστοί, συνήθεις, ξένοι,
οἱ ταῖς ὀπαῖς ταῖς ὀρειναῖς οἰκοῦντες ἀπροΐτως,
οἱ ἡσυχίας ἐρασταὶ τῆς θεοπεφιλημμένης,
οἱ μαρτυροῦντες ὡς ἀεὶ ἐκ Θεοῦ θελημάτων,
νέοι ὁμοῦ καὶ γέροντες καὶ συνηλικιῶται·
δεῦτε, δεῦτε, συνάχθητε, ὅσοι Χριστὸν μιμεῖσθε·
τὴν τῆς ἀγάπης ἐντολὴν πληρώσατε προθύμως·
ἐπαγρυπνήσατε μικρόν, εἰς προσευχὴν σταθέντες,
κ' ἐκδυσωπήσωμεν Χριστόν, Θεὸν τὸν τῶν πνευμάτων,
ὑπὲρ οὗ πρόκειται ἡμῖν ὁ λόγος Νικολάου,
ἀδιαστρόφου καὶ ὀρθοῦ δούλου, πιστοῦ καὶ λάτρου
τοῦ παντοκράτορος Θεοῦ, Τριάδος τῆς ἁγίας,
τὸ χρέος δόντος τὸ κοινὸν ἐν εὐσεβείᾳ πλείστῃ,
τὸν νήγρετον καὶ ἔσχατον ὕπνον καταδαρθέντος
καὶ τὸν τοῦ σώματος πηλὸν εἰς γῆν ἀποθεμένου,
παραδιδόντος χοῦν χοΐ, τὸ πνεῦμα τῷ Κυρίῳ·
ᾧ λάτρης εὐδιάγνωστος καὶ δοῦλος ἦν ἐκ βρέφους
καὶ δένδρον θεοφύτευτον, ἄλσος χρηστοτροπίας,
ἔτεσι πεντεκαίδεκα τοὺς Βλάχους διϊθύνας,
ὡσαύτως τε καὶ πρότερον πέντε τοὺς Μολδαβίους,
βιώσαντος ἐπὶ τῆς γῆς χρόνους ἑξήκοντά που,
παραλιπόντος τὸν υἱὸν διάδοχον τοῦ θρόνου,
πατρῴζοντα τὴν ἀρετήν, κύριον Κωνσταντῖνον,
τὸν αὐξηθέντα βαθμηδὸν πήχει ἡγεμονίας
καὶ στίλβοντα ταῖς χάρισι τῆς ἔνδον εὐπρεπείας,
μεμουσωμένον ἔκτοπα, ὡς εἶναι ἀριστίνδην

www.dacoromanica.ro

καὶ οὐ πλουτίνδην (ὥς φασιν), ἀλλ' ἄξιον τῆς δόξης.
Ἄρχει δὲ ἤδη ἐν Χριστῷ, ᾧ ζῶμεν καὶ πλουτοῦμεν,
ἐν ᾧ καὶ πάντες θησαυροὶ σοφίας τῆς ἀῤῥήτου,
τὸ ἐκμαγεῖον τοῦ πατρός, ὁ ἥρως Κωνσταντῖνος,
ὁ ἔντιμος παρὰ Θεοῦ καὶ παρ' ἀνθρώποις μέγας,
καὶ ἀμφοτέρας εὐκοσμεῖ τετράκις τὰς καθέδρας,
Οὐγγροβλαχίας κοίρανος καὶ Μολδαβίας κράντωρ
ἅπαξ καὶ δὶς ὡς ἥλιος θεόθεν ἀπαστράψας·
καὶ μάλιστα οἷον εἰπεῖν Θεὸς ὁ πάντων ἄναξ,
ἐξ οὗ, δι' οὗ πᾶν γέγονεν, ἐν ᾧ καὶ πάντα μένει,
προέβαλεν, ἀνέδειξεν, ἀνέθηκεν ὡς λύχνον,
ὡς πόλιν, ὡς ἀκρόπολιν ἄμφω ταῖς αὐθεντίαις
ἀναβιβάσας τὴν αὐτοῦ στεφηφοροῦσαν κάραν,
μέγαν πυρσὸν ὡς ἄσβεστον, λιμένα πάσῃ ζάλῃ,
φρούριον, καταφύγιον θείων καταγωγίων,
πτωχῶν χηρῶν διορθωτήν, λύτρον αἰχμαλωσίας,
εὔλυτον κόσμον δεξιόν, ἀνώδυνον ἐν πᾶσιν,
ἄφθονον θεῖον θησαυρόν, πλούτων χαρίτων χύσιν,
χρηστότατον, ἐπιεικῆ, καρπὸν ἀγάπης ὄντως,
φωστῆρα ἀπερίσπαστον, νέφος ὑλώδους δίχα·
ὃν εὐλογήσοι ὁ Θεός, ἡ βρύσις τῆς εἰρήνης,
τὸ πέλαγος τὸ ἄπειρον τῆς θείας εὐσπλαγχνίας,
τῶν οἰκτιρμῶν ἡ θάλασσα, τὸ τῆς σοφίας βάθος,
τὰς τῆς καρδίας ἀκοὰς πάντοτε διανοίγων
καὶ ὀφθαλμοὺς τῆς ἑαυτοῦ ψυχῆς ἀκουτισθῆναι,
κατανοῆσαί τε τὸν νοῦν καὶ συνιδεῖν τὴν γνῶσιν,
γνήσιον δείξας πληρωτὴν τῶν λόγων καὶ τῶν νόμων
τοῦ παναγάθου καὶ σεπτοῦ καὶ παντελοῦς καὶ θείου
θελήματος Θεοῦ, πατρὸς τῶν ὅλων καὶ δεσπότου,
καταφωτίζων ὡς Θεὸς τὸν νοῦν καὶ τὴν καρδίαν,
βραβεύων αὐτῷ σύνεσιν καὶ γνῶσιν καὶ σοφίαν,
καὶ μετὰ ταῦτα εὕροιτο τὴν ἄνω βασιλείαν.
Δεῦτε οὖν, πᾶν τὸ πλήρωμα τῆς εὐσεβείας, πάντες
ἀρχιερεῖς καὶ ἱερεῖς, λαοὶ φυλαὶ καὶ γλῶσσαι,
οἱ τοῦ Ἀδὰμ ἀπόγονοι, προκύψωμεν ἐν τάφοις
καὶ ἴδωμεν μυστήριον τὸ φοβερὸν καὶ μέγα,
ὁ κατ' εἰκόνα τοῦ Θεοῦ πλαστουργηθεὶς ἐν δόξῃ,
ὁ τῶν ἀγγέλων κοινωνὸς καὶ τῶν μεγάλων μύστης,
ὁ λίαν εὐπρεπέστατος, ὡραῖος ἐν τῷ κάλλει,
πῶς οὗτος πρόκειται βορὰ σκωλήκων καὶ σαπρίᾳ
τῷ σκότει δαπανώμενος, ὅλος ἐκλελυμένος·
καὶ γνῶμεν ὅτι λύεται πανήγυρις τοῦ βίου,
ἡ πονηρὰ καὶ χαμερπής, ἐλπὶς ἡ τῶν ἀνθρώπων.
Σήμερον γὰρ ἡ μοχθηρὰ πανήγυρις τοῦ βίου
καὶ πάσης ματαιότητος εἰς τέλος ἠφανίσθη·
ὡσεὶ καπνὸς ἐξέλιπε καὶ ὡς ὄναρ παρῆλθεν,
ὡς ἄνθος (φεῦ) ἐξέπεσε καὶ χόρτος ἐξηράνθη.
Σήμερον πᾶσα γήϊνος ἐλπὶς ἅμα καὶ δόξα
ὡς πλάνη ἀποσβέννυται καὶ εἰς τέλος ἐκλείπει·

www.dacoromanica.ro

τὸ πνεῦμα γὰρ ἐξέλιπεν ἐκ τοῦδε τοῦ σαρκίου·
ὁ πηλὸς μεμελάνωται, τὸ σκεῦος διεῤῥάγη·
νεκρὸς γὰρ ἀναίσθητος καὶ ἄλαλος ὁρᾶται
ὁ πρὸ μικροῦ ζῶν καὶ λαλῶν καὶ χαίρων ἐν τῷ βίῳ·
φίλτρον ψυχῆς καὶ σώματος διέστη ἀπ' ἀλλήλων·
μορφὴ δὲ ἀφανίζεται καὶ ὄψις ἀμαυροῦται·
ὦτα μὲν κατακλείονται κ' ἐμφράττεται δὲ στόμα,
χεῖρες καὶ πόδες ἅμα δὲ ἐμαράνθησαν ἄφνω.
Ποῦ πλούτου περιφάνεια; ποῦ δόξης εὐκληρία;
ποῦ ἱματίων καλλονή; ποῦ τῶν τριχῶν τερπνότης,
στρωμνῆς ἡ πολυτέλεια, βρωμάτων ποικιλία,
τοῦ κόσμου τὰ χαρίεντα, ἀνθέων εὐκοσμία;
Πάντα παρέδραμεν ἰδού, πάντα καλύπτει λίθος,
πάντα κόνις γεγόνασιν, εἰς τέφραν μετεβλήθη·
οὐδεὶς χωρίζει πλούσιον καὶ πένητ' ἐκ τοῦ τάφου,
οὐδεὶς σοφὸν ἢ ἄσοφον, ἔνδοξον ἄδοξόν τε·
ὁμοῦ γὰρ κεῖνται βασιλεῖς, τοπάρχαι, ἡγεμόνες,
μητροπολῖτ', ἐπίσκοποι, πάπαι καὶ πατριάρχαι,
τῆς Βυζαντίδος ἡ λογάς, Ῥώμης τε καὶ Γαλλίας,
καὶ πάντες ἔνδοξοι τῆς γῆς, κριταί, σοφοί, δυνάσται,
πτωχοί, γυμνοί, ἀπέριττοι, ὁμοῦ πενήτων πλήθη,
ἀσυμπαθῶν μυκτηρισμοί, οἱ ὀρφανοὶ καὶ χῆραι,
ὀστᾶ μόνον ὁρώμενα, κῶλα γεγυμνωμένα.
Ἀκαιροφάνταστος λοιπὸν ὁ μόχθος τῶν ἀνθρώπων,
ἀνύπαρκτος πᾶσα σπουδὴ πάντων τῶν ἐπικούρων·
ἀπατηλότερα καὶ γὰρ ὀνείρων τὰ τοῦ βίου·
ἐξαίφνης γὰρ ὁ πανσθενὴς θάνατος αἴρει πάντας
καὶ φύρδην ἅπαντας ὁμοῦ τίθησι τυμβοχώστους·
ὁ πανδαμάτωρ χρόνος δὲ πάντας βροτοὺς δαμάζει
καὶ τάφῳ συγκαλύπτεται πᾶσα (οἴμοι) λαμπρότης.
Πάντα νῦν τὰ τοῦ σώματος βλέπομεν μέλη ἅμα,
ἀκίνητα τὰ κινητά, ἄπρακτα τὰ πρακτέα,
τῶν ὀφθαλμῶν κατάδυσιν καὶ τῶν χειρῶν τὴν δέσιν,
ποδῶν τὸ ἀνενέργητον, τῆς ἀκοῆς ὡσαύτως,
σιγὴν τῆς γλώσσης τὴν μακράν, τῆς πρὶν εὐλαλευούσης.
Τάφῳ περίκειται σμικρῷ, ἀναισθησία πᾶσι·
βροτῶν γὰρ χρόνος τῆς ζωῆς ταχέως ἐκπληροῦται.
Ὅθεν πρὸ τέλους, πρὸ μικροῦ, κράζω, βοῶ, στενάζω,
συμπρεσβευτὰς παραλαβὼν ὅσους ὁ πόθος τρώσει·
«Δέσποτα κύριε Χριστέ, παμβασιλεῦ οἰκτῖρμον,
μακρόθυμε, πανεύσπλαγχνε, ἡ τοῦ πατρὸς οὐσία·
ὁ πλάστης πλάσμα γεγονὼς ὑπὲρ τοῦ πλάσματός σου,
καὶ κόσμῳ ἥκες, κοσμουργέ, κοσμῶν τὴν ἀκοσμίαν
καὶ κόσμου σου τοῦ σύμπαντος αἴρων τὴν ἁμαρτίαν,
καὶ θεοῤῥύτῳ αἵματι σῷ ἐξηγόρασάς με·
οἰκτείρησόν με δωρεὰν ὡς μόνος ἐλεήμων·
φεῖσαι, συμπάθησον κἀμέ, καθάπερ πρὶν τοὺς ἄλλους,
πόρνην, τελώνην καὶ λῃστήν, ἄσωτον, Σολομῶντα,
τὸν Μανασσῆν σὺν τῷ Δαβίδ, πάντας τοὺς ἀπ' αἰῶνος·

www.dacoromanica.ro

www.dacoromanica.ro



Τὸ στῆθος τύπτω ἐκβοῶν· Ἥμαρτον, ἥμαρτόν σοι·
αὐτοκατάκριτός εἰμι καὶ πρὸ τῆς καταδίκης,
πλήρης ὑπάρχων ῥυπαρῶν ἔργων ἀνιστορήτων,
ἅπερ οὐδείς σοι ἥμαρτεν, ἀφ' οὗ τὸ πᾶν παρῆξας.
Τούτων οὖν λύσιν ἐξαιτῶ τὴν σὴν φιλανθρωπίαν,
ἥντινα, σῶτερ, φυσικῶς, οὐκ ἐπικτήτως φέρεις.
ἀλλ' ἔχεις ὑπεράπειρον τῶν οἰκτιρμῶν τὴν χύσιν.
Πάσας οὖν ἀπαλήλιψον[1] πάσας ἀτασθαλίας,
ἃς εἰργασάμην ἀδεῶς καὶ πρόσω σ' ἀπτοήτως·
ὁ δείξας Πέτρον δάκρυσι στήλην τῆς μετανοίας,
αὐτὸς κἀμοῦ τὰ δάκρυα δέξαι καὶ σῶσον, σῶτερ,
καὶ καθαρίσας, καθαρὲ φύσει, ἐξ ἁμαρτίας,
πασῶν μου τῶν ἀνομιῶν ἐκνίψας μου τὸν σπῖλον,
καὶ δός μοι τὴν ἀπόπλυσιν, φιλάνθρωπ', ἐπιπλέον.
Μετὰ δὲ ταῦτα δέομαι, παρακαλῶ, πρεσβεύω,
ἀντιβολῶ, λιτάζομαι, ἐκλιπαρῶ, βοάω
ἐν κατανύξει μου πολλῇ, ἐν συντριβῇ καρδίας,
πόνῳ καὶ πόθῳ, πίστει τε καὶ ἀσφαλεῖ ἐλπίδι,
καὶ στεναγμοῖς καὶ δάκρυσι γουνάζομαι καὶ κράζω·
Πάτερ, Υἱέ, Παράκλητε, Τριὰς ἁγία μόνη,
ἀκένωτα τὰ ἀγαθὰ εἰς πάντας πάντα ῥέων
καὶ κάλλος πολυέραστον (βαβαὶ) οὐκ ἔχον κόρον·
ὦ φῶς, Τριὰς τὸ τριλαμπές, φύσις ἡ μακαρία,
Τριὰς προσώποις καὶ μονάς, ἀγχίφωτος οὐσία·
ὦ πῦρ τὸ καθαρτήριον, ἁγιασμοῦ ἡ βρύσις,
χρηστότητος ἡ ἄβυσσος, πέλαγος εὐσπλαγχνίας,
συμπαθεστάτῳ ὄμματι ἐπίβλεψον σοῖς οἴκτοις
ἐφ' ὃν σὺ ἔθηκας ἐν γῇ λαοῦ τοῦ σοῦ προστάτην,
δι' οὗ ἐν κόσμῳ, ὥς φησι τὸ συμφυές σου πνεῦμα,
βασιλεῖς βασιλεύουσι, κρατοῦσιν ἡγεμόνες·
αὐτὸς καὶ νῦν, φιλάγαθε, σοῦ ἐν τῇ βασιλείᾳ
μνήσθητι τοῦ ἱκέτου σου, μνήσθητι Νικολάου·
τοῦ ἡγεμόνος, φύλακος τῶν ἀρχικῶν σου νόμων,
καὶ εἴ τι ἐπλημμέλησεν ὡς ἄνθρωπος ἐν κόσμῳ
καὶ παρετράπη ὡς βροτὸς καὶ ἥμαρτέ σοι, σῶτερ,
ἄνες τὰ πάντα τῶν αὐτοῦ ὅσων ἀγνοημάτων,
ὀφλήματα, ἐγκλήματα, τὰ τῶν βροτῶν οἰκεῖα·
καὶ τῆς τραπέζης σου αὐτὸν γεῦσον τῆς ἀθανάτου,
ὥσπερ αὐτὸς ἐχόρτασεν ἀπὸ τῶν ἀγαθῶν σου
πεινώντων σύστημα πολύ, λιμωττόντων, διψώντων,
χηρῶν προστάτης γεγονώς, προνοητὴς ἁπάντων,
ἀρχιερέων, κληρικῶν, ἐγκλείστων, πεπτωκότων,
καὶ πολυόρεκτος λιμὴν τῶν καταποντουμένων·
σεμνείων θείων καὶ ναῶν στήριγμα ἦν καὶ κλέος,
καὶ χεὶρ καὶ ποῦς τῶν ὀρφανῶν (κατὰ τὸ γεγραμμένον),
καὶ ἀγαθὸς καὶ συνετὸς καὶ τρέμων εἰς τὰ θεῖα,
καὶ δοῦλος ἀδιάστροφος τῶν θείων σου κριμάτων,

---

[1]) ἀπαλήλιψον = ἀπάλειψον.

καὶ μεριστὴς ὧν δέδωκας δίκαιος καὶ εὐγνώμων.
Κάλλιστον ἤγειρε ναόν, θείαν σκηνὴν καὶ οἶκον,
καὶ καταγώγιον τερπνὸν καὶ τέγος, δόμον θεῖον
σῇ τῇ θεότητι μιᾷ, ἀνάρχῳ θεαρχίᾳ,
Τριάδι τρισηλίῳ τε, μόνῳ Θεῷ τῶν ὅλων,
πατρὶ τῷ πανάρχῳ τε, Υἱῷ τῷ γεννηθέντι
καὶ παναγίῳ Πνεύματι τῷ προβλητῷ πατρόθεν,
ἐν ᾧ τὸν χοῦν ἀπήτησας ὡς κτίστης ἀπὸ τούτου
καὶ μνήματι κατέκλεισας τὸ γηγενὲς σαρκίον·
τοῦ ἀοιδίμου δούλου σου μνήσθητι Νικολάου
καὶ πλούτισον σῶν ἀγαθῶν τοῦτον τῶν αἰωνίων,
καὶ τῆς χαρᾶς ἀξίωσον πάντων τῶν ἐκλεκτῶν σου·
ἐν χώρᾳ τάξον ζώντων τε καὶ ἐν σκηναῖς δικαίων·
ναί, Ἰησοῦ φιλάνθρωπε, παμβασιλεῦ, παντάναξ,
ὁ συναΐδιος Πατρὶ καὶ Πνεύματι ἁγίῳ,
ὁ παντοκράτωρ, τέλειος Θεὸς ὁ τῶν πνευμάτων.
Τὸ πνεῦμα δὲ ἀνάπαυσον τοῦδε τοῦ σοῦ ἱκέτου
καὶ καταξίωσον τῆς σῆς, Κύριε, βασιλείας
ἐν τῇ μελλούσῃ καὶ φρικτῇ κρίσει σου τῇ δικαίᾳ,
ἀμνημονήσας καὶ αὐτοῦ κἀμοῦ τῶν ἐγκλημάτων
καὶ ὧν τὴν μνήμην ἔχω δὲ ἐν διανοίᾳ πάντων.
Μνήσθητι πάντων, ἀγαθέ· πάντων τὰ γραμματεῖα
σχίσον καὶ διασκόρπισον εἰς χάος τὸ τοῦ Ἅδου,
μεσίτην προσδεχόμενος τὴν ἀγαθότητά σου,
τὴν ἄπειρον χρηστότητα, τὴν ἀνεξικακίαν,
τὴν ἄφατον συμπάθειαν, τὴν ἄκραν εὐσπλαγχνίαν,
καὶ τὴν σὴν χάριν δὸς ἡμῖν πρέσβιν ἐξῃρημένην.
Δέξαι μεσίτην δεύτερον, δευτέραν, ὑπερτάτην,
Μαρίαν τὴν κοσμοπρεπῆ μητροπαρθένων κόρην,
ῥάβδον, τὴν θείαν κλίμακα, τὴν ὄντως Θεοτόκον,
ἄνασσαν τὴν παγκόσμιον, τὸν ἔμψυχόν σου θρόνον,
ἥτις ἀνθρώπους τέθεικεν εἰς θρόνον σου τὸν θεῖον.
Δέξαι μεσίτας, πρεσβευτὰς σοὺς λειτουργούς, παντάναξ,
τὰ Χερουβὶμ καὶ Σεραφίμ, ἀρχὰς καὶ ἐξουσίας
καὶ πάσας τὰς ἐν οὐρανῷ ἀγγελικὰς δυνάμεις,
καὶ ἀσωμάτων τὰς λοιπὰς θείας ταξιαρχίας.
Δέξαι μεσίτην τέταρτον τὸν Πρόδρομόν σου, Λόγε·
καὶ κήρυκας καὶ μύστας σου δέξαι μεσίτας, πρέσβεις,
τῶν ἀποστόλων τὸν χορὸν καὶ προφητῶν τοὺς δήμους,
ἱεραρχῶν τὸ σύστημα καὶ πάντων τῶν ἁγίων
καὶ τὸν μέγαν Νικόλαον ὑπὲρ τοῦ ὁμωνύμου,
μεθ' οὓς κἀμοῦ τὰς προσευχάς, τὰς ἐκ πολλῶν δακρύων.
Κλῖνον τὸ οὖς σου, Κύριε, καὶ συγκατάβηθί μοι,
καὶ σῶσον οὗ προσέλαβες ἦτορ, τοῦ Νικολάου,
τοῦ τετραχῶς εὖ ἄρξαντος, χρηστοῦ θεράποντός σου,
ὡς οἷόν τε φυλάξαντος τὰς θείας ἐντολάς σου,
τὴν ἀνταπόδοσιν πολλὴν αὐτῷ ἐπιβραβεύων,
μισθὸν πολὺν καὶ στέφανον τὸν τῆς δικαιοσύνης·
καὶ ἀγαθῶν τὴν ἄβυσσον, ἃ ὀφθαλμὸς οὐκ οἶδε,

www.dacoromanica.ro

δώρησαι, δός, ἐκδυσωπῶ ὁ εὖ παθὼν ἐκ τούτου.
Κατάταξον, ἀνάπαυσον αὐτὸν ἔνθα ἁγίων
χορεῖαι πρωτοτόκων τε πατριαρχῶν, πατέρων,
μαρτύρων, ὁμολογητῶν καὶ τῶν ἀπὸ αἰῶνος
Πατρὶ Υἱῷ καὶ Πνεύματι, σοὶ εὐαρεστησάντων·
σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς πάντας
τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, πιστῶς καὶ προσκυνοῦντας
νῦν καὶ ἀεὶ καὶ πάντοτε, εἰς πάντας τοὺς αἰῶνας.

---

Ὁ Ἰωσὴφ ὁ πιναρός, ὁ πρώην Βουλγαρίας
τῆς κατὰ τὸν παντάπορον Ἴστρον περιτελούσης
κ' ἄνω Μοισίας κάτω τε πάνυ γειτνιαζούσης,
ἀρχιερέων ἔκτρωμα καὶ μονοτρόπων γέλως,
φιλαδελφείας νικηθεὶς πάθει, πονήσας ταῦτα
γέγραφεν· ἐτραγῴδησεν εἰς τὸ ὄρος τοῦ Ἄθω,
ἐν σκήτῃ τῆς προμήτορος Χριστοῦ ἁγίας Ἄννης,
ἔτει ἑπτακοσιοστῷ τριακοστῷ τε πρώτῳ
χιλιοστῷ ἀπὸ Χριστοῦ, μηνί τε Ἰουλίῳ.

www.dacoromanica.ro

www.dacoromanica.ro

I'.

# ΚΑΙΣΑΡΙΟΥ ΔΑΠΟΝΤΕ

# ΑΠΑΡΙΘΜΗΣΙΣ ΤΩΝ ΟΝΟΜΑΣΤΩΝ ΝΑΩΝ ΚΑΙ ΜΟΝΩΝ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

1710 Νουμὰν-πασᾶς Κιουπρουλῆς.
1711 Παντατζῆ-Μεχμὲτ-πασᾶς β^αν φοράν.
1712 Ἰσοὺφ-πασᾶς.
1712 Γκιουρτζῆ-Σουλεϊμὰν-πασᾶς.
1713 Χότζα Ἰμπραῒμ-πασᾶς.
1713 Τζὶν-Ἀλῆ-πασᾶς ὁ Σεΐτης.
1716 Χαλὶλ-πασᾶς.
1717 Μεχμὲτ-πασᾶς.
1718 Δαμὰτ-Ἰμπραῒμ-πασᾶς.

*Σουλτὰν Μαχμοὺτ τοῦ Μουσταφᾶ χρόνους 24.*

1730 Μεχμὲτ-πασᾶς ἀπὸ σιλικτάρης. Ἔγινεν ἐπανάστασις. Τὸ κούλι ἐζήτησε τὸν βεζίρην Ἰμπραῒμ-πασᾶν καὶ Μεχμὲτ-κεχαγιᾶν. Ὁ βασιλεὺς σουλτὰν Ἀχμὲτ ἔπνιξε καὶ τοὺς δύο καὶ ἔρριψε τὰ σώματά τους ἀπὸ τὸ τεῖχος τοῦ σαραγιοῦ. Τότε τὸ κούλι εἶπεν, ὅτι «Μήτε τὴν βασιλείαν σου δὲν θέλομεν». Καὶ αὐτὸς ἐκατέβη ἀπὸ τὸ βασιλικὸν τάκτι καὶ ἔβαλε τὸν σουλτὰν Μαχμούτην.
1731 Ἰμπραῒμ-πασᾶς καμπακουλάκης.
1731 Τοπὰλ-Ὀσμὰν-πασᾶς.
1732 Ἀλῆ-πασᾶς-Χεκιμζαδές.
1735 Ἐμὶν-Μεχμὲτ-πασᾶς ἀπὸ σιλικτάρης.
1737 Γεγὲν-Ἀχμὲτ-πασᾶς.
1739 Ἐδλιᾶ-Μεχμὲτ-πασᾶς.
1740 Γεγὲν-Μεχμὲτ-πασᾶς.
1741 Ἀχμὲτ-πασᾶς.
1742 Ἀλῆ-πασᾶς-Χεκιμζαδὲς β^αν φοράν.
1743 Χασὰν-πασᾶς ἀπὸ γενιτζὰρ-ἀγᾶς.
1746 Τεριακῆ-Μεχμὲτ-πασᾶς.
1747 Ἀπτουλὰχ-πασᾶς ἀπὸ ἰμπροχόραγας.
1749 Διβικτὰρ-Μεχμὲτ-πασᾶς.
1751 Τιλκῆ-Μουσταφᾶ-πασᾶς, ὅστις ἔβαλεν εἰς τὸ βασιλικὸν τάκτι τὸν σουλτὰν Ὀσμάνην.

*Σουλτὰν Ὀσμάνης, ἀδελφός του, χρόνους 3.*

1755 Ἀλῆ-πασᾶς Χεκιμζαδὲς γ^ην φοράν.
1755 Ναΐλῆ-Μεχμὲτ-πασᾶς.

www.dacoromanica.ro



1756 Ἀλῆ-πασᾶς ἀπὸ νισαντζῆς.
1756 Σαΐτ-Μεχμὲτ-πασᾶς Ἰγρημισεκὶζ-τζελεμπῆς· τοῦ δὲ ἐξωσθέντος Ἀλῆ-πασᾶ ἀμέσως ἐπῆρε τὴν κεφαλήν του.
1757 Τιλκῆ-Μουσταφᾶ-πασᾶς β$^{αν}$ φοράν.
1757 Ῥαγὶπ-Μεχμὲτ-πασᾶς, ὅστις ἔβαλεν εἰς τὸ βασιλικὸν τάκτι τὸν σουλτὰν Μουσταφᾶ.

*Σουλτὰν Μουσταφᾶς τοῦ Ἀχμὲτ χρόνους 17.*

1763 Χαμζᾶ-πασᾶς, μὲ τὸ νὰ ἐπλήρωσε τὸ κοινὸν χρέος ὁ Ῥαγὶπ-πασᾶς εἰς τὸ πόστι του.
1764 Τιλκῆ-Μουσταφᾶ-πασᾶς γ$^{ην}$ φοράν.
1765 Ἀχμὲτ-πασᾶς Μουχσουνζαδὲς· τὸν δὲ ἐξωσθέντα Μουσταφᾶ-πασᾶ ἔστειλεν εἰς τὴν Μυτιλήνην ἐξόριστον· ὁ δὲ καπιτζῆπασις, ὁποῦ τὸν ἐπῆγεν εἰς τὴν ἐξορίαν, ἀφ᾽ οὗ ἔφθασεν ἐκεῖ, τὸν ἐπῆγε προσταγὴ καὶ ἐπῆρε τὴν κεφαλὴν τοῦ ῥηθέντος Μουσταφᾶ-πασᾶ, καὶ ἐπέστρεψεν εἰς Βασιλεύουσαν.
1768 Χαμζᾶ-πασᾶς, καὶ ἐκηρύχθη πόλεμος κατὰ τῶν Ῥώσσων.
1768 Ἐμὶν-Μεχμὲτ-πασᾶς ἀπὸ νισαντζῆς, ὅστις ἐβγῆκε μὲ τὸ ὀρδὶ-χουμαγιοῦν ἀπὸ Βασιλεύουσαν· ἔφθασε δὲ εἰς Χὰν-τεπεσί, καδιλίκι τῆς Πογδανίας λεγόμενον Ῥεπούγκα. Ὄντας ἐκεῖ ἐπῆγεν ἀπὸ Βασιλεύουσαν ὁ κιουτζιοὺκ-ἰμπροχὸρ-ἀγᾶς καὶ ἐπῆρε τὴν βασιλικὴν βούλλαν, διορίζων καϊμεκάμην τὸν Ἀγᾶ-πασᾶν, γενίτζερ-ἀγασῆ, τὸν δὲ Ἐμὶν-Μεχμὲτ-πασᾶ ἔστειλεν εἰς τὴν ἐξορίαν καὶ εἰς τὸν δρόμον ἐπῆραν τὴν κεφαλήν του.
1768 Ἀλῆ-πασᾶς Μολδοβαντζῆς, ὅστις ὄντας εἰς Χοτῖνι σερασκέρης, ὁ ῥηθεὶς ἰμπροχὸρ-ἀγᾶς τὸν ἐπῆγε τὴν βασιλικὴν βούλλαν.
1769 Χαλὶλ-πασᾶς-Αϊβὰτ-ζαδές.
1770 Ἀχμὲτ-πασᾶς Δανατζῆς.
1772 Ἀχμὲτ-πασᾶς Μουχσουνζαδὲς β$^{αν}$ φοράν· οὗτινος ὄντος μὲ τὸ ὀρδὶ εἰς Σούμλαν, ὁ καϊμεκάμης τῆς Πόλεως Μελὲκ-Μεχμὲτ-πασᾶς ἔβαλεν εἰς τὸ βασιλικὸν τάκτι τὸν σουλτὰν Ἀπτὶλ-Χαμὶτ κατὰ τὸ ,αψοδ$^{ον}$ ἔτος, μὴν Ἰανουάριος. Ἐν τῷ αὐτῷ ἔτει ἔλαβε τέλος καὶ ὁ πόλεμος. Ἐπιστρέφοντος δὲ τοῦ Μουχσουνζαντὲ μὲ τὸ ὀρδὶ εἰς Βασιλεύουσαν, εἰς τὸν δρόμον ἐπλήρωσε τὸ κοινὸν χρέος, καὶ ὁ Ἀγᾶ-πασᾶς ἐπῆγε τὸ σαντζὰκ-σερίφι εἰς Βασιλεύουσαν.

*Σουλτὰν Ἀπτὶλ-Χαμὶτ ἀδελφός του χρόνους 14.*

1774 Ἰζὲτ-Μεχμὲτ-πασᾶς ἀπὸ καϊμεκάμης.
1775 Δερβὶς-Μεχμὲτ-πασᾶς.
1777 Μεχμὲτ-πασᾶς Δερένδερης.
1778 Μεχμὲτ-πασᾶς ἀπὸ γενίτζερ-ἀγᾶς.
1779 Ἐμὶν-Μεχμὲτ-πασᾶς ἀπὸ σιλικτάρης.
1781 Ἰζὲτ-Μεχμὲτ-πασᾶς β$^{αν}$ φοράν, μὲ τὸ νὰ ἐπλήρωσε τὸ κοινὸν χρέος ὁ Ἐμὶν-Μεχμὲτ-πασᾶς εἰς τὸ πόστι του.
1782 Γεγὲν-Μεχμὲτ-πασᾶς.
1782 Χαλὶλ-πασᾶς ἀπὸ κεχαγιάμπεϊς· ὅστις ἐξώσθη καὶ ἐστάλη εἰς Τένεδον ἐξόριστος, ὅπου μετὰ παρέλευσιν μερικῶν ἡμερῶν ἐστάλη καπιτζῆμπασις καὶ ἔκοψε τὴν κεφαλήν του, καὶ τὴν ἔφερεν εἰς Βασιλεύουσαν ἀνήμερα τοῦ Πάσχα ,αψπε΄, Μάρτιος.
1782 Σαχὶν-Ἀλῆ-πασᾶς ἀπὸ Ὀζοῦ-βεζίρης.
1786 Γιουσοὺφ-πασᾶς ἀπὸ Μόρα-βεζίρης. Ἐκηρύχθη δὲ πόλεμος κατὰ Ῥώσσων εἰς τὴν ε$^{ην}$ τοῦ Αὐγούστου ,αψπζ΄, ὅπου ἐβγῆκε ἡ ὑψηλότης του μὲ τὸ ὀρδὶ-χουμαγιοῦν, ἀφήσας καϊμεκάμην εἰς τὴν Πόλιν τὸν Ἀγᾶ-πασᾶ. Μετὰ δὲ τοῦτον ἔγινεν ὁ Μουσταφᾶ-πασᾶς, ὁ τῆς Πεχὰν σουλτάνας σύμβιος.

## ΑΥΘΕΝΤΑΙ ΒΛΑΧΙΑΣ.

1290 Ῥάδουλ βόδας ὁ Μαῦρος πρὸ τοῦ σουλτὰν Ὀτμάνη, πρώτου βασιλέως Τουρκῶν.
1314 Μιχάλ-βοδας, κατὰ τοὺς χρόνους τοῦ ῥηθέντος σουλτάνου.
1333 Δάν-βοδας ἐν τῷ χρόνῳ τοῦ σουλτὰν Ὀρχάνη τοῦ Ὀθμάνη.
1356 Ἀλεξὰν βόδας ἐν τῷ χρόνῳ τοῦ ἰδίου σουλτάνου.
1389 Μίρτζα βόδας ὁ Γέρων, κατὰ τὸ αὐτὸ ἔτος ὁποῦ ἐβασίλευσεν ὁ σουλτὰν Παγιαζὶτ ὁ τοῦ Μουράτ.
1408 Ῥάδουλ βόδας Τζέπες, κατὰ τοὺς χρόνους τοῦ ῥηθέντος.
1423 Βλαδισλὰδ βόδας ἐν τῷ χρόνῳ σουλτὰν Μουράτη υἱοῦ Μεχμέτη.
1445 Ῥάδουλ βόδας ὁ Εὔμορφος, κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ.
1460 Λαϊώτα βόδας Μπασαράμπας, κατὰ τοὺς χρόνους σουλτὰν Μεχμὲτ Φετίχη.
1477 Βλάδουλ βόδας Τζεμπελοὺρ ὁ Γέρων, κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ Φετίχη.
1493 Ῥάδουλ βόδας, κατὰ τοὺς χρόνους σουλτὰν Μπαγιαζίτη τοῦ Μεχμέτ.
1508 Μίχνι βόδας, κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ.
1510 Βλαδούτζα βόδας, υἱὸς Ῥάδουλου καλογέρου, ὁμοίως.
1512 Μπασαράμπα βόδας, κατὰ τὸ αὐτὸ ἔτος τῆς βασιλείας τοῦ σουλτὰν Σελίμη τοῦ Μπαγιαζίτη.
1520 Ῥάδουλ βόδας ὁ καλόγερος, κατὰ τὸ αὐτὸ ἔτος τῆς βασιλείας σουλτὰν τοῦ Κανωνῆ καὶ σουλτὰν Σουλεϊμάνη.
1521 Βλαδισλὰδ βόδας, κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ.
1522 Ῥάδουλ βόδας ἀπὸ Ἀφουμάτζι β$^{αν}$ φοράν, ὁμοίως.
1529 Μωϋσῆ βόδας τοῦ Βλαδισλάδου ὁμοίως.
1530 Βλάδουλ βόδας ὁμοίως.
1533 Βιντὶλ βόδας ἀπὸ Σλάτιναν, ὁμοίως.
1536 Ῥάδουλ βόδας, ὁ Παΐσιος ἡγούμενος τοῦ Ἄρτζες, ὁμοίως.
1546 Μίρτζα βόδας ὁμοίως.
1553 Ῥάδουλ βόδας, ὁ ὀνομασθεὶς Ἠλίας, ὁμοίως.
1553 Μίρτζα βόδας β$^{αν}$ φοράν, ὁμοίως.
1554 Πετράσκο βόδας ὁ Καλός, ὁμοίως.
1558 Μίρτζα βόδας γ$^{ην}$ φοράν, ὁμοίως.
1560 Πέτρο βόδας τοῦ Μίρτζα, ὁμοίως.
1577 Μίχνι βόδας τοῦ Ἀλεξάνδρου, κατὰ τοὺς χρόνους σουλτὰν Μουράτη τοῦ Σελίμη.
1583 Πέτρο βόδας ὁ Τζερτζέλης, υἱὸς Πετράσκου, κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ.
1585 Μίχνι βόδας ὁμοίως.
1599 Στέφαν βόδας ὁ Κωφός, ὁμοίως.
1591 Ἀλεξὰν βόδας ὁμοίως.
1595 Μιχὰλ βόδας ὁ ἀνδρεῖος, υἱὸς Πετράσκου, ὁμοίως.
1601 Σερμπὰν βόδας Μπασαράμπας, κατὰ τοὺς χρόνους σουλτὰν Μεχμέτη τοῦ Μουράτη.
1609 Ῥάδουλ βόδας, υἱὸς Μίχνια, κατὰ τοὺς χρόνους Ἀχμέτη τοῦ Μεχμέτη.
1614 Ἀλεξὰν βόδας, κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ.
1616 Γαβριὴλ βόδας Μογίλας, κατὰ τὸν αὐτὸν χρόνον τῆς βασιλείας σουλτὰν Μουσταφᾶ πρώτου.
1619 Ῥάδουλ βόδας, υἱὸς τοῦ Μιχαήλ, κατὰ τοὺς χρόνους τῆς βασιλείας σουλτὰν Ὀσμάνη τοῦ Ἀχμέτη.
1623 Ἀλεξὰν βόδας, υἱὸς τοῦ Ῥάδουλου, κατὰ τοὺς χρόνους τῆς β$^{ας}$ φορᾶς τῆς βασιλείας τοῦ σουλτὰν Μουσταφᾶ πρώτου.
1628 Ἀλεξὰν βόδας, κατὰ τοὺς χρόνους σουλτὰν Μουράτη τοῦ Ὀσμάνη.
1630 Λέων βόδας τοῦ Στεφάνου Τόμσα, κατὰ τὰς χρόνους τοῦ αὐτοῦ.

www.dacoromanica.ro

1633 Ματαίη βόδας Μπασαράμπας, υἱὸς Διαύτζουλου βορνίκου, ὁμοίως.
1654 Κωνσταντίδοδας Μπασαράμπας υἱὸς Σερμπάνου, κατὰ τοὺς χρόνους σουλτὰν Μεχμέτη τοῦ Ἰμπραΐμη.
1658 Μίχνι βόδας τοῦ Γιαννάκη. κατὰ τοὺς χρόνους τοῦ αὐτοῦ.
1660 Γεώργι βόδας, καπικεχαγιᾶς τοῦ Βασίλδοδα, ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1661 Γρηγόρδοδας τοῦ Γκίκα, ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1665 Ῥάδουλ βόδας ὁ Στριδᾶς, υἱὸς τοῦ Λέοντος βόδα, ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1669 Ἀντὼν βόδας ὁ Γέρων, ὁμοίως.
1672 Γρηγόρδοδας τοῦ Γκίκα β̅ᾱν φοράν, ὁμοίως.
1674 Δούκα βόδας ὁμοίως.
1679 Σερμπὰν βόδας Καντακουζηνός, ὁμοίως.
1689 Κωνσταντίδοδας Πραγκοβᾶνος Μπασαράμπας, ἐπὶ τῶν ἡμερῶν σουλτὰν Σουλεϊμάνη.
1714 Στέφαν βόδας Καντακουζηνός· τὸν δὲ Κωνσταντίδοδα Μπραγκοβᾶνον τὸν ἐπῆγαν εἰς Βασιλεύουσαν. Ἐπῆρεν ἡ βασιλεία τὴν κεφαλήν του καὶ τῶν πεϊζαδέδων του, ἐπὶ ἡμερῶν σουλτὰν Ἀχμέτη.
1716 Νικολάη βόδας Ἀλεξάνδρου Μαυροκορδᾶτος· τὸν δὲ Στέφαν βόδαν Καντακουζηνὸν τὸν ἐπῆγαν εἰς Βασιλεύουσαν. Ἐπῆρεν ἡ βασιλεία τὴν κεφαλήν του ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1717 Ἰωάννης βοεβόδας Ἀλεξάνδρου Μαυροκορδᾶτος, ἀδελφός του, ἀπὸ μέγας δραγουμᾶνος, μὲ τὸ νὰ ἐπῆραν σκλάβον οἱ Νέμτζοι τὸν Νικολάη βόδαν ἀδελφόν του εἰς τὸν πόλεμον. Γενομένης δὲ τῆς εἰρήνης, ἠλευθερώθη καὶ ἐπῆγεν εἰς Βασιλεύουσαν. Ὁμοίως.
1719 Νικόλαος βοεβόδας Ἀλεξάνδρου Μαυροκορδᾶτος β̅ᾱν φοράν, ἐπειδὴ καὶ ὁ ἀδελφός του ἐπλήρωσε τὸ κοινὸν χρέος εἰς Βλαχίαν· ὁμοίως.
1730 Κωνσταντίδοδας υἱός του, μὲ τὸ νὰ ἐπλήρωσε τὰ κοινὸν χρέος ὁ Νικόλαος βόδας, πατέρας του. Ὁ Κωνσταντίδοδας αὐθέντευσεν ἡμέρας 15, μὲ τὸ νὰ ἔγινεν εἰς Βασιλεύουσαν ἐπανάστασις καὶ ἤλλαξεν ὁ βασιλεύς. Ἐπὶ τοῦ αὐτοῦ.
1730 Μιχάλδοδας Ῥακοβίτζας, ἐπὶ σουλτὰν Μαχμούτη τοῦ Μουσταφᾶ.
1731 Κωνσταντίδοδας Νικολάου Μαυροκορδᾶτος β̅ᾱν φοράν, ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1733 Γρηγόρδοδας Γκίκας ἀπὸ Πογδανίας καὶ ὁ Κωνσταντίδοδας Νικολάου Μαυροκορδᾶτος εἰς Πογδανίαν, ἤτοι μετάθεσις αὐτοῦ. Ἐπὶ τοῦ αὐτοῦ.
1735 Κωνσταντίδοδας Νικολάου Μαυροκορδᾶτος γ̅ῑν φορὰν ἀπὸ Πογδανίας, καὶ ὁ Γρηγόρδοδας Γκίκας εἰς Πογδανίαν, ἤτοι μπετζιάϊσι. Ἐπὶ ἡμερῶν αὐτοῦ.
1741 Μιχάλδοδας Ῥακοβίτζας β̅ᾱν φοράν, καὶ ὁ Κωνσταντίδοδας Νικολάου Μαυροκορδᾶτος εἰς Πογδανίαν.
1744 Κωνσταντίδοδας δ̅ῑν φοράν, ἐπὶ τοῦ αὐτοῦ.
1748 Γρηγόρδοδας Γκίκας β̅ᾱν φορὰν ἀπὸ Πογδανίας, καὶ ὁ Κωνσταντίδοδας εἰς Πογδανίαν, ἐπὶ τοῦ αὐτοῦ.
1752 Ματαίη βόδας, ὁ β̅ος, υἱὸς Γρηγορίου Γκίκα, ἀπὸ μέγας δραγουμᾶνος, μὲ τὸ νὰ ἐπλήρωσε τὸ κοινὸν χρέος ὁ πατὴρ αὐτοῦ εἰς Βλαχίαν· ἐπὶ τοῦ αὐτοῦ.
1753 Κωνστατίδοδας Μιχαὴλ Ῥακοβίτζας ἀπὸ Πογδανίας, καὶ ὁ Ματαίη βόδας εἰς Πογδανίαν, ἐπὶ τοῦ αὐτοῦ.
1756 Κωνσταντίδοδας Νικολάου Μαυροκορδᾶτος ε̅ῑν φοράν, καὶ ὁ Κωσταντίδοδας Μιχαὴλ Ῥακοβίτζας εἰς Πογδανίαν. Ἐπὶ τῶν ἡμερῶν σουλτὰν Ὀσμάνη καὶ σουλτὰν Μουσταφᾶ.
1758 Σκαρλὰτ βόδας Γρηγορίου Γκίκας ἀπὸ Πογδανίας, ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1761 Κωνσταντίδοδας Νικολάου Μαυροκορδᾶτος ς̅ῑν φοράν, ἐπὶ ἡμερῶν τοῦ αὐτοῦ.
1763 Κωνσταντίδοδας Μιχαὴλ Ῥακοβίτζας β̅ᾱν φοράν.
1764 Στέφαν βόδας, τρίτος υἱὸς Μιχαὴλ Ῥακοβίτζα, μὲ τὸ νὰ ἐπλήρωσε τὸ κοινὸν χρέος ὁ ἀδελφός του εἰς Βλαχίαν· ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.
1766 Σκαρλὰτ βόδας Γρηγορίου Γκίκας β̅ᾱν φοράν, ἐπὶ τῶν ἡμερῶν τοῦ αὐτοῦ.

www.dacoromanica.ro

1767 'Αλεξὰν βόδας Σκαρλάτου Γκίκας εἰς τὸν πατρικὸν τόπον, μὲ τὸ νὰ ἐπλήρωσε τὸ κοινὸν χρέος ὁ πατὴρ αὐτοῦ.

1769 Γρηγόρβοδας 'Αλεξάνδρου Γκίκας, ἀφ' οὗ ἐκηρύχθη ὁ πόλεμος κατὰ τῶν 'Ρώσσων, καὶ εἰς τὸν χρόνον τὸν ἐπῆραν σκλάβον οἱ 'Ρῶσσοι. 'Επὶ ἡμερῶν (τοῦ) αὐτοῦ.

1770 Μανόλβοδας Τζανῆς ἀπὸ καϊμεκάμης τῆς Κραγιόβας, μὲ τὸ νὰ ἄφησαν οἱ 'Ρῶσσοι τὴν Βλαχίαν. Ἔπειτα πάλιν τὴν ἐπῆραν καὶ ὁ Μανόλβοδας ἔφυγεν εἰς Νικόπολιν καὶ ἐκάθισεν ἐκεῖ ἕως τὸν καιρὸν τῆς εἰρήνης. 'Επὶ τοῦ αὐτοῦ.

1774 'Αλέξανδρος βοεβόδας 'Υψηλάντης ἀπὸ μέγας δραγουμᾶνος, εὐθὺς μετὰ τὴν εἰρήνην, Σεπτεμβρίου ιδ', ἐπὶ ἡμερῶν σουλτὰν 'Απτὶλ-Χαμίτ.

1782 Νικόλαος βοεβόδας Καρατζᾶς ἀπὸ μέγας δραγουμᾶνος, 'Ιανουαρίου ε', ἐπὶ τοῦ αὐτοῦ.

1783 Μιχάλβοδας Σοῦτζος ἀπὸ πρώην μέγας δραγουμᾶνος 'Ιουλίου α'. 'Ομοίως.

1786 Νικόλαος βοεβόδας Μαυρογένης ἀπὸ δραγουμᾶνος τοῦ στόλου, Μαρτίου κε$^{η}$, ἐπὶ τοῦ αὐτοῦ.

## ΑΥΘΕΝΤΑΙ ΜΟΛΔΟΒΙΑΣ.

1352 Δραγοὺς βόδας.

1354 Σάη βόδας.

1358 'Ηλιάσκο βόδας τοῦ Σάη βόδα.

1366 Ἴογδὰν βόδας.

1372 Πέτρο βόδας τοῦ Μουσάτ.

1388 'Ρώμαν βόδας. ἀδελφὸς του.

1391 Στέφαν βόδας.

1398 Πέτρο βόδας τοῦ Στέφαν βόδα.

1399 Γιοῦγα βόδας τοῦ Πέτρου βόδα.

1401 'Αλεξὰν βόδας τοῦ 'Ρωμάνου ὁ Καλός.

1433 'Ηλιάσκο βόδας τοῦ γέροντος 'Αλεξάνδρου.

1445 'Ρώμαν βόδας τοῦ 'Ηλιάσκου.

1446 Πέτρο βόδας τοῦ Στεφάνου.

1451 Στέφαν βόδας.

1452 Ἴογδὰν βόδας.

1454 Πέτρο βόδας ὁ λεγόμενος 'Αρών.

1456 Στέφαν βόδας ὁ Καλός, υἱὸς Ἰογδάνου.

1503 Ἴογδὰν βόδας τοῦ Στεφάνου, ὅστις ἐπροσκύνησε τὴν Ἰογδανίαν εἰς τοὺς 'Οθωμανούς.

1516 Στέφαν βόδας ὁ Νέος τοῦ Ἰογδάνου.

1527 Πέτρο βόδας 'Ράλης τοῦ Στεφάνου.

1538 Στέφαν βόδας ὁ Λακούστας.

1540 'Αλεξάνδοδας ὁ Κορνίας.

1540 Πέτρο βόδας ὁ 'Ράλης.

1546 'Ηλιάσκο βόδας τοῦ Πέτρου.

1554 Στέφαν βόδας τοῦ Πέτρου 'Ράλης.

1557 'Αλεξὰν βόδας Λεπουσνᾶνος.

1562 Δεσπότ βόδας, ὁ 'Ιάκωβος Βασίλειος.

1564 Στέφαν βόδας Τόμπα.

1564 'Αλεξὰν βόδας Λεπουσνᾶνος β$^{αν}$ φοράν.

1569 Ἴογδὰν βόδας τοῦ 'Αλεξάνδρου.

1570 'Ιὼν βόδας ὁ Τύραννος.

1578 Πέτρο βόδας ὁ Κουτζός. υἱὸς Μίρτζα.

1581 Γιάγκουλ βόδας ὁ Σάσος.

1584 Πέτρο βόδας ὁ Τζερτζέλης.

1586 Πέτρο βόδας ὁ Κουτζός.



www.dacoromanica.ro

1591 Ἀρὼν βόδας ὁ Κακός.
1592 Ἀρὼν βόδας $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1594 Ἱερεμία βόδας Μογίλας.
1607 Συμεὼν βόδας Μογίλας.
1609 Κωνσταντίβοδας Μογίλας.
1610 Στέφαν βόδας Τόμπα.
1615 Ἡ δόμνα Ἱερεμία βόδα μὲ τὸν υἱόν της Πόγδανον.
1616 Ῥάδουλ βόδας ὁ Μέγας.
1618 Γαβριὴλ βόδας Μογίλας.
1619 Γάσπαρ βόδας, Ἰταλὸς Φράγκος.
1621 Ἀλεξάνδοδας Ἠλιάσκου.
1622 Στέφαν βόδας τοῦ Τόμπα $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1623 Ῥάδουλ βόδας ὁ Μέγας $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1626 Μωϋσῆ βόδας ὁ Πουρνόσκης.
1631 Ἀλεξὰν βόδας Ἠλιάσκου.
1633 Μυρὼν βόδας ὁ Πουρνόσκης $\overline{\beta}^{\alpha\nu}$ φοράν, καὶ εὐθὺς Μωϋσῆ βόδας.
1633 Μωϋσῆ βόδας.
1634 Βασὶλ βόδας ὁ Ἀλβανίτης.
1654 Στέφαν βόδας Γεώργιος, υἱὸς Δημητράσκου Λογοθέτου.
1658 Γεώργη βόδας Γκίκας, καπικεχαγιᾶς τοῦ Βασὶλ βόδα.
1660 Στέφαν βόδας τοῦ Βασίλη.
1664 Εὐστρὰτ βόδας Ταπίζας.
1666 Δούκα βόδας ὁ Ἀλβανίτης.
1668 Ἠλιάσκο βόδας τοῦ Ἀλεξάνδρου.
1669 Δούκα βόδας $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1673 Στέφαν βόδας Πετροτζέϊκος.
1674 Δημητράσκο βόδας Κανταχουζηνός, Πολίτης.
1676 Ἀντὼν βόδας Ῥωσσέτη, ὁ κυρίτζη Δράγωτας.
1679 Δούκα βόδας $\overline{\gamma}^{\eta\nu}$ φοράν.
1684 Δημητράσκο βόδας Κανταχουζηνὸς $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1685 Κωνσταντίβοδας Καντεμίρης.
1693 Κωνσταντίβοδας Δούκα.
1696 Ἀντιόχη βόδας τοῦ Κωνσταντίνου Καντεμίρη.
1701 Κωνσταντίβοδας τοῦ Δούκα $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1704 Μιχάλβοδας Ῥακοβίτζας ἀπὸ μέγας σπαθάρης.
1705 Ἀντιόχη βόδας Καντεμίρης $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1708 Μιχάλβοδας Ῥακοβίτζας $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1710 Νικόλαος βοεβόδας Ἀλεξάνδρου Μαυροκορδᾶτος ἀπὸ μέγας δραγουμᾶνος.
1711 Δημητράσκο βόδας τοῦ Κωνσταντίβοδα Καντεμίρη, ὅστις ἔφυγεν εἰς Ῥωσσίαν.
1712 Νικόλαος Ἀλεξάνδρου Μαυροκορδᾶτος $\overline{\beta}^{\alpha\nu}$ φοράν.
1716 Μιχάλβοδας Ῥακοβίτζας $\overline{\gamma}^{\eta\nu}$ φοράν.
1729 Γρηγόρβοδας Γκίκας ἀπὸ μέγας δραγουμᾶνος.
1733 Κωνσταντίβοδας Νικολάου Μαυροκορδᾶτος ἀπὸ Βλαχίας, καὶ ὁ Γρηγόρβοδας Γκίκας εἰς Βλαχίαν.
1735 Γρηγόρβοδας Γκίκας $\overline{\beta}^{\alpha\nu}$ φορὰν ἀπὸ Βλαχίας, καὶ ὁ Κωνσταντίβοδας Μαυροκορδᾶτος εἰς Βλαχίαν.
1741 Κωνσταντίβοδας Μαυροκορδᾶτος $\overline{\beta}^{\alpha\nu}$ φορὰν ἀπὸ Βλαχίας.
1743 Ἰωάννης βόδας Μαυροκορδᾶτος, ἀδελφός του.
1747 Γρηγόρβοδας Γκίκας $\overline{\gamma}^{\eta\nu}$ φοράν.

www.dacoromanica.ro

1748 Κωνσταντίβοδας Νικολάου Μαυροκορδάτος γ^ην φοράν ἀπὸ Βλαχίας, καὶ ὁ Γρηγόρβοδας εἰς Βλαχίαν.

1749 Κωνσταντίβοδας Μιχαὴλ Ῥακοβίτζας.

1753 Ματαίη βόδας Γρηγορίου Γκίκας ἀπὸ Βλαχίας, καὶ ὁ Κωνσταντίβοδας Ῥακοβίτζας εἰς Βλαχίαν.

1756 Κωνσταντίβοδας Ῥακοβίτζας β^αν φορὰν ἀπὸ Βλαχίας, καὶ ἐσήκωσε τὸ βακαρῖτον ἀπὸ Πογδανίαν.

1757 Σκαρλὰτ βόδας, πρῶτος υἱὸς Γρηγορίου Γκίκα.

1758 Ἰωάννης βόδας Καλλιμάχης ἀπὸ μέγας δραγουμᾶνος.

1761 Γρηγόρβοδας, υἱὸς Ἰωάννου Καλλιμάχη, τὸν ὁποῖον ὁ ἴδιος πατήρ του ἔβαλεν εἰς τὸν αὐθεντικὸν θρόνον, καὶ μετὰ μερικὰς ἡμέρας ἐκίνησεν εἰς Βασιλεύουσαν.

1764 Γρηγόρβοδας Ἀλεξάνδρου Γκίκα ἀπὸ μέγας δραγουμᾶνος.

1767 Γρηγόρβοδας Ἰωάννου Καλλιμάχη β^αν φοράν, καὶ αψξη^ον ἔτος ἐκηρύχθη ὁ πόλεμος κατὰ τῶν Ῥώσσων. Ἦλθε δὲ τὸ ὀρδΐί-χουμαγιοῦν εἰς Χαν-τεπεσί, καδιλίκι τῆς Πογδανίας ὀνόματι Ῥεμπούγιαν. Τὸ ὕψος του ἐπῆγε νὰ προσκυνήσῃ τὸν ὑπέρτατον ἐπίτροπον. Αὐτὸς τὸν ἐσήκωσεν εἰς φυλακήν, καὶ εὐθὺς τὸν ἔστειλεν εἰς Βασιλεύουσαν, ὅπου αὖθις τὸν ἔβαλον εἰς φυλακήν, καὶ μετ᾽ ὀλίγας ἡμέρας ἔκοψεν ἡ βασιλεία τὴν κεφαλήν του.

1769 Κωνσταντίβοδας Νικολάου Μαυροκορδάτος δ^ην φοράν. Ἐν καιρῷ τοῦ πολέμου τὸν ἐπρόσταξεν ἡ Πόρτα νὰ πηγαίνῃ εἰς τὸ ὀρδΐί. Εὐθὺς οὖν ἐκίνησεν, καὶ φθάσας εἰς Χαν-τεπεσί, ὅπου ἦτον τὸ ὀρδΐί, ὁ ὑπέρτατος ἐπίτροπος τὸν ἐφόρεσε καβάδι διὰ τὸν θρόνον τῆς Πογδανίας, ἔπειτα κούκαν, ἄτι δοναδισμένον, ἐρκιάνι σαμουρόγουναν, καὶ τὸν ἔστειλεν εἰς Πογδανίαν. Τὸν αὐτὸν δὲ χρόνον τὸν ἐπῆραν σκλάβον οἱ Ῥῶσσοι ἀπὸ Γαλάτζι. Τὸν ἔφερον εἰς Γιάσι, εἰς τὴν αὐθεντικὴν κούρτην· ἦτον δὲ ἄῤῥωστος καὶ μετ᾽ ὀλίγας ἡμέρας ἐπλήρωσε τὸ κοινὸν χρέος, ἐνταφιάσαντες αὐτὸν εἰς τὴν μητρόπολιν μὲ παράταξιν μεγάλην.

1774 Γρηγόρβοδας Ἀλεξάνδρου Γκίκας β^αν φοράν. Τὸ ὕψος του ἐν καιρῷ πολέμου ἐπάρθη σκλάβος ἀπὸ τοὺς Ῥώσσους ἀπὸ Βλαχίας καὶ ἐστάλη εἰς Πετρούπολιν. Ἔπειτα ἐφέρθη εἰς Πογδανίαν. Μετὰ δὲ τὴν εἰρήνην τὸν ἦλθεν ἀπὸ τὴν βασιλείαν καβάδι καὶ τὰ λοιπὰ βασιλικὰ ἰλτιφάτια, καὶ τὸν ἐδιώρισεν αὐθέντην Μολδοβίας. Ἐν δὲ τῷ γ^ῳ ἔτει τῆς αὐθεντείας του ἦλθεν ἀπὸ Βασιλεύουσαν καπιτζήπασις ἀγᾶς (ὡς περαστικός). Τὸν ἐκόνευσεν εἰς τὸ πεγιλίκι· ἐπροσποιήθη ὅτι εἶναι ταΐφης καὶ δὲν ἐπῆγεν εἰς τὴν κούρτην. Τὸ ὕψος του εἰς τὴν μίαν ὥραν τῆς νυκτὸς (ὄντας Ῥαμαζάνι) ἐπῆγε διὰ νὰ τὸν ἰδῇ. Ἐβγῆκε δὲ ὁ ἀγᾶς ἔξω καὶ τὸν ὑπεδέχθη, ἔπειτα ἐμβῆκαν εἰς τὸν ὀδᾶ, ὁ αὐθέντης, ὁ ἀγᾶς καὶ μερικοὶ ἄνθρωποί του. Τοὺς ἔκαμεν οὖν σημεῖον ὁ ἀγᾶς καὶ ἐπῆραν τὴν κεφαλὴν τοῦ αὐθέντου καὶ τὴν ἔστειλαν εἰς Βασιλεύουσαν· καὶ χωρὶς νὰ γίνῃ καμμία ταραχὴ ἔστειλεν εἰς τὴν αὐθεντικὴν κούρτην καὶ ἐβούλλωσε, καὶ κατόπιν πρὸς τὴν νύκτα ἐπῆγε καὶ ὁ ἀγᾶς. Συνήχθησαν δὲ εἰς τὴν κούρτην ὁ μητροπολίτης καὶ οἱ ἄρχοντες καὶ ἀνέγνωσεν ὁ ἀγᾶς τὸ φερμάνι τῆς μανζιλίας καὶ ὅτι ἐδιωρίσθη αὐθέντης ὁ μέγας δραγουμᾶνος. Ἐδιώρισε δὲ καϊμεκάμιδες κατὰ τὸν βασιλικὸν ὁρισμὸν καὶ τὰ αὐθεντικὰ γράμματα.

1777 Κωνσταντῖνος βοεβόδας Δημητρίου Μουρούζης ἀπὸ μέγας δραγουμᾶνος, Ὀκτωβρίου ιθ'.

1782 Ἀλέξανδρος βοεβόδας, υἱὸς τοῦ Κωνσταντίβοδα Μαυροκορδάτου, Μαΐου κε'.

1786 Ἀλέξανδρος βοεβόδας Μαυροκορδάτος, υἱὸς τοῦ Ἰωάννου βοεβόδα Μαυροκορδάτου, ἀπὸ μέγας δραγουμᾶνος.

1787 Ἀλέξανδρος βοεβόδας Ὑψηλάντης β^αν φοράν.

1788 Μανόλβοδας Γζανῆς β^αν φοράν, Μαΐου ια'.

# ΓΕΝΕΑΛΟΓΙΑ ΦΑΝΑΡΙΩΤΙΚΩΝ ΟΙΚΟΓΕΝΕΙΩΝ

- 1 *Ἀλέξανδρος Μαυροκορδᾶτος καὶ Σκαρλᾶτος*
  - 2 Νικόλαος
    - 4 Σκαρλᾶτος
    - 5 Κωνσταντῖνος
      - 8 Ἀλέξανδρος
      - 9 Ἰωάννης
      - 10 Δημήτριος
        - 16 Κωνσταντῖνος
        - 17 Ἀλέξανδρος
    - 6 Ἰωάννης —•— 11 Ἀλέξανδρος
      - 12 Σκαρλᾶτος
        - 18 Στέφανος
        - 19 Ἀλέξανδρος
        - 20 Κωνσταντῖνος
    - 7 Ἀλέξανδρος
      - 13 Νικόλαος —•— 21 Ἀλέξανδρος
      - 14 Ἱερεμίας
      - 15 Γεώργιος
        - 22 Ἀλέξανδρος
        - 23 Ἰωάννης
        - 24 Κωνσταντῖνος
        - 25 Γρηγόριος
        - 26 Γρηγόριος
  - 3 Ἰωάννης

## Β'.

- 1 *Ἰωάννης Καλλιμάχης*
  - 2 Ἀλέξανδρος
    - 4 Σκαρλᾶτος —•— 6 Ἀλέξανδρος
    - 5 Ἰωάννης
      - 7 Ἀλέξανδρος
      - 8 Γρηγόριος
  - 3 Γρηγόριος

- 1 *Ἀλέξανδρος Ὑψηλάντης* —•— 2 Κωνσταντῖνος —•—
  - 3 Ἀλέξανδρος
  - 4 Δημήτριος
  - 5 Γεώργιος
  - 6 Νικόλαος

## Γ'.

- 1 *Κωνσταντῖνος Μουρούζης*
  - 2 Ἀλέξανδρος
    - 6 Κωνσταντῖνος
      - 12 Ἀλέξανδρος
      - 13 Ἰωάννης
      - 14 Δημήτριος
      - 15 Παναγιώτης
    - 7 Δημήτριος
      - 16 Ἀλέξανδρος
      - 17 Κωνσταντῖνος
    - 8 Νικόλαος
  - 3 Δημήτριος
    - 9 Κωνσταντῖνος
    - 10 Γεώργιος
    - 11 Ἀλέξανδρος
  - 4 Γεώργιος
  - 5 Παναγιώτης

www.dacoromanica.ro

### Δ'.

*1 Κωνσταντῖνος Δράκος Σοῦτζος*
- 2 Ἀλέξανδρος
  - 7 Κωνσταντῖνος
    - 17 Ἀλέξανδρος
    - 18 Δημήτριος
    - 19 Ἰωάννης
  - 8 Γεώργιος
    - 20 Κωνσταντῖνος
    - 21 Ἀλέξανδρος
- 3 Ἰωάννης —•— 9 Κωνσταντῖνος —•— 22 Ἀλέξανδρος
- 4 Νικόλαος
  - 10 Γεώργιος
    - 23 Ἰωάννης
    - 24 Ἀλέξανδρος
  - 11 Ἀλέξανδρος
    - 25 Γρηγόριος
    - 26 Νικόλαος
    - 27 Δημήτριος
    - 28 Γεώργιος
    - 29 Ἰωάννης
    - 30 Σκαρλᾶτος
- 5 Δημήτριος
  - 12 Γρηγόριος —•— 31 Δημήτριος
  - 13 Κωνσταντῖνος
    - 32 Μιχαήλ
    - 33 Δημήτριος
    - 34 Ἀλέξανδρος
    - 35 Παναγιώτης
- 6 Μιχαήλ
  - 14 Ἰωάννης
    - 36 Μακάριος
    - 37 . . . . . .
    - 38 Γρηγόριος
  - 15 Ἀλέξανδρος
    - 39 Γρηγόριος
    - 40 Νικόλαος
  - 16 Γρηγόριος
    - 41 Μιχαήλ
    - 42 Νικόλαος
    - 43 Κωνσταντῖνος
    - 44 Ἰωάννης

### Ε'.

*1 Νικόλαος Μαυρογένης*
- 3 Πέτρος
- 2 Κωνσταντῖνος
- 4 Ἰωσήφ

### ϛ'.

*1 Γεώργιος Χαντζερῆς*
- 2 Νικόλαος
- 3 Δημήτριος
  - 6 Ἀλέξανδρος
  - 7 Γεώργιος
  - 8 Κωνσταντῖνος
- 4 Κωνσταντῖνος
  - 9 Μιχαήλ
  - 10 Ἀλέξανδρος
- 5 Ἀλέξανδρος
  - 11 Γρηγόριος
  - 12 Τηλέμαχος

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΙΓ΄.

# ΜΕΛΕΤΙΟΥ ΠΗΓΑ

## ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΑΙ ΤΟΠΟΤΗΡΗΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΕΠΙΣΤΟΛΑΙ.

**(1597—1598).**

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΜΕΛΕΤΙΟΥ ΠΗΓΑ

## ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΑΙ ΤΟΠΟΤΗΡΗΤΟΥ ΚΩΝ/ΠΟΛΕΩΣ

# ΕΠΙΣΤΟΛΑΙ.

1.

*Νικηφόρῳ τῷ λογιωτάτῳ εἰρήνην.*

† Πολλῶν σε καὶ μεγάλων ἀφαρπάσασα κινδύνων ἡ θεία πρόνοια, οὐκ ἀμέριμνον εἶναί σε βούλεται οὐδ' ἀργόν, ἀλλὰ μεμνημένον τῆς ἐπὶ τοῖς φθάσασι παιδείας ἐπεκτείνεσθαι τοῖς ἀκολουθοῦσι πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, μὴ ἐῶντα (τό γε εἰς αὐτὸν ἧκον) παρευδοκιμεῖν τὴν εὐσέβειαν τοὺς ἀποστατοῦντας· νικᾶν γὰρ ἀδικώτατον τὴν κακοδοξίαν. Νικησάτω, Νικηφόρε, διὰ σοῦ ἡ ἀλήθεια καὶ μηδὲν ὅλως τῶν πατρικῶν δογμάτων σαλευέσθω, ἅπερ Ἀνατολικοί τε καὶ Δυτικοὶ (τοὺς πρόπαλαι λέγω) πατέρες ἐν συνόδοις ταῖς θείῳ κεκροτημέναις πνεύματι παρέδωκαν. Μὴ πρόσεχε τοῖς γλωσσάλγοις τουτοισὶ σχολαστικοῖς, τοῖς παίζουσι τὰ θεῖα ὡς ἐν σκηνῇ· οἳ ταύτην καὶ μόνην κέκτηνται τὴν σπουδήν, λέγειν τι ἀεὶ ταῖς ἑαυτῶν δόξαις καὶ κατὰ τῆς ἀληθείας συνηγοροῦν. Διάλυε αὐτῶν τὰς πλοκὰς τῇ ἁπλότητι τοῦ θείου λόγου· οὐ γὰρ ἐν σοφίᾳ τῇ τῶν ἀνθρώπων τὸ τῆς εὐσεβείας κήρυγμα· ἀλλὰ μὴ ἀπεριμερίμνως, ὡς ἄλλοτέ ποτε, χρώμενος τοῖς πράγμασι προστρίψειας σαυτῷ μομφήν τινα, παρακαλῶ, καὶ σύνες μοι τῇ πατρικῇ νουθεσίᾳ, ἥν σοι πολλάκις κατὰ Θρᾴκην τὸ τῆς ἐμῆς ἀγάπης εἰλικρινὲς προσαγήοχέ ποτε. Αἱ ὀξέες τῶν πραγμάτων ἐπιχειρήσεις μεγάλους ὑφίστανται τοὺς κινδύνους, οὓς φευκτέον τοῖς σωφρονοῦσι πρὸς τὸ τέλος ἀποβλέπουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν (οὐκ ἄπο σκοποῦ ἔφη τῶν ἔξω τις) ἕκαστον τῶν προϋπαρξάντων ὡς τὰ πολλὰ κρίνεται. Ἔρρωσο ἐν Κυρίῳ, τιμιώτατον τέκνον. εᾳ φθίνοντος Γαμηλιῶνος, ͵ζρε' (Ἰαν. 1597). Ἐν Κωνσταντινουπόλει.

2.

*Τοῖς ἁπανταχοῦ.*

† Τῶν δέκα ἐντολῶν τοῦ Κυρίου μία καὶ ἡ ἀπαγορεύουσα μὴ ψευδομαρτυρεῖν, καὶ συντάσσεται ψεύστης τοῖς ἐπιόρκοις ἐν τοῖς ἱεροῖς γράμμασι τῆς νέας Διαθήκης, ἐξ ὧν πᾶς τις δύναται μαθεῖν, οἷόν ἐστι κακὸν τὸ ψεῦσμα, κεκτημένον πατέρα τὸν διάβολον κατὰ τὴν τοῦ Κυρίου ἀπόφασιν. Διὰ τοῦτο καὶ ἡμεῖς δικαίως ἀγανακτήσαντες ἐπὶ τῇ ἔναγχος γενομένῃ συκοφαντίᾳ, τῇ τοῦ διαβόλου συνεύνῳ καὶ μητρὶ τοῦ ψεύδους, φόνων μαιευτρίᾳ ἀδίκων, ὥστε καὶ αὐτοὺς τοὺς ἀρχιτέκτονας τῶν κακῶν παιδευθῆναι τῶν ὁμοίων ἐπιχειρημάτων· φαμὲν οὖν, ὅτι οἱ συγγράψαντες τὰ γράμματα, τὰ ὡς ἀπὸ προσώπου τοῦ λαμπροτάτου πρώην αὐθέντου Ἀλεξάνδρου καὶ τῶν εὐγενεστάτων ἀρχόντων κὺρ Εὐσταθίου καὶ τῶν λοιπῶν, δι' ἃ γράμματα οὐ μικρὸς ἐνέκυψε κίνδυνος τοῖς εἰρημένοις ἀξίοις προσώποις, οἱ οὖν συγγράψαντες καὶ πλάσαντες τὰ νόθα ἐκεῖνα γράμματα ἔστωσαν ἀφωρισμένοι καὶ ἀσυγχώρητοι παρὰ Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, καὶ ἐχέτωσαν τὰς ἀρὰς τῶν τιη θεοφόρων πατέρων. Ἵνα δὲ ἀσφαλέστερον διατεθῶσιν εἰς τὸν μετέπειτα χρόνον οὗτοι, τὸ παρὸν ἐξεχαράχθη, καὶ τὸ ἐπιτίμιον μενέτω ἀκίνητον, ἕως ἂν μετανοήσωσιν οἱ πεπλημμεληκότες. Ἡ δὲ χάρις τοῦ Κυρίου εἴη μεθ' ὑμῶν. ιαᾳ Μαρτίου, ͵ζρε (=1597).



www.dacoromanica.ro

3.

† Τῷ εὐσεβεστάτῳ καὶ λαμπροτάτῳ αὐθέντῃ Μιχαὴλ βοϊβόδᾳ, υἱῷ ἐν Κυρίῳ περιποθήτῳ, χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ <θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ>.

Ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ τὴν σὴν αὐθεντίαν, παρακαλοῦσα ἀδιαλείπτως τὸν Κύριον, ἵνα διαφυλάττῃ τὴν αὐθεντίαν σου ἐν εἰρήνῃ σῶον, ὑγιᾶ, ὑπὸ τὴν σκέπην τῆς θείας χάριτος αὐτοῦ Μιχαήλ, υἱὲ περιπόθητε, ὁ πόθος ὃν ἔχομεν τῆς εἰρήνης καὶ ἀγάπης, ἵνα καὶ οἱ πτωχοὶ μὴ ἔχωσι τοὺς ἀνυποίστους πειρασμοὺς καὶ αἱ χῶραι μὴ λυμαίνωνται καὶ ἀπόλλωνται αἱ ψυχαί, οὗτος ὁ πόθος ἀναγκάζει ἡμᾶς πρεσβεύειν πάντοτε παρὰ τοῖς ἐκλαμπροτάτοις τῶν κρατούντων ἐν τῇ μεγάλῃ ταύτῃ τῇ καθ' ἡμᾶς βασιλείᾳ, καὶ γράφειν καὶ πρὸς τὴν σὴν αὐθεντίαν, ἵνα σπουδάσητε τηρεῖν τὴν ἀγάπην, καθὼς καὶ ἡ αὐλὴ ἡ μεγίστη αὕτη καὶ ὁ πολυχρονισμένος βασιλεὺς ὑπισχνεῖται. Καὶ ἐλπίζω καὶ παρακαλῶ, ἵνα φυλαχθῇ παρὰ ἄμφω τὰ μέρη ἄτρωτος καὶ ἀνεπιβούλευτος· οὕτω γὰρ καὶ ὁ κόσμος οὐκ εἰς ἀπώλειαν περιπεσεῖται καὶ δοξασθήσεται ὁ πανάγαθος Θεός. Ἡ αἰτία, δι' ἣν ἡμεῖς οὐκ ἤλθομεν, ἔστιν ὅτι ὁ ἐκλαμπρότατος στρατοπεδάρχης, ὁ σερδάρης, ἀνέμεινεν ἰδεῖν δεύτερον γράμμα τῆς σῆς αὐθεντίας καὶ εὐθὺς ἀποστεῖλαι ἡμᾶς, καθὼς ἐγράψαμεν καὶ πρότερον· σὺ δὲ μὴ ἀμφίβαλε περὶ τῆς τοῦ κρατίστου βασιλέως πρός σε ἀγάπης· ἀλλὰ μηδὲ ὁ στρατὸς (τὰ φουσᾶτα λέγω, ἅπερ ἤκουσα ὅτι συνήγοντο ἐν τοῖς μέρεσι τοῦ Παρατουνάδου) μή σου ἐμποιήσῃ τῇ ψυχῇ φόβον οὐδένα. Ἐγὼ γὰρ ἠρώτησα πορευθείς, εὐθὺς ὡς τοῦτο ἤκουσα, ὅτι δηλονότι τῇ ἡμέρᾳ τοῦ μεγάλου Γεωργίου, κγ̄ᵢ Ἀπριλίου, ζαούσης βασιλικὸς ἀπεστάλη παρὰ τοῦ αὐθέντου Ἱερεμίου, ἵνα συνάξῃ στρατόν, τουτέστι φουσᾶτα· λοιπὸν ἐπορεύθην πρὸς τὸν λαμπρότατον σερδάρη Σατρετζῆν Μεεμὲτ-μπασᾶ, ἵνα ἴδω, μήπως καὶ σκανδαλισθῇ ἡ ὑπόθεσις τῆς ἀγάπης καὶ εἶπέ μοι, ὅτι «Ἡμεῖς τὴν ἀγάπην, καθὼς ἐτάξαμεν, φυλάττομεν καὶ φυλάξομεν, καὶ μόνον ἐκεῖνοι μὴ ποιείτωσαν πρᾶγμά τι ἄπρεπον· πλὴν ἡ αἰτία, δι' ἣν ἔδωκα ὁρισμὸν περὶ τῶν φουσάτων, ἔστιν αὕτη. Ὁ αὐθέντης ὁ Ἱερεμίας ἀνέφερεν ἡμῖν, ὅτι ὁ κράλης τῆς Ἐρδελίας ἀπειλεῖ τοῦ ἐξῶσαι αὐτόν, καὶ ἐδεήθη βοηθείας, καὶ ἔθηκα θέλημα ἵνα συναχθῶσι φουσᾶτα ἐκεῖ, μόνον δὲ ἵνα ὦσιν ἕτοιμα εἰς βοήθειαν, ἐὰν ὁ κράλης τῆς Ἐρδελίας ἐπηρεάζῃ». Καὶ τοῦτον τὸν λόγον ἔκρινα καὶ φρόνιμον καὶ πιστόν, καὶ ἐθεραπεύθην. Τοῦτο δὲ γράφω τῇ σῇ αὐθεντίᾳ, ἵνα μὴ σκανδαλισθῇς· καλὸν γὰρ καὶ φρόνιμόν ἐστιν, ἵνα ἕκαστος ᾖ ἕτοιμος εἰς φύλαξιν ἑαυτοῦ, οὐκ εἰς βλάβην τοῦ ἑτέρου. Γινώσκετε, ὅτι ὁ πόλεμος οὐκ ἔστιν εὐδοκία Θεοῦ, ἀλλὰ θυμὸς Θεοῦ καὶ ὀργή· ἡ δὲ εἰρήνη ἐστὶν ἡ φίλη τοῦ Θεοῦ, καὶ οἱ φυλάσσοντες αὐτὴν παρὰ Θεοῦ φυλαχθήσονται· οὗ ἡ χάρις καὶ τὸ ἔλεος μετὰ τῆς σῆς αὐθεντίας, υἱὲ ποθεινότατε. Ἀμήν. Μαΐου κγ', ἔτει ͵ζρε' (= 1597). Ἐν Κωνσταντινουπόλει.

4.

† Ἱερεμίᾳ τῷ εὐσεβεστάτῳ καὶ ἐκλαμπροτάτῳ ἡγεμόνι Μολδοβλαχίας, υἱῷ ἐν Κυρίῳ περιποθήτῳ χάριν, ἔλεος καὶ <εἰρήνην> κτλ.

Ἐκ τῶν γραμμάτων τῆς σῆς αὐθεντίας ἐγνώρισα σαφέστατα τὴν ὑπερφυᾶ γνώμην τῆς σῆς λαμπρότητος πρὸς ἡμᾶς, λυπουμένης μὲν ὅτι ἐνεποδίσθημεν τοῦ ἐλθεῖν πρὸς ὑμᾶς, ὡς καὶ ἡμεῖς ἐλυπήθημεν (οἶδεν ὁ Θεός), παρακαλούσης δὲ ἡμᾶς μὴ ἀποκαμεῖν, ἀλλὰ πάλιν γενέσθαι τῆς ὁδοῦ ταύτης. Ἀλλὰ καὶ δι' ὑπερβολὴν ἀγάπης ὑπισχνεῖται ἡ σὴ αὐθεντία παρασχεῖν ἡμῖν βοήθειαν καὶ πλῆθος ἀνδρῶν δορυφορησόντων ἡμᾶς καὶ παραπεμψόντων εἰς τὰ ἐνδότερα μέρη, ὅπου τοῖς ἡμετέροις ἀντεστράτευσεν ὑπερηφάνεια καὶ φθόνος καὶ ἡ πρὸς τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης ὑπέρμετρος φιλοτιμία τοὺς λεγομένους μὲν Ἰησουΐτας, ἀντὶ δὲ τοῦ ἐσταυρωμένου Ἰησοῦ κηρύττοντας τὸν ἐν μαλακοῖς ἠμφιεσμένον πάπαν, τὸν πάσης ἀντεπαιρόμενον ἐξουσίας· τούτου γὰρ δηλωτικαὶ αἱ συλλαβαὶ ἐκεῖναι τῆς ἰσοθείας εἴποιεν ἂν αὐτοί, σαφὲς δὲ ὅτι ἀντιθείας· ἐν αἷς ἐν τοῖς εὐεργετικοῖς διπλώμασι διοριζόμενος ἐπιφέρει τὸ . . . . . . βούλεται γὰρ (καὶ τοῦτο κεφάλαιον ἕν ἐστι τῶν τὴν πρεσβυτέραν Ῥώμην ἀποξενούντων τῆς εὐθείας) ἐξεῖναι αὐτῷ οὐ μόνον ὑπερδογματίζειν, ἀλλὰ καὶ ἀντιδογματίζειν, ὡς ἔοικεν, καὶ αὐτῶν

www.dacoromanica.ro

τῶν ἱερῶν ἀποστόλων, ἤδη δὲ καὶ αὐτοῦ τοῦ σωτῆρος Χριστοῦ. Ἀλλὰ ταῦτα μὲν ἐν ἄλλοις· σοῦ δὲ ἡ λαμπρότης ὑπισχνουμένη ἡμῖν βοήθειάν εἰς τὸ δύνασθαι ἐκεῖσε παραγενέσθαι, ὅπου κατὰ τῆς ἀληθείας τῶν ὀρθοδόξων, φημὶ δὴ τῆς Ἀνατολικῆς Ἐκκλησίας, οἱ ἀπὸ βορρᾶ ἢ καὶ ἑσπερίας ἐξεγερθέντες ἀνηλεῶς παρατάττονται, πολλὴν ἑαυτῇ τὴν πρὸς τὸν Σωτῆρα ἐπισπᾶται παῤῥησίαν· ἐν οἷς ἡμεῖς τῆς εὐσεβείας σε μακαρίζομεν, ζηλωτὴν ἐπιγινώσκοντες τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ὑπερασπιστήν, τοῦ ἀνοθεύτου κηρύγματος, τοῦ ἱεροῦ Εὐαγγελίου. Ὑπὲρ δὴ τούτου ἡμεῖς μὲν τῇ σῇ λαμπρότητι εὐχαριστοῦμεν, παρέξει δέ, εὖ οἶδα, Θεὸς τοὺς ἐπαξίους στεφάνους, ὡς Κωνσταντίνῳ τῷ Μεγάλῳ καὶ τοῖς λοιποῖς τῶν φιλοθέων ἀνδρῶν, τῶν τῆς εὐσεβείας ὑπερμάχων. Ἡμεῖς δὲ ἐν Κωνσταντινουπόλει εἰργόμεθα οὐ μόνον ταῖς τῆς Ἐκκλησίας ἁπάσης παρακλήσεσί τε καὶ δάκρυσιν, ἀλλ' ἤδη καὶ προστάγμασι βασιλικοῖς, μάλιστά γε καὶ μεσιτεύσαντες ὑπὲρ εἰρήνης μεταξὺ τοῦ ὑψηλοτάτου σουλτάνου καὶ τῶν ὑπερφυῶν ἡγεμόνων, τοῦ τε Μιχαὴλ καὶ τῶν λοιπῶν. Τούτου ἕνεκα οὐ δυνάμεθα πρὸς τὴν σὴν λαμπρότητα ἐλθεῖν καὶ εὐλογῆσαι, ὡς αἰτεῖτε, πάντας ὑμᾶς, κἀκεῖθεν ἐκεῖσε πορευθῆναι, ὅπου ὁ πόλεμος ῥιπίζεται, ὅπου συνέδραμεν ἡ δυναστεία τῶν ἀντιφερομένων τῇ Ὀρθοδοξίᾳ καὶ ὅπου οἱ τῆς εὐσεβείας ὑπερασπισταὶ πάνυ ὀλίγοι καὶ ἀσθενεῖς. Ἀλλὰ «τὰ ἀσθενῆ τοῦ κόσμου», φησὶ Παῦλος, «ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς ἰσχυροὺς καταισχύνῃ»[1]. Ὅλοι μὲν τῷ πνεύματι πάρεσμεν καὶ ἡμεῖς τοῖς ἀγῶσιν ἐκείνοις, εἰ καὶ τὰ ποικίλα πάθη καὶ αἱ μεγάλαι τῆς Ἐκκλησίας ἀνάγκαι ὅλους κατέχουσι καὶ συνέχουσιν ἡμᾶς ἐν Κωνσταντινουπόλει ἐρήμους πάσης βοηθείας καὶ μεστοὺς πάσης ἀνάγκης καὶ θλίψεως, πενομένους, ἀστέγους (οὐδὲ γὰρ ἔχομεν οὐδὲ κατάλυμα), πλήρεις χρεῶν, κινδύνων, θλίψεων. Ὁ δὲ Θεὸς ὁ τοὺς οἰκείους διὰ πολλῶν θλίψεων, καθὼς γέγραπται[2], εἰς τὰς αἰωνίους σκηνὰς εἰσάγων, ἐνδυναμώσειε καὶ ἡμᾶς ἐγκαρτερεῖν ταῖς βασάνοις καὶ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ μᾶλλον, ὡς περὶ Μωϋσέως φησὶν ὁ ἀπόστολος[3], ἢ πρόσκαιρον ἔχειν ἀπόλαυσιν· τὰ γὰρ βλεπόμενα, φησὶν ἡ Γραφή, πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. Παρακαλοῦμεν δὲ τὸν Κύριον ἡμέρας τε καὶ νυκτὸς διαφυλάττειν τὴν σὴν αὐθεντίαν ἐν ὑγείᾳ, εὐημερίᾳ, εἰρήνῃ, γαλήνῃ καὶ σωτηρίᾳ ψυχῆς, σκεπομένην τῇ θείᾳ χάριτι. Ἀμήν. Ἐν Κωνσταντινουπόλει, ιδ$^η$ Ἰουνίου, ‚ζρε' (= 1597).

## 5.

### *Μιχαὴλ βοϊβόδα.*

✝ Ἔγραφες ἡμῖν, πῶς ἠδίκησεν τοὺς ἀνθρώπους δὶς ἐν καιρῷ εἰρήνης ὁ μπασᾶς, ὁ εὑρισκόμενος ἐν τοῖς ὁρίοις αὐτοῖς, καὶ ὅτι ἤκουσας ὅτι οἱ Τάρταροι εἶχον περάσαι διὰ τῆς χώρας τῆς σῆς, καὶ ἠξίους ἀναφέρειν ἡμᾶς ταῦτα τῷ ὑψηλοτάτῳ βεζίρῃ Ἰμπραὴμ-πασᾷ. Οὕτως οὖν ἐποιήσαμεν καὶ ἐλυπήθη ὁ ὑψηλότατος βεζίρης· οὐ γάρ ἐστι θέλημα τοῦ πολυχρονημένου μεγάλου αὐθέντου σουλτὰν Μεεμέτ, ἵνα ἀδικῶνται οἱ λαοί· οὐ γὰρ ὡς βασιλεὺς μόνον διοικεῖ τὸν κόσμον τοῦ Θεοῦ, ἀλλὰ καὶ ὡς πατὴρ ἀγαπᾷ τὸν λαόν· καὶ τὸν αὐτὸν τρόπον καὶ ὁ ὑψηλότατος βεζίρης, ὁ ὁποῖος μετὰ τοσαύτης δικαιοσύνης καὶ φιλανθρωπίας κυβερνᾷ τὸν λαὸν τοῦ βασιλέως καὶ ὅλον τὸ βασίλειον, ὅτι ἅπαντες ἡμεῖς ἐσμεν ἐν εἰρήνῃ καὶ εὐχαριστοῦμεν τῷ Θεῷ. Εὐθὺς οὖν ἐπρόσταξεν ὁ ὑψηλότατος βεζίρης, κατὰ τὸ σὸν θέλημα, καὶ εἶναι τὸν μπασᾶν ἐκεῖνον πεπαυμένον τῆς ἀρχῆς καὶ τοὺς Τατάρους μὴ περάσαι διὰ τῶν σῶν ὁρίων· πλὴν ταῦτα ποιήσει μετά τινος τρόπου πρέποντος, καὶ οὕτως ἐλπίζομεν σὺν Θεῷ. Λοιπόν ἐστιν ἵνα καὶ σὺ μένῃς ἐν τῇ ἀγάπῃ καὶ ὑπακοῇ τοῦ πολυχρονημένου βασιλέως καὶ μὴ διὰ τὴν ἀπανθρωπίαν τῶν ὑπηρετῶν τοῦ βασιλέως ἀθετῆσαι τὴν πρὸς τὸν βασιλέα ὑπακοήν, μάλιστα ὅταν ὁ βασιλεὺς οὐκ ἔχει εἴδησιν οὐδὲ θέλημα εἰς τὰ κακά. Γίνωσκε ὅτι ὁ Θεὸς τὴν εἰρήνην ἀγαπᾷ (ὁ γὰρ πόλεμος ὀργὴ Θεοῦ ἐστιν, ἣν οἱ φοβούμενοι τὸν Θεὸν ὀφείλουσι φεύγειν), καὶ

---

[1]) Κορινθ. 1, α', 27.
[2]) Πράξ. ιδ', 22.
[3]) Ἑβρ. ια', 25.

www.dacoromanica.ro

οὕτω παρακαλοῦμεν καὶ σὲ ποιῆσαι καὶ παροτρύνειν καὶ πάντας τοὺς λοιποὺς ποιῆσαι, καθὼς καὶ ἐγράψαμεν ἤδη πρὸ πολλοῦ καὶ πολλάκις, καὶ εὐχαριστοῦμέν σοι ὅτι ὑπήκουσας ἕως νῦν· καὶ ἀξιοῦμεν ἵνα ὑπακούσῃς ἕως τέλους, ἵνα καὶ ἡμεῖς ἔχωμεν εἰρήνην ἐν τῇ σκέπῃ τοῦ πολυχρονημένου βασιλέως καὶ τοῦ ὑψηλοτάτου βεζίρη, ὃς ἡμᾶς ἀγαπᾷ. Ὁ Κύριος μετὰ σοῦ. ε$^{η}$ Αὐγούστου ,ζρε' (= 1597). Ἐν Κωνσταντινουπόλει.

6.

*Τῷ μητροπολίτῃ Οὐγκροβλαχίας Εὐθυμίῳ.*

† Δύο γράμματα ἀπέστειλεν ἡμῖν ἡ ἀρχιερωσύνη σου, τὸ μὲν εὐχαριστοῦσα ἡμῖν, ὅτι ἀποδεχόμενοι τὴν σὴν χειροτονίαν ὡς ἀδελφὸν καὶ συλλειτουργὸν ἡγούμεθα. Καὶ περὶ τούτου ἐκρίναμεν καθὼς ἐγινώσκομεν, λογιζόμενοι καὶ τὴν ἀνάγκην τοῦ καιροῦ· ἐν γὰρ μέσοις τοῖς πολέμοις οὐκ ἦν εὔκολον μηνύειν περὶ χειροτονίας εἰς Κωνσταντινούπολιν, καθὼς ἦν δίκαιον· καὶ περὶ τούτου ἔχομεν γράφειν λαμπρότερον, ὅτε σὺν Θεῷ δεξόμεθα τὰ περὶ τῆς χειροτονίας τῆς σῆς γράμματα. Τὸ ἕτερον γράμμα διελάμβανε περί τινων ἐγκλημάτων τινῶν τῶν αὐτόθι ἀπειθούντων τῇ σῇ ἱερότητι καὶ πολιτευομένων ἀθέσμως, οὓς διὰ γραμμάτων ἀφορίζομεν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ ὁρίζομεν πάντας εἶναι εὐεπηκόους καὶ πειθηνίους τοῖς σοῖς προστάγμασι. Παρακαλοῦμεν δὲ καὶ τὴν σὴν ἀρχιερωσύνην, ἵνα παντοιοτρόπως ἀγωνίζῃ γενέσθαι καὶ λόγῳ καὶ βίῳ φῶς τοῦ κόσμου καὶ ἅλας, καθὼς ἡμῖν ἐνετείλατο ὁ Σωτήρ[1], πάντα πράττων καὶ πάντα λέγων, ὅσα καί σοι σωτηρίαν προξενήσει καὶ τῷ λαῷ τοῦ Θεοῦ· τοῦτο γὰρ ἔργον ἐστὶ τοῦ καλοῦ ποιμένος. Ἀλλὰ καὶ ὁ καιρὸς καὶ αἱ ἡμέραι αἱ χαλεπαὶ ἀπαιτοῦσιν ἐπιμελεστέραν ἀγρυπνίαν, ἵνα ἐν φόβῳ καὶ τρόμῳ ἐργαζώμεθα τὴν ἡμῶν σωτηρίαν κατὰ τὸ παράγγελμα τῆς Γραφῆς. Ταῦτα ποιῶν καὶ Θεὸν ἕξεις βοηθὸν καὶ παρὰ πᾶσιν ἔπαινον καὶ ἡμᾶς εἰς πᾶσάν σου αἴτησιν φιλανθρώπους. Πέμπομέν σοι τὴν ἱερὰν Γραφήν, καίπερ μετὰ πολλῆς δυσχερείας, οὐ μόνον ὅτι δυσκόλως εὑρίσκεται καὶ μετὰ πολλῆς δαπάνης, μάλιστα δὲ καὶ οὕτω διωρθωμένη, ἀλλὰ καὶ διὰ τὴν πονηρίαν τῶν ἡμερῶν τουτωνί. Τὸ δὲ Νομοκάνονον ἐδώκαμεν ἀντιγράφεσθαι, οὐκ ἔχοντες δεύτερον· περιέχει δὲ ὅλους τοὺς κανόνας πασῶν τῶν συνόδων, πλὴν χωρὶς ἐξηγήσεων· ποιήσομεν δὲ καὶ ταύτην τὴν δαπάνην διὰ τὴν σὴν ἀγάπην, καίπερ ὄντες ἐν ἀπορίᾳ πολλῇ.

Γνωρίζομεν τῇ σῇ ἱερότητι, ὅτι ἐν Κωνσταντινουπόλει ἐπωλήθησαν δύο μοναστήρια, ὁ Μέγας Δημήτριος καὶ ἡ Παναγία τοῦ Μπαλίνου εἰς τὴν Ξυλόπορτα· ἠγοράσαμεν δὲ ἡμεῖς αὐτά, ἵνα μὴ εἰσέλθωσιν εἰς χεῖρας τῶν ἀσεβῶν· χρεωστοῦμεν δὲ ἔτι καὶ νῦν τὰ ἄσπρα, καὶ εἰ βούλεται καὶ ἡ ἀρχιερωσύνη σου βοηθῆσαι ἢ εἰς τὸ ἕτερον, ἢ εἰς ἀμφότερα, σόν ἐστι· τὸν μισθὸν οἶδας. Πρὸς δὲ πᾶσι τούτοις φρόντιζε καὶ περὶ τῶν ἀδελφῶν τῶν ἐν τῇ αἰχμαλωσίᾳ ὄντων, καὶ ὑπομίμνησκε καὶ τὸν εὐσεβέστατον αὐθέντην καὶ τοὺς λοιποὺς ἄρχοντας· οὐ γὰρ δυνατὸν ζῆν ἡμᾶς καὶ κρατεῖν τὰς Ἐκκλησίας τοῦ Θεοῦ ἐν μέσῳ τῶν ἀσεβῶν δίχα βοηθείας. Ὁ Κύριος μεθ' ὑμῶν· ς$^{η}$ Αὐγούστου, ,ζρε' (= 1597). Ἐν Κωνσταντινουπόλει.

7.

*Νεκταρίῳ ἀρχιεπισκόπῳ.*

† Τῷ παναγιωτάτῳ ἀρχιεπισκόπῳ τῆς πρώτης Ἰουστινιανῆς Ἀχριδῶν καὶ πάσης Βουλγαρίας, ἐν Κυρίῳ περιποθήτῳ . . . . .

Διὰ τῶν σῶν γραμμάτων τὰ κατὰ τὴν σὴν μαθόντες ἀρχιερωσύνην παρὰ τοῖς ἄνω διατρίβουσιν Δαξίν, ἐχάρημεν τῇ ὑγείᾳ ὑμῶν, λυπούμεθα δὲ τῇ ἀθυμίᾳ· διὸ καὶ παρακαλοῦμεν ὑπομένειν μικρὸν τὰς τοῦ κόσμου τούτου θλίψεις· ἕξομεν γὰρ ἄκρατον τὸν μισθόν. Ἐπιστελοῦμεν δὲ τοῖς αὐτόθι περὶ ὑμῶν, ἃ δεήσειν γνωρίσομεν καὶ ὑμῖν ὠφέλειαν προξενήσειν. Ὁ δὲ Κύριος μεθ' ὑμῶν. Ἰανουαρίου ια'. Ἐν Κωνσταντινουπόλει, ,ζρς' (= 1598).

---

[1]) Ματθ. ε', 13, 14.

www.dacoromanica.ro

8.

*Μιχαὴλ βοϊέόδᾳ.*

† Περὶ τῶν δημοσίων πραγμάτων τῶν κοσμικῶν, ἀγάπης δηλαδὴ καὶ εἰρήνης, τί ἐπράξαμεν μετὰ τοῦ ὑπερφυεστάτου βεζίρη τοῦ Ἰμπραὴμ-πασᾶ, ὅτι τε καθεῖλε τῆς ἀρχῆς τὸν ἐπηρεάξαντά σε πασᾶν καὶ ὅτι οὐκ ἀφήσει τοὺς Σκύθας περᾶσαι διὰ τῶν σῶν ὁρίων, ἐσημηνάμεθα διὰ τῶν γραμμάτων, ἅπερ κομίζει ὁ Ἰωάννης τῇ σῇ λαμπρότητι, καίπερ καὶ τότε βραχέα γράψαντες· καὶ οὐδὲν ἄλλο προσθεῖναι δεῖ παρὰ τοῦτο, ὅτι ἀνάγκη ἐστὶν ἐνδείξασθαι καὶ τὴν σὴν αὐθεντίαν σημεῖον ἀγάπης πρὸς τοὺς κρατοῦντας, πέμπων λόγῳ χαρατζίου ὅ τι ἂν δυνηθῇς· τούτῳ γὰρ τῷ τρόπῳ φεύγει ὁ κόσμος αὐτὸς τὰς Σκυθικὰς αἰχμαλωσίας. Νυνὶ δέ, ἐπειδὴ διὰ τῶν σῶν ἐπιστολῶν παρακαλεῖς ἵνα βοηθήσωμεν τοῖς ὀρθοδόξοις ἀδελφοῖς, τοῖς παρὰ τῶν τῆς πρεσβυτέρας Ῥώμης πολεμουμένοις, ὡς οὐκ ὄφελε, κατὰ Λεχίαν, ἀποκρινόμεθα καὶ περὶ τούτου. Καὶ πρῶτον μὲν εὐχαριστῶ τῷ σωτῆρι Θεῷ, ὅτι ἐνεποίησέ σου τῇ ἱερᾷ ψυχῇ καὶ καρδίᾳ ζῆλον ἱερὸν τῆς δόξης τοῦ σωτῆρος Χριστοῦ· δόξα γὰρ Χριστοῦ ἡ τοῦ ἀληθινοῦ Θεοῦ ἐπίγνωσις, ἡ εὐσέβεια, ἡ ὀρθοδοξία, ἣν παραλυποῦσιν ὅσοι οὐκ ἐμμένουσι τοῖς δόγμασι καὶ παραδόσεσι τῶν ἁγίων πατέρων, καὶ ἱκετεύω τὸν τρισυπόστατον Θεὸν φυλάττειν τὸν τῆς εὐσεβείας τοῦτόν σοι τὸν πυρσόν· ἐκεῖθεν, ἐκ Θεοῦ, τὸ δῶρον, οὐκ ἐξ ἡμῶν. Παύλου φωνή[1]. Πρῶτον οὖν τοῦτο. Δεύτερον παρακαλῶ καὶ τὴν λαμπρότητα καὶ εὐσέβειάν σου ἐπεκτείνεσθαι μᾶλλον ἐν τῷ τῆς ὀρθοδοξίας φρονήματι, στερεουμένην τῇ πίστει· οἶδας γὰρ ὅτι χωρὶς πίστεως (φησὶ Παῦλος) ἀδύνατόν ἐστιν εὐαρεστῆσαι Θεῷ[2]. Ἔστι δὲ πίστις ἡ ἀληθής, ἣν νοθεύουσιν ἀνθρώπων νεωτερισμοὶ καὶ καινοτομίαι· κἂν μοι τὴν σφῶν σοφίαν προβάλωνται, μωρίαν εἶναι παρὰ Θεῷ τὴν τῶν ἀνθρώπων σοφίαν ἀκούσουσι παρὰ Παύλου[3]· κἂν φιλοσοφίαν προτείνωσι, τῶν νεωτερισμῶν καὶ καινοτομιῶν μητέρα, Παῦλος ἐρεῖ τὴν φιλοσοφίαν κενὴν ἀπάτην[4]· οὐ γὰρ ἐν τῇ σοφίᾳ τῶν ἀνθρώπων ἢ φιλοσοφίᾳ τοῦ κόσμου τὸ τῆς εὐσεβείας μυστήριον ἀπεκάλυψεν ἡμῖν ὁ Θεός, ἀλλὰ διὰ τοῦ πνεύματος τοῦ ἁγίου ἐν ταῖς θεοπνεύστοις Γραφαῖς, ἑρμηνευόντων ταύτας τῶν θείων πατέρων, οἳ καὶ παρέδωκαν ἡμῖν ἐν ἑπτὰ συνόδοις ἃ καὶ κατέχομεν καὶ διδάσκομεν. Τρίτον δὲ γνῶθι ὅτι ἃ παρακαλεῖς ἡμᾶς ποιῆσαι, πεποιήκαμεν καὶ πολλάκις καὶ διὰ πολλῶν γραμμάτων, ὧν καί σου τῇ εὐσεβείᾳ πέμπομεν τὰ ἴσα, ἵνα γνῷς πόσην εἰσφέρομεν σπουδήν, πόσον πόνον καὶ μόχθον ὑπὲρ τῆς εὐσεβείας. Ὁ Θεὸς οἶδεν, ὅτι οὐκ ἀρκοῦσιν ἡμῖν οὔτε αἱ ἡμέραι οὔτε αἱ νύκτες, ὥστε πράττειν, λέγειν, γράφειν τὰ κοινῇ συμφέροντα. Ἐμαί εἰσιν αἱ τοῦ λαοῦ παρεκτροπαὶ καὶ κρίσεις καὶ διαφοραὶ πᾶσαι, ἐμοὶ οἱ τῆς Ἐκκλησίας κίνδυνοι, αἱ ἀνάγκαι, αἱ τῶν ἱερῶν ναῶν οἰκοδομαί, αἱ περὶ τῆς ὀρθοδοξίας φροντίδες, ἃς καὶ γράφοντες καὶ λαλοῦντες καὶ τοῖς πόῤῥω καὶ τοῖς ἐγγύς, τοὺς μὲν ἐλέγχομεν, τοὺς δὲ νουθετοῦμεν, τοὺς δὲ διορθοῦμεν, τοῖς δὲ καὶ προφυλακήν τινα πραγματευόμεθα, πυρπολούμενοι (Θεὸς οἶδε) καὶ νοῦν καὶ ψυχὴν καὶ καρδίαν· ἡμέτεραι αἱ τῶν τῆς Ἐκκλησίας χρεῶν ἐπισκοπαί, τῶν πτωχῶν αἱ ἔνδειαι. Καὶ ταῦτα πάντα Θεοῦ χάριτι καὶ βοηθείᾳ πράττομεν, ἢ πράττειν ἐπιχειροῦμεν, ὡς ἂν βέλτιον ἢ γνωρίζομεν, ἢ δυνάμεθα, μόνοι, ἄποροι, ἀσθενεῖς· ἀλλ' οὐδὲ οἱ δυνάμενοι βοηθῆσαι κἂν λόγῳ, κἂν τοῖς ἀπολλυμένοις χρήμασι τὴν ὀφειλομένην παρέχουσι σπουδήν. Ἔχει Θεὸς ἔκδικον ὄμμα· μελήσει τῷ Θεῷ καὶ περὶ ἡμῶν. Ἀντιπαρακαλῶ σου τὴν εὐσέβειαν εὑρεῖν τινα καλῶς πεπαιδευμένον τὰ λατινικὰ καὶ ἑρμηνεῦσαί σοι τὰ πρὸς τὸν αὐτοκράτορα τὸν ἀήττητον Ῥαδοῦλφον, ἵνα ἴδῃς τί γράφω, καὶ πέμψαι ἃ γράφω, ἀλλὰ καὶ διὰ σῶν γραμμάτων ἀξιῶσαι τῶν ἡμῶν ἐπακοῦσαι ἀξιώσεων. Ἔχω δὲ ἔνδον τοῦ γράμματος τοῦ ἑλληνικοῦ τὸ λατινικόν, καὶ λάβε καὶ ἀντίγραφον· ἔπειτα ἐμβαλὼν πάλιν εἰς τὸ ἑλληνικὸν τὸ λατινικὸν πέμψον. Τὰ δὲ λοιπά, ἃ καὶ αὐτοὶ πέμπομεν εἰς Λεχίαν, πέμψον ὡς ἂν γωρίζοις ἁρμόζειν σοι. Καὶ μὴ ἀμέλει καὶ τῶν καθ' ἡμᾶς. Ἐπειδὴ δὲ ἔγραψας, ἵνα καὶ γράφω καὶ τὰ γράμματα πέμψω πρὸς τὴν σὴν εὐσέβειαν δι' ἡμετέρου ἀνθρώπου πιστοῦ

---

[1]) Ἐφεσ. β', 8.
[2]) Ἑβρ. ια', 6.
[3]) Κορ. 1, γ', 19.
[4]) Κολοσ. β', 8.

www.dacoromanica.ro

καὶ ἔσται ὄφελος μέγα καὶ βοήθεια, ἰδοὺ καί σοι ἄνθρωπον πέμπω ἡμέτερον, τὸν τίμιον κῦρ Θεοδωρῆ· οὐκ ἔχω γὰρ ἐκκλησιαστικούς, καὶ μάλιστα διὰ τὴν ἐνεστῶσαν τῶν καιρῶν ταραχήν. Στέλλω δὲ καὶ τὰ γράμματα. Ποίησον ὡς ὑπέρμαχος τῆς εὐσεβείας καὶ ὁ Κύριος ἀποδώσει ἐν ἡμέρᾳ κρίσεως τὸν μισθόν, ὅταν ἀποδώσῃ τὰ κατ' ἀξίαν ἑκάστῳ· οὗ ἡ χάρις μετὰ τῆς σῆς εὐσεβείας καὶ τῶν σῶν. Ἀμήν. Ἐν Κωνσταντινουπόλει, κθῃ Αὐγούστου, ,ζρε' (= 1597).

Τὴν ὑπόθεσιν τοῦ μητροπολίτου πεποιήκαμεν ὡς ἐβούλεσθε· ἔγνωμεν γὰρ φιλανθρωπευθῆναι, μάλιστα τῆς ἀνάγκης ἀπαιτούσης. Τὰ γράμματα, ἅπερ ἐγράψαμεν ἢ γράφομεν τῇ αὐθεντίᾳ σου, γνώριζε, πῶς τὰ μεταγλωττίζομεν τούρκικα καὶ τὰ θεωρεῖ ὁ μπασᾶς καὶ ὁ βασιλεύς, καί τινα τῶν σῶν γραμμάτων. Τὰ ἑκατὸν φλωρία ἔκαμα μίαν πατερίτζα εἰς σὸν μνημόσυνον.

## 9.

*Τῷ ἱερωτάτῳ μητροπολίτῃ Μολδοβλαχίας Γεωργίῳ καὶ συλλειτουργῷ ἐν Κυρίῳ περιποθήτῳ χάριν, ἔλεος καὶ* <*εἰρήνην παρὰ τοῦ σωτῆρος Χριστοῦ*>.

† Γράφεις ἡμῖν περί τινων χαρτίων συγχωρήσεως, καὶ ἰδοὺ πέμπομεν. Τὸν δὲ μανδύαν, ὃν αἰτεῖς, ἵνα μετά τινος τῶν ἀρχιερέων ἐκπέμψωμεν, πέμπομεν· οὐ μετὰ ἀρχιερέως δὲ πέμπομεν, μὴ συγχωροῦντος τοῦτο τοῦ καιροῦ, χαλεποῦ ὄντος. Σὺ δὲ δεξάμενος καὶ μετ' εὐχῆς καὶ εὐλογίας τίμησον τὸ δῶρον, διαφυλάττων τὸν θησαυρὸν τῆς ὀρθοδόξου πίστεως ἄτρωτον. Δύνασαι γάρ, συναιρομένου τοῦ θείου καὶ συνυπουργοῦντος τοῦ εὐσεβεστάτου σου ἀδελφοῦ, τοῦ ἡγεμόνος Μολδαβίας, τὸν λαὸν τοῦ Θεοῦ ποιμαίνων ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, τῇ ὀρθοδοξίᾳ ἐκτρέφων. Ἐπάρκεσον τοῖς δεομένοις, μὴ φείδου φθειρομένων διὰ τὰ αἰώνια. Γίνου πιστὸς οἰκονόμος καὶ τὰς δόξας τὰς προσκαίρους καταφρόνει τοῖς ὀρθοδόξοις πατράσιν ἑπόμενος, ἵνα μετ' αὐτῶν καὶ συγκληρονόμος αὐτοῖς γένῃ τῆς αἰωνίου ζωῆς. Καινοτομίας, μάλιστα τὰς τῆς πρεσβυτέρας Ῥώμης, ἀποσκυβάλιζε· ταράττουσι γὰρ τὰ νάματα τῆς ὀρθοδόξου πίστεως, ἣν οἱ κοσμοῦντες ἔργοις ἀγαθοῖς παρὰ Θεοῦ στεφανωθήσονται· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας καὶ ὃς ὑμᾶς διαφυλάξειεν ἀεὶ εὐημεροῦντας.

Ἐν Κωνσταντινουπόλει, ζ' Σεπτεμβρίου ,ζρς' (= 1597).

## 10.

*Ἱερεμίας αὐθέντῃ Μολδοβλαχίας.*

† Μετὰ τοῦ τιμίου κῦρ Πάνου κόμισο, λαμπρότατε ἡγεμὼν καὶ υἱὲ τῆς ἡμῶν μετριότητος περιπόθητε, καὶ τὴν τῆς σῆς ἀγάπης ἐδεξάμεθα ἐλεημοσύνην ἐν καιρῷ μεγάλης ἀνάγκης, ὅτε περὶ πολλῶν τῆς εὐσεβείας πραγμάτων δαπάνην ποιούμεθα καθ' ἡμέραν πολλήν. Ὁ Κύριος ἑκατονταπλασίονα σοῦ τῇ φιλανθρωπίᾳ παράσχοι καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ὑπὲρ ἧς καὶ παρακαλοῦμεν τὴν σὴν εὐσέβειαν ἀγωνίζεσθαι, μετὰ φόβου καὶ τρόμου ἐργαζόμενος τὴν σαυτοῦ σωτηρίαν. Ἔγραψα τῇ σῇ αὐθεντίᾳ καὶ πάλιν γράφω ἀπέχειν χριστιανῶν αἱμάτων καὶ μηδεμίαν πτοεῖσθαι πτόησιν Θεὸν ἔχων βοηθόν. Οὕτω ποίησον. Ἐπειδὴ δὲ ἀκούω, ὅτι οἱ ὀρθόδοξοι καταδιώκονται ἐν Πολωνίᾳ, ἀγωνίσου πρὸς τὸν λαμπρότατον κράλην διὰ πρεσβειῶν καὶ ἐπιστολῶν, ἵνα τοὺς ὀρθοδόξους ἐάσῃ πολιτεύεσθαι κατὰ τὰ δόγματα καὶ παραδόσεις τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἅπερ ἐσφραγίσαντο οἱ ἅγιοι πατέρες Ἀνατολικοὶ καὶ Δυτικοὶ δι' ἑπτὰ συνόδων οἰκουμενικῶν, οἷς ἀκολουθεῖν ἀσφαλὲς καὶ εὐσεβές· ταῖς γὰρ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης καινοτομίαις ὑπακούειν ἢ ὑπάγεσθαι σφαλερὸν καὶ ὀλέθριον. Πρέσβευσον καὶ περὶ Νικηφόρου· μὴ φανῇς ἀποβαλὼν τὸν Νικηφόρον ἐν καιρῷ πολέμου τῆς κατὰ τῶν ἡμετέρων, φημὶ δὴ τῶν ὀρθοδόξων, ταραχῆς. Τὸν λαμπρότατον ἐλτζῆν τῆς Ἐγγιλτέρας θεράπευσον σπουδαίως· μεγάλα γὰρ δύναται καὶ ὁ καιρός ἐστιν ἄστατος. Ἄκουε τῶν ἐμῶν λόγων· ἐγὼ γάρ σου τὴν αὐθεντίαν ἐν Χριστῷ Ἰησοῦ ἀγαπῶ καὶ συμβουλεύω τὰ συμφέροντα· ἀλλὰ καὶ βοηθῶ ὅπου ἂν τύχῃ ἐν ταῖς ἀκοαῖς τῶν μεγιστάνων τῆς βασιλείας, καὶ βοηθήσω ἀεὶ σὺν Θεῷ, οὗ ἡ χάρις μετὰ τῆς σῆς αὐθεντίας. Ἀμήν.

Ἐν Κωνσταντινουπόλει, ςῃ Αὐγούστου ,ζρς' (= 1598).

www.dacoromanica.ro

11.

*< Γεωργίῳ Μογίλᾳ, μητροπολίτῃ Μολδοβλαχίας >.*

† Τῷ ἱερωτάτῳ μητροπολίτῃ Μολδοβλαχίας κῦρ Γεωργίῳ τῷ Μογίλᾳ, ἀδελφῷ καὶ συλλειτουργῷ ἐν Κυρίῳ περιποθήτῳ, χάριν, ἔλεος καὶ εἰρήνην παρὰ τοῦ σωτῆρος Χριστοῦ.

Εὐχαριστεῖτε ἡμῖν δι' ὧν γράφετε ὑπὲρ τοῦ πνευματικοῦ δώρου, ὅπερ ἐπέμψαμεν τῷ ἱερωτάτῳ θρόνῳ τῆς Μολδοβλαχίας διὰ τὴν πολλὴν ἀγάπην καὶ ὑπερβάλλουσαν εὐλάβειαν τὴν πρὸς Θεὸν τὸν φιλάνθρωπον καὶ πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς τοῦ εὐλαβεστάτου καὶ ὀρθοδοξοτάτου αὐθεντὸς τοῦ ἀδελφοῦ σου, εἰς τιμὴν καὶ τῆς σῆς ἀρχιερωσύνης. Ἡμεῖς δὲ τὴν μὲν εὐχαριστίαν ἀποδεχόμεθα, σπουδάσομεν δὲ καὶ ἐπὶ πλεῖστον κοπιᾶσαι ὑπὲρ τῆς ὑμετέρας ἀγάπης εἰς ὃ ζητεῖ ὁ ἐκλαμπρότατος αὐθέντης καὶ ἡμέτερος υἱός. Ἔχει δὲ σκέψεως χρείαν ἡ ὑπόθεσις, ἵνα τρόπον ἐξεύρωμεν, πῶς συνοδικῶς ψηφήσωμεν ἀρχιεπισκοπὴν τὴν μητρόπολιν· ὁ δὲ μανδύας τέσσαρσι πόλοις κεκοσμημένος, μόνοις πατριάρχαις τῶν ἀποστολικῶν θρόνων τέτακται εἰς κόσμον· οἱ λοιποὶ δὲ τῶν ἀρχιερέων μανδύας φοροῦσι δυσὶ πόλοις σημειωμένους. Ἀλλ' ὁ ὑμέτερος θρόνος ὡς ἤδη εἰς ἀρχιεπισκοπὴν ἐπαναβιβασθείς, τῆς ἀξίας ταύτης ἔχει παρ' ἡμῶν τὰ παράσημα ταῦτα, τόν τε πατριαρχικὸν μανδύαν καὶ βακτηρίαν πατριαρχικήν. Ἐπειδὴ γὰρ ὁ εὐλαβέστατος αὐθέντης οὕτως ὁλοψύχως τῆς ὀρθοδοξίας ὑπερασπίζεται, ἄξιός ἐστι καὶ τῆς κοσμικῆς ἡγεμονίας, ἣν ὁ Κύριος ἐπιβεβαιώσειε ἀδιάλειπτον παισὶ παίδων εἰς τοὺς αἰῶνας, καὶ τὴν ἐκκλησιαστικὴν μεγαλειότητα ἡ πολιτικὴ ἀξία συνεπακολουθοῦσαν ἕξει. Περὶ δὲ ἐμοῦ μὴ κλαίετε τῆς Κωνσταντινουπόλεως τῆς δυστήνου ἀναχωρήσαντος· κλαίετε δὲ σὺν ἐμοὶ ἐπὶ τῷ τῆς Ἐκκλησίας κλύδωνι, καὶ συμπάσχετε τῇ καμνούσῃ μητρὶ διὰ τὴν ἀγάπην τοῦ πεπονθότος ὑπὲρ ἡμῶν· οὕτω γὰρ καὶ σὺν αὐτῷ συνδοξασθήσεσθε ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ. Ἀμήν.

Ἐπιστέλλομεν, ὡς ἠξίωσας, τῷ ὑπερφυεστάτῳ ἀρχιεπισκόπῳ Λεοντοπόλεως λατινιστί, καθὼς καὶ αὐτὸς πρὸς ἡμᾶς ἐπέστειλε· ἐλπίζω δὲ καὶ αὐτὸν βοηθῆσαι μικρὸν τοῖς ἡμετέροις, καίπερ τῆς αὐλῆς ἐκείνης ὄντα, ὅθεν ἐκθρώσκει εἰς τὸν κόσμον τὰ σκάνδαλα· πρέπουσα δέ ἐστιν ἡ ἐπιστολὴ καὶ σοφοῖς καὶ ἐπιεικέσιν ἀνδράσιν. Ὁ Κύριος μεθ' ὑμῶν. γ<sup>η</sup> Νοεμβρίου ζρζ' (= 1598).

12.

*Ἱερεμίᾳ αὐθέντῃ Μολδοβλαχίας.*

† Μετὰ δακρύων ἀνέγνωμεν τὰ γράμματα τῆς σῆς αὐθεντίας διὰ τὴν λύπην ἣν ὑμᾶς ἐλυπήσαμεν, ἀναχωρήσαντες ἀπὸ τῆς Κωνσταντινουπόλεως, καὶ ὅτι μετεμελήθη σου ἡ αὐθεντία κτίσαι ἐκεῖ τὸ Πατριαρχεῖον. Ἀλλὰ μή, λαμπρότατε αὐθέντα καὶ περιπόθητε υἱέ, μὴ παρίδῃς τὰ λείψανα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ διὰ τὰς τινῶν ἀταξίας· μὴ νικώμεθα ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νικῶμεν τὸ κακὸν ἐν τῷ καλῷ, κατὰ τὴν παραγγελίαν τοῦ θείου Παύλου[1]. Ἀνάγκη ἐστί, καθὼς λέγει ὁ Κύριος ἐν Εὐαγγελίοις, ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται[2]. Ὁ σπόρος τοῦ Εὐγγελίου οὐ πίπτει εἰς γῆν ἀγαθὴν ἅπας, ἀλλὰ καὶ εἰς πετρώδη καὶ εἰς ὁδὸν καὶ εἰς τὰς ἀκάνθας, πίπτει δὲ καὶ εἰς γῆν ἀγαθήν[3]· διὰ τοῦτο καὶ ὀλίγοι οἱ σῳζόμενοι[4], ἐν οἷς παρακαλῶ καὶ ὑμᾶς εὑρεθῆναι· εὑρεθήσεσθε δὲ πάντως, ἐὰν τὰ ἐπίγεια ἀγαθὰ ἀναλώσητε εἰς κτῆσιν τῶν αἰωνίων ἀγαθῶν. Περὶ μὲν οὖν ἐμοῦ μὴ λυπεῖσθε, λυπεῖσθε δὲ περὶ τῆς Ἐκκλησίας καὶ ταύτῃ βοηθεῖτε διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ· περὶ δὲ τῆς ἀρχιεπισκοπῆς πρῶτον μὲν χαίρω, ὅτι ἐχειροτονήθη καὶ ἕτερος ἐπίσκοπος, καθὼς ἐβουλόμην· δεύτερον δὲ τὸν μανδύαν τὸν πατριαρχικὸν μετὰ τεσσάρων τυπωμάτων καὶ τεσσάρων ποταμῶν (τῶν γὰρ λοιπῶν ἀρχιερέων δύο ἔχουσιν ἐκτυπώματα οἱ μανδύες) διὰ τοῦτο ἀπεστείλαμεν, εἰς

---

[1]) Ῥωμ. ιβ', 21.

[2]) Πρβλ. Ματθ. ιη', 7.

[3]) Πρβλ. Λουκ. η', 11—15.

[4]) Πρβλ. Λουκ. ιγ', 23, 24.

www.dacoromanica.ro

τὸ εἶναι σημεῖον καὶ σύμβολον τῆς ὑπεροχῆς τῆς τιμῆς, ἣν ζητεῖ ἡ αὐθεντία σου τῇ μητροπόλει· ἣν καὶ τελειώσομεν σὺν Θεῷ διὰ τὴν σὴν εὐλάβειαν καὶ τὸν θεῖον ζῆλον· ἀνάγκη δὲ σύνοδον γενέσθαι καὶ περὶ τούτου σκεψόμεθα, πῶς προσκαλέσωμεν τοὺς λοιποὺς παναγιωτάτους πατριάρχας. Ἔστι δὲ χρεία καὶ κόπου πολλοῦ καὶ χρόνου μακροῦ καὶ δαπάνης οὐ σμικρᾶς, ἵνα πάντες συναχθέντες εἰς Αἴγυπτον ἐπὶ προφάσει μὲν ἑτέρων ὑποθέσεων, διὰ τὸν φόβον τῶν ἔξω, κατὰ δὲ ἀλήθειαν εἰς τὸ βεβαιῶσαι τὴν ὑμετέραν ἐπιθυμίαν καὶ τὸ ἡμέτερον χάρισμα, ὥστε εἶναι ἀρχιεπισκοπὴν τὴν ὑμετέραν μητρόπολιν διὰ τὴν ἀγάπην τῆς αὐθεντίας καὶ εὐλάβειαν τοῦ ὀρθοδόξου σου λαοῦ Καὶ περὶ τούτου μηνύσατε ἡμῖν τὴν ὑμετέραν γνώμην· ἡμεῖς γὰρ δυνάμεθα καὶ μόνοι τὴν εὐεργεσίαν ταύτην ποιῆσαι καὶ μελετήσομεν περὶ τούτου, ἕως ἂν ἔλθωσι καὶ τὰ ὑμέτερα γράμματα. Πέμπομεν δὲ τὸ ἅγιον μύρον τῇ σῇ αὐθεντίᾳ καὶ πολυπλασιασάτω ὁ ἱερώτατος μητροπολίτης· πέμπομεν δὲ διὰ τοῦ ἡμετέρου πρωτοσυγκέλλου καὶ πνευματικοῦ παπᾶ κὺρ Μαξίμου καὶ τῆς συνοδίας αὐτοῦ. Ταῖς κυρίαις δόμναις, τῇ τε μητρὶ καὶ συζύγῳ, τῷ τε αὐθέντῃ κυρίῳ Κωνσταντίνῳ τῷ εὐσεβεστάτῳ, εὐχόμεθα καὶ εὐλογοῦμεν (μάρτυς κύριος ὁ Θεὸς) ἀδιαλείπτως· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ πάντων ὑμῶν. Ἀμήν.

Ἐν Ἀλεξανδρείᾳ. ,ζρζ' (= 1598). Νοεμβρίου ζ'.

---

www.dacoromanica.ro

# ΙΔ.

# ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΩΝ.



www.dacoromanica.ro

www.dacoromanica.ro

# ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΩΝ

ἔχουσαι καὶ σχέσιν τινὰ πρὸς τὴν ἱστορίαν τῶν ἑλληνικῶν γραμμάτων ἐν Ῥουμανίᾳ.

## Α'.

## ΓΕΡΜΑΝΟΥ ΑΙΤΩΛΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΝΥΣΣΗΣ.

### 1.

*Τῷ λογιωτάτῳ ἐν ἱερομονάχοις κυρίῳ Κυρίλλῳ χαίρειν.*

Πρότριτα ἐπεμψάμην ἐπιστολὴν τῇ σῇ λογιότητι μετὰ καὶ τῶν ζητημάτων ἐπιλύσεων παρενείρας καὶ ἄλλα τινά, δι' ὧν τὴν πρὸς ἡμᾶς σου ἀνέστελλον ὁρμήν, εἰδὼς ἅτε προφήτης ἐμπειρικὸς τὰ μετ' ὀλίγον ἐσόμενα. Καὶ δὴ ταῦθ' ἐκβεβηκότα ἀψευδῶς ἀπείργω σου τελείως τὴν ὁδόν. Τρεῖς τινες τῶν πρώτων τῆς σχολῆς μαθητῶν, ἀγνωμονέστεροι καὶ τοῦ προδότου καὶ τῶν Ἑβραίων ἀχαριστότεροι, ζῆλον καθ' Ἡσίοδον ἔχοντες πρὸς τέταρτον δευτέρας Ἔριδος, ἣν ἀπέτεκε Χάος καὶ Νὺξ ἐρεβεννή, φθονοῦντες τῷ νεανίᾳ τῆς ἀγχινοίας, ἔπλεξαν λόγους, ὡς μᾶλλον ἐκεῖνον τῶν λοιπῶν ὑπαλείφω τοῖς μαθήμασιν· ὅθεν, ἵνα μὴ ἐλεγχθῶσι, καὶ τοὺς λοιποὺς συνηρίθμουν παῖδας, οἷς ἅπασι προσέχειν μ' ἔφασαν. Ὡς δ' ἀναπολογήτους ἑώρων ἑαυτούς, ἐγγράφους τῷ ἄρχοντι[1] καὶ τοῖς ἐπιτρόποις προσῆγον γραφάς, δι' ὧν ἐκμήναντες τοὺς ἄνδρας κατ' ἐμοῦ· ἐκεῖνοι δ' ἀποστείλαντες ἕνα τῶν ἐπιτρόπων καὶ τῆς ἀληθείας ἐπιλαμψάσης, μὴ οὕτως ἐχούσης ὡς λέγουσιν, ἐπὶ τὰς ὕβρεις μετήμειψαν τὰς κατηγορίας, καὶ πολλὰς ἐκφορήσαντες, ὅσα φύλλα καὶ ἄνθεα πίπτουσι χεῖμα. Ἔμοι γε δέ, ἀθ' ὑπὸ τῶν μαθητῶν ὑβριζομένῳ καὶ ἀτιμαζομένῳ, δεινὸν ἐδόκει σχολαρχεῖν ἔτι καὶ τρέφειν ὄφεις ἐν κόλπῳ ἀφανῶς τε καὶ φανερῶς δάκνοντας· ὅθεν ἀπεσεισάμην τὴν σχολήν. Ἀλλ' ἐπεὶ μηδεὶς ἦν ὁ ἐπιληψόμενος, πρός τινα Καλλονᾶν τὸ ἐπίκλην, ἡμίξηρον μὲν τὸ σῶμα, ὀρφανὸν δὲ παιδείας Ἑλληνικῆς, ἀρτίως ἐπὶ θεραπείᾳ τῆς σωματικῆς αὐτοῦ ναρκώσεως προσελθόντα, προσῆλθον λιπαροῦντες τὸν ἄνδρα καὶ προτρέποντες ἐπιλαβέσθαι τῆς σχολῆς· ὡς δ' οὐκ ἤκουεν διὰ τὰς εἰρημένας, πάλιν ἐπ' ἐμὲ τὴν ἀτραπὸν ἐποιοῦντο. Ἐγὼ δὲ κάτοχος γεγονὼς τῇ λύπῃ καὶ τῇ ὑπὸ τῶν εὐεργετηθέντων περιφρονήσει, κρίσιν ἀπῄτησα ἀρχιερέων κριτῶν καὶ περιμένω ἔτι τὴν δίαιταν· καὶ εἰ μὲν δυνηθῶ τοὺς κατηγόρους ἀπώσασθαι, ἴσως ἂν καὶ μενοίμην καί σοι λυσιτελὲς ἐπανήξειν· εἰ δὲ πάλιν κἀκείνους ἐπιφορτίσαντες οἱ ἐπίτροποι, ἐρήμην καταλείψομαι τὴν καθέδραν. Πρᾶγμά μοι γέγονεν, ἀδελφέ, ὅπερ μηδ' ὄναρ ἐφαντάσθην πώποτε, ἐπικειμένων μοι τῶν μαθητῶν λῃστρικῶς καὶ ἄλλος ἄλλην φιλοτιμούμενος ὕβριν ἐκχέειν κατ' ἐμοῦ, μὴ φθάνοντος πρὸς μηδεμίαν ἀπαντῆσαι διὰ τὸ ἀθρόον ἐμπίπτειν τὰς ἑτέρας. Μέχρι τοῦδε λοιπὸν οὕτως ἔχω λίαν περιπαθῶς, ἑξῆς δὲ οὐκ οἶδα, ποῖ στήσομαι ἐντεῦθεν ἀπαλλαγείς, κα' τὴν ὁδὸν ἀγνοῶ ἥτις με διαδέξεται, ἢ τάχα καὶ Κωπαρίδης[2] καθέξει με. Καὶ εἰ μέν σοι φίλον ἕπεσθαί μου ταῖς πλάναις, εὐπορήσεις ὧν ἔχω· εἰ δὲ δυσχεραίνεις ταῖς μεταβολαῖς, μένε κατὰ χώραν, ἵνα μή σοι πρόξενος δυστυχίας γένωμαι δυστυχῶς. Σκόπει τὴν ἄνοδον καλῶς, καὶ εἰ μὲν συμφέρει, μηδ' ἐγὼ ἀπαρέσκομαι, κἂν μέχρι τῶν Γαδείρων πλευσοῦμαι.

---

[1]) Νοεῖται Μανολάκης ὁ Καστοριεύς, ἱδρυτὴς ἰδιαιτέρας κοινῆς σχολῆς ἐν Κ/πόλει κατὰ τὸ ἔτος 1663, ἐν τῷ ἐκεῖ Μετοχίῳ τοῦ Παναγίου Τάφου.

[2]) Κωπαρίδης κατά τινα σημείωσιν ἐν τῇ ᾤᾳ τοῦ κώδικος νοεῖται «*Μιχαὴλ Ῥωσσέτος, υἱὸς Κωνσταντίνου Κουπάρη*».

www.dacoromanica.ro

2.

*Τῷ αὐτῷ.*

Ἐπίτευξιν τῶν ποθουμένων ἐπεύχομαι.

Τὰ πρὸ τοῦ Ὀκτωβρίου τέλους πεμφθέντα ἡμῖν πρὸς τὴν σὴν φίλην ἐμοὶ κεφαλὴν γράμματά ἦν ἐξαγγελτικὰ τῆς κακίας τῶν ἐμβροντήτων καὶ βλακωδῶν ἐμῶν μαθητῶν, οὓς τότε ἐπετρεψάμην ὡς συκοφάντας καὶ πονηρούς. Οὐ πολὺ τὸ ἐξῆς διελθόν, ὁ μὲν ἄρχων καὶ κτήτωρ διαπρεσβεύων πρὸς ἡμᾶς ἦν ἐκείνους μὲν ἀποδέχεσθαι ἐκλιπαρῶν καὶ αὖθις ἐν τάξει μαθητῶν ἔχειν με διεκελεύετο· ὡς δὲ οὐκ ἠκούετο, ἐφ᾽ ἑτέρας ἐτράπη ἐννοίας, μεταθήσειν με τῆς σχολῆς. Οἱ δὲ (καὶ γὰρ ἦσαν πάλαι τοῦτο ἐπιθυμοῦντες) ταῖς ὑποβολαῖς τοῦ γυναικοκρατήτου Μαυρογιάννη χαρτοφύλακος[1] ὑπαχθέντες, τὸν Καλλονᾶν προβάλλοντες καθιστᾶν ἑαυτοῖς διδάσκαλον. Ἀνήχθη γὰρ ὁ Καλλονᾶς οὗτος ἀπὸ Μήλου νήσου ἐνταῦθα πέρυσιν ἔρωτι ὑγείας ἁλούς· βαίνει γὰρ ὑπὸ νάρκης τῶν νεύρων (στηριζόμενος ἑκατέρωθεν) καθάπερ βόσκημα, αὐχεῖ δὲ ὅσα καὶ δαίμων εἰς κακίαν ἐπὶ σοφίᾳ (οὗτος γοῦν τὰ πλείω τῶν σκευωρημάτων ἐλογοῤῥάφει κατ᾽ ἐμοῦ), ἥν τινα ἑκοντὶ παρέλιπον. Ὁ δὲ Καλλονᾶς, φάθι καὶ Κακονᾶς διὰ τὴν αὐθάδειαν, ᾤετο μηδὲ ἀνθρώπους εἶναι ἡμᾶς τοὺς αὐθέλληνας, πολλοῦ γε δεῖ καὶ γνῶσιν ἔχειν γραμμάτων· καὶ ὥσπερ ὑπὸ τύφου μετεωρισθεὶς σχολάρχης ἀπεκατέστη εἰς τὸ φροντιστήριον, καὶ πατριάρχου καὶ ἀρχιερέων τοῦτον εἰδότων ἄμοιρον εἶναι γραμμάτων, πλὴν ἐμοῦ (ἀπεκρύπτετο γὰρ καὶ μόνῃ τῇ ἀπαριθμήσει τῶν βίβλων ἐδοξοσόφει), καὶ κωλυόντων τὸν ἄρχοντα μὴ κατασπᾶν πρὸ τοῦ ἀνιστᾶν τὸ φροντιστήριον. Ὡς δὲ οὐκ ἤκουεν, εἵλκυσαν πόδας. Γενόμενος δὲ ὁ Καλλονᾶς μεθ᾽ ὅσης τῆς παρατάξεως τῶν ἀλιτηρίων, πρῶτον μὲν ἐπειρᾶτο ἀποκρούσασθαι τὴν ἀμάθειαν αὐτοῦ τῇ ἀλαφράγκᾳ· ὡς δὲ οὐκ ἔλαθε προστυχὼν μαθητὰς κρεῖττον γεγυμνασμένους ἑαυτοῦ εἰς γραμματικήν, ἠπόρει πῶς ποτε χρήσαιτο τῇ σχολῇ. Κἀντεῦθεν ἴδοις ἂν τὸν σὸν Γερμανὸν ᾀδόμενον καὶ ἐπαινούμενον τοῖς ἁπάντων στόμασι, μετὰ δὲ καὶ οἱ μᾶλλον μετέχοντες σπουδῆς συνεῤῥύησαν καὶ πρὸς ἐμὲ γεγονότες ὅσην αἰσχύνην προσῆψαν τῷ Καλλονᾷ, ὅσον δὲ κλέος ἐμοί. Ἀλλὰ καὶ γραφάς τινας ἀπεκομισάμεθα διεκφορούσας τὴν ἀμάθειαν αὐτοῦ· πρῶτον μὲν οὐδὲ ἄρθρα οἶδεν ὅλως πόσα ἐστί, κἀκεῖνα ψιλοῖ πάντα· τὰ δὲ περισπώμενα ῥήματα ὀξύνει· ἀντὶ βοῶ *βοώ* γράφει· τὰ βαρύτονα περισπᾷ ἐν τῇ παραληγούσῃ, *τῦπτω*, *γρᾶφω*, τοῖς βραχέοις χρώμενος ἀντὶ τῶν μακρῶν, *νιστία*, *σιμίον*. Ὀφθέντων δὲ τούτων καὶ ὥσπερ τέρας φανερωθέντων, οἱ πλεῖστοι, μᾶλλον δὲ πάντες, τὸν ἄρχοντα λόγοις ἀπηνέσι διεῤῥαπίζοντο. Ἦν γὰρ τῶν πρώτων ὁ ἐμὸς Μπαλάσης πρωτονοτάριος τὸ πλῆκτρον τῆς ἀτρεκίης, ὅστις οἰοννήφοντ᾽ ἀπέδειξε τὸν ἄρχοντα, ἐπιβοῶν καὶ λέγων ὅτι οὐκ οἶδε Καλλονᾶς, ἀλλὰ μηδὲ ὁ Μαυρογιάννης ὁ ἐπαινῶν αὐτὸν οἶδε. Ἐντεῦθεν τί; ὁ μὲν σχολάζει μετὰ τῶν πολεμίων ἐμοί, ἓξ τῶν ἁπάντων ὄντων, ἐγὼ δὲ ἀντισχολάζω εἰς τὸ Μετόχιον πλείους καὶ κρείττους ἔχων· καὶ ὁ μὲν ἀποκρύπτεται μὴ φανῆναι, ἐγὼ δέ, ἅτε ἀγέρωχος, περιπολῶ πανταχοῦ. Ἐκ πάντων ἔχω τὸ γέρας καὶ πολλάκις προσκληθεὶς ἐπανιέναι οὐκ ἠξίωσα· αἰδοῦνται γὰρ τὸν Καλλονᾶν ἧττον ἢ ἐλεοῦντες· ὅθεν «Μενέτω» φασὶ «κἀκεῖνος μετὰ σοῦ». Μὴ ἀνεχομένου δέ μου τουτί, μένω ἔξω τῆς σχολῆς· ἀλλὰ εἰς ὀλίγον· τάχ᾽ ἂν καὶ τοῦτον ἀποδιοπομπήσειν ἀπειλοῦσιν, ὅτι καὶ οἱ κατήγοροι τοῦτον μυσάττονται, ὡς αἴτιον γεγονότα τῆς πλάνης αὐτῶν. Ἔῤῥωσο.

3.

*Ἰωάννῃ τῷ ἰατροφιλοσόφῳ εὖ διάγειν.*

Ὑπερήσθην σου τῇ ταινίᾳ, τῇ κατὰ νόμους ἰατρῶν χορηγουμένῃ σοι ἐν θεάτρῳ πανδήμῳ τῶν φιλοσόφων τοῦ κλεινοῦ Παταβίου, καὶ γάννυμαι αὐτὸς ὥσπερ ἐγὼ ταύτην ἀναδησάμενος. Ἀλλ᾽ ὥρα μοι ὥσπερ εἰκὸς ἦν περιεργάζεσθαι ἄνδρα ἰατρὸν καὶ πολλῶν Ὀλυμπιάδων κατηθληκότα τῆς τέχνης μεστόν· ἐπιθυμεῖ γὰρ ποτίμῳ λόγῳ τῆς ἐπιστήμης οἷον ἁλμυρὰν λύμην τὴν ἀμάθειαν ἀποκλύσασθαι πᾶς, ὥσπερ τῶν βοτρύων οὔπω πρὸς ὥραν ὄντων τὴν ὀξύτητα

[1]) Ἐν τῇ ᾤᾳ τοῦ κώδικος· «Ἰωάννου Καρυοφύλλου».

www.dacoromanica.ro

τῆς πιότητος εἰς ἄνθος ἀποτριβομένων καὶ κατὰ μικρὸν τῆς ἡλιακῆς αὐγῆς ἐπισπωμένων πεπείρους ἑαυτοὺς τοῖς ἀμπελουργοῖς ἀποδιδόασι, καρπὸν ὥριμον καὶ ἰδεῖν καὶ φαγεῖν τοῖς φιλοπονήσασιν. Ἐπεὶ οὖν πολύς σοι διέῤῥει τῆς περὶ τὴν ἰατρικὴν σπουδῆς ὁ ἱδρώς, μὴ καταῤῥείτω καὶ δυσοσμία ἐκ τούτου, ἀλλὰ πρὸς τὸ εὔοσμον προετοιμάσῃς σαυτόν· σοφοῦ γὰρ ἰατροῦ τὸ δόκιμον καὶ φρενὶ καὶ πορίμῳ τῇ γλώττῃ πρὸς τὸ ἀνιχνεύειν κατεσμιλευμένως τὰς τῶν νούσων αἰτίας καὶ μὴ δεῖσθαι τὸ σύνολον βακτηρίας πτωχοῦ. Τούτων οὕτω σοι προσεπεξεργασμένων καὶ κατεῤῥινημένων, ἀνιδρωτὶ περιγενήσῃ νοσήματος οὑτινοσοῦν. Πρὸς δὲ τὴν κατὰ πρᾶξιν τῆς μίξεως καὶ κατασκευῆς τῶν βοτανῶν καὶ φαρμάκων εὑρήσεις κἀνταῦθα· ἔστι γάρ μοι φίλος ἰατρὸς παρὰ τῷ ἡγεμόνι, ᾧ τὰ περὶ σοῦ ἐκοίνωσα καὶ τοὐπίγραμμα δέδειχα, καὶ ἐκέλευσε γράφειν πρὸς σέ, μὴ τὴν πρᾶξιν εἰς Ἑνετίαν ἀσκῆσαι (πολυδάπανος γὰρ καὶ σὺ τῶν ἀπόρων ἧς), καὶ οὕτως ὑπόσχεταί μοι δι' ἑξαμηνιαίου καιροῦ πρακτικώτατον ἀποφῆναί σε· οὐ γὰρ ἀρέσκεται παραμένειν ἐνταῦθα καὶ ζητεῖ τὸν διαδεξόμενον τὴν ἐπιστασίαν. Ἴθι λοιπόν, εἰ δοκεῖ σοι, πρὸς ἡμᾶς τὴν ταχίστην, εἰ θεωρίας ἰατρικῆς ἐνεφορήθης. Ἴσθι με τανῦν ἔμφρουρον καὶ καθειργμένον ἐν τῷ ὀνόματί μου, καὶ μηδὲ τὸν πόδα ἔξω βηλοῦ δύναμαι αἴρειν δι' αἰτίαν τοιαύτην. Ἦλθεν ὁ Ἱεροσολύμων καὶ ἐχρήσατό μοι πνευματικῷ, οἰόμενός με θεὸν ἀφεῖναι πάντα τὰ αὐτοῦ ἀνομήματα, ὧν ἀκούσας ἐγὼ ἀνένευσα· ὁ δὲ ἐζήτει πάντων ἀπολύειν ἐλεύθερον ἑαυτόν. Στηριζόμενος ἐγὼ τῷ τῶν νόμων θεμέθλῳ, οὐκ ἠνέσχετο· ὁ δὲ ἐπιτίμιον ἤθελε δέχεσθαι. Ἦν δὲ τὸ ἐπιτίμιον κατὰ νόμους ἀναχωρεῖν τοῦ βήματος καὶ προχειρίσασθαι ἄλλον ἀντ' αὐτοῦ πατριάρχην· ὁ δὲ ἀνθίστατο. Εἰδὼς οὖν ἐγὼ θάνατον ἐμαυτοῦ, κακεῖνον ψυχικόν, ἀνεχώρησα. Μηχανᾶται τοιόνδε. Πέρυσι δέδωκέ μοι μοναστήριον ὁ αὐθέντης ἔρημον ἐκ πάντων, ᾧπερ κατηνάλωσα ἀργύριον ἐμὸν εἰς ἀνακαινισμὸν καὶ ἠνωρθωσάμην, οὐδὲν ἐξ ἐκείνου λαβών· τῆτες δὲ ἦν εἰσόδημα ἱκανὸν καὶ τὰς ἐξόδους μου λαβεῖν καὶ κερδᾶναι. Ὠήθη ὁ παμμίαρος διαρπάσαι, ἵνα διὰ τῆς ἁρπαγῆς ἑλκύσῃ με πρὸς ὃ παρὰ νόμους ἐζήτει· ὑποκλέπτει τὸν ἡγεμόνα λόγοις ἀπατηλοῖς καὶ ἁρπάζει τὸ μοναστήριον· συναρπάζει καὶ τὰ ἐμὰ πάντα καὶ ἐξωθεῖ με γυμνόν· ἐγὼ δὲ ἀφῆκα πάντα, ἵνα μὴ προδώσω τοὺς πνευματικοὺς νόμους. Ὡς δὲ οἶδεν ὅτι οὕτως ⟨οὐ⟩ με πείθει, ἐτράπη πανούργως δελεάσαι με τοῖς δώροις καὶ γράφει ἐπιστολήν, ἧς τὸ ἴσον στέλλω ὅπως δημοσιεύσῃς αὐτοῦ καὶ μικροῖς καὶ μεγάλοις, ἀναγινώσκοντας καὶ τὸ παρόν, ἵνα γνῶσιν οἱ ἄνθρωποι εἰς ποῖον πονηρὸν δοχεῖον κατήχθη ὁ θρόνος τῶν Ἱεροσολύμων καὶ ὅτι οὐκ ἐξαγγέλλω τὰς κατὰ μέρος ἀθεμιτουργίας τούτου, ἀλλ' ὅτι μόνον ἀνάξιός ἐστι καὶ τοῦ θρόνου καὶ τῆς ἀξίας. Εἰ δὲ ἔνευον τῇ αἰτήσει αὐτοῦ τούτου, ἐλάμβανον ἂν καὶ τὰ ἐμὰ καὶ προσθήκην παράνομον ἐδεξάμην. Οὐκ ἐπιλέλησμαί σου, ὦ παῖ, ἀλλ' οὐχ εὗρον τοὺς κομιοῦντας τὰ γράμματα. Ὁ Νικόλαος ἐξῆλθεν ἐντεῦθεν ἀψοφητὶ καὶ οὐκ ἔγνων. Ἔρρωσο. ͵Αχπς' (1686), Ὀκτωβρίου η̅ῃ.

## 4.

Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ διδασκάλῳ κυρίῳ Εὐγενίῳ ὁ Γερμανὸς εὖ πράττειν.

Τῷ χρηστομαθεῖν ᾑρημένῳ ἱκανὸν καὶ τὸ μέχρι ψιλῶν ὀνομάτων ἐπαΐειν τὴν φήμην, τοῦτο δὴ τὸ τοῦ λόγου, καὶ τὰ ψευδῆ ὡς ἐξ ἁμάξης ἀποδέχεσθαι· ἃ γὰρ καὶ φιλοῦσιν ἄνθρωποι, τούτοις καὶ πρόσκεινται καὶ ὑπὸ φύλλων ῥιπιζομένων πολλάκις μαντεύονται τὸ φιλούμενον. Ἀπατώμεθα πλὴν ταῖς ἐλπίσι καὶ μηδ' οὕτως τοῦ καλόν τι προσδοκᾶν ἀφιστάμεθα μᾶλλον. Ὁπηνίκα δὲ καὶ τὸ βάρβαρον καθ' ἡμῶν ἀποταυρούμενον φῦλον ὁρῶμεν, τηνικαῦτα καὶ παῦλαν ὀνειροπολοῦμεν τῆς εἰσδρομῆς, πάλιν εἰκαίοις περιχλαινίζομεν ἑαυτοὺς ταῖς νίκαις, εὐπαρακόμιστόν τι καὶ ἐλαφρὸν ἀποφέροντες τὸν νοῦν καὶ ταῖς ἐπ' ἀμφότερα ῥοπαῖς κατασπιλοῦμεν τὸ ἡγεμονικόν· καὶ χαλεπὸν ὅσον τὴν πολυπλανῆ καὶ πολύτροπον ἀποκρούσασθαι ἀπάτην. Φέρε δὴ πάλιν ἐκτραγῳδήσωμεν τὰ τῆς ἡμετέρας ἐλπίδος αὐχήματα. Ὁ μὲν οὖν τῶν ἀρκτῴων σκήπτρων Ἀλέξιος ὁσίως τὸν βιωτικὸν δίαυλον κατὰ μῆνα τὸν Ἀνθεστηριῶνα διήνυσε, μεταχωρήσας εἰς ὁσίων μονάς· ἣν δέ φασιν ἐκείνῳ προὔργου καταστρατηγήσειν τῶν Βαρβάρων μετὰ τῶν Σαρματικῶν δυνάμεων· ὑπεῖξαν καὶ γὰρ οἱ Σαρμάται τοῖς τοῦ Ἀλεξίου βουλήμασι προτροπῇ τοῦ Ῥώμης καὶ πᾶσι προσυφιζάνειν τοῖς ὑπὸ τῆς Ἀνατολικῆς Ἐκκλησίας σφᾶς

www.dacoromanica.ro

αὐτοὺς νενομοθετημένοις, πλὴν τοῦ παπικοῦ ὀνόματος· γνώρισμα τοῦτο καὶ σημεῖον ἔν γε σφίσιν αὐτοῖς ἔχειν παρεκελεύετο, καὶ τοῦτο τοὺς Βαρβάρους ἐξεδειμάτου, καὶ πρέσβυν χρησαμένους τὸν ἡγεμόνα τῆς ἐνταῦθα ἀνείλκυσε πρὸς ἐκείνων ἕτερον ἐνθάδε πρέσβυν. Ἀλλ' ἐν τούτοις ὄντες, ἀπηγγέλθη καὶ ὁ θάνατος τοῦ Ἀλεξίου· ἀνήγειρε τὰ βαρβαρικὰ φρονήματα καὶ ἅπερ ὑπέσχοντο δηλαδὴ τοῖς Σαρμάταις, νεύσασι πρὸς εἰρήνην, ἀπηγόρευσαν· ἦν δέ, εἰ τὴν εἰρήνην ἀσπάσωνται, μένειν ἀνενοχλήτους καὶ παρὰ Σκυθῶν καὶ προσέτι καὶ τῶν ἐν τῷ πολέμῳ δαπανηθέντων ἀκαταζητήτους διατελεῖν, μονονοὺ τὴν ληφθεῖσαν πόλιν ἔχειν τοὺς Βαρβάρους μετὰ καὶ τῆς πέριξ τῶν κωμῶν πληθύος· οἱ δὲ τὴν μὲν πόλιν διωμολόγουν ἐάσειν ὡς προληφθεῖσαν, ἔξω δὲ τῆς πόλεως οὐδὲ βῆμα ποδὸς κατένευον δοῦναι. Διατρίβοντες οὖν ἐν τούτοις, ἀνηγγέλθη κατὰ τὸν Σκιῤῥοφοριῶνα καὶ ἡ ἐπέλευσις τῶν Σαρματικῶν δυνάμεων ἐγγύτερον, καὶ συνέστειλε μὲν τοὺς Βαρβάρους, ὥστε μηδὲ τὸν Ἴστρον θαῤῥεῖν διαπερᾶν ἄχρι καὶ τήμερον, φοιτῶντας δ' ἀκούομεν συχνῶς ἐξ ἑκατέρου μέρους, διαπραγματευομένους τὴν εἰρήνην· ὥστε τεκμαιρόμεθα, ἡ νέα ἰνδικτιὼν ἴσως διακρινεῖ τὰ πράγματα οὕτω πεφυρμένα καὶ ἐπὶ μόνῃ σαλεύοντα τῇ θείᾳ θελήσει. Ἔῤῥωσο. Τοὺς περὶ σὲ ἐν Κυρίῳ ἀσπάζομαι.

,Αχος' (1676), Μεταγειτνιῶνος πέμπτη ἱσταμένου. Μπουκουρεστίηθεν.

*Ὁ Γερμανός.*

## Β'.

## ΧΡΥΣΑΝΘΟΥ ΝΟΤΑΡΑ.

### 5.

*Τῷ Ἰάννῃ.*

Ἤρκει ἡμῖν εἰς ἀναπλήρωσιν φιλικοῦ καθήκοντος τἀληθές· καὶ γὰρ οὐ λόγοις ἀλλὰ διαθέσει εἰλικρινεῖ ἡ ὄντως φιλία παρὰ φίλοις κρίνεται. Αὐτὸς δὲ οὐκ οἶδ' ἀνθ' ὅτου τἀναντία ἀεὶ πρὸς ἡμᾶς ἐπιδείκνυσαι, καὶ οὐ μόνον οὐ φειδομένας χαρίζεις ἡμῖν τὰς τῶν γραμμάτων χάριτας, ἀλλὰ καὶ ταινιούμεθα δι' αὐτῶν, ὄντες τἀληθὲς Μεγαρεῖς, οἵτινες οὐδὲ τρίτοι οὐδὲ τέταρτοι. Πολὺν οὖν σοι τὴν εὐγνωμοσύνην ὁμολογοῦμεν, ὅτι προθύμως ἔχεις πρὸς ἡμᾶς· καὶ τῷόντι χαίρεις ταῖς φιλικαῖς προσρήσεσιν, ἢ τοῖς ἄλλοις τερπνοῖς τοῦ βίου, καὶ οὐ πρὸς Διόνυσον, ὡς οὐδὲν κτῆμα φίλου κάλλιον. Ἀλλ' ἐπεὶ τέλος φιλίας ἡ τῶν φίλων ὄνησις, σχώμεθα πρῶτον μὲν μὴ λαβεῖν πεῖραν φίλων· εἰ δὲ μή, ἡμεῖς σοι τῷ φιλτάτῳ δεόμεθα, εἴ πού τινος τὰ καθ' ἡμᾶς χρήζουσι διορθώσεως, ἐπανορθοῦν μετὰ γνώμης ἀγαθῆς προθύμως, ὡς καὶ αὐτοὶ οὐδέποτε ἐπιλήσμονές ἐσμεν τῆς σῆς εἰλικρινοῦς φιλίας, ἀλλ' ὡς δίκαιον δι' εὐφημίας φίλους σοι περιποιούμεθα οὓς ἂν δυνατὸν κτήσασθαι. Μᾶλλον δὲ εὖ ποίει ἡμᾶς διὰ τὸ κάλλος τῶν γραμμάτων σου καὶ ἀθάνατόν σοι τὴν χάριν ὁμολογήσομεν. Τανῦν εὑρισκόμεθα εἰς τὸν μεγαλοπρεπέστατον αὐθέντην Οὐγκροβλαχίας, ὃς εἰς τοὺς τοῦ Δανούβεως καταῤῥάκτας παραμένων, λεγομένους νῦν Ντεμὶρ-καπισί, ἀνακομίζει τὰς πρὸς τὸν πόλεμον παρασκευὰς κατὰ Γερμανῶν· οὐ πλωτὸς γὰρ ὁ Ἴστρος ἐν τουτῳῒ τῷ μέρει καὶ τὰ πλοῖα διὰ τὸ ἄναντες δύσπλοα. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον, αὐτὸς δὲ εἴης εὖ πράττων, μεμνημένος ἀεὶ τῆς φιλίας, καὶ ἔῤῥωσο.

,Αχπς' (1686), μηνὶ Αὐγούστῳ.

### 6.

Τῷ σοφωτάτῳ ἀρχιδιδασκάλῳ καὶ ἀξιωτάτῳ κυρίῳ Βαλεντίνῳ τῷ Λουτέρῳ ὑγείαν.

Πάντες μὲν βροτοὶ ποθοῦσι λίαν ἡλίου μαρμαρυγὰς καὶ ἀκορέστως τούτων ἐμπίμπλασθαι θέλουσιν· οὐδεὶς δὲ τούτων, ὡς οἶμαι, ποθεῖ, καθάπερ ἐγὼ τῆς σῆς ἡλιομόρφου θέας ἐξέχομαι, ψυχῆς ἐμῆς ῥίζωμα καὶ χαρίτων ἐρωτικῶν πλουσιωτάτη πηγή. Εἰ γὰρ φίλου πιστοῦ ἀντάλλαγμα τῶν ὄντων οὐδέν, πόσον δεῖ ἐσεῖσθαι ὁ πιστὸς ἅμα καὶ σοφὸς Βαλεντῖνος; Ὅθεν ῥᾷον αὐτὸν τὸν κοσμοπόθητον ἥλιον καὶ τῆς ἡμέρας παραιτησάμην τὸ φῶς, ἢ τῆς σῆς καὶ ἐξ ἀκοῆς μόνης φήμης ἀκούσομαι· ἐξότου γὰρ αὐτοῦ σὲ ἔγνων, τὴν φίλην σὴν κεφαλήν, οὐδὲν ἔτι περὶ σοῦ ἤκουσα· ἐφ' ᾧ οὐ σμικρὸν ἠγανάκτουν. Ὅτε δέ τις ἐν τοῖς τοῦ Δανούβεως καταῤῥά-

www.dacoromanica.ro

κταις εἰπέ μοί τι περὶ σοῦ, οὐκ ἔχω λέγειν ὅπως ἐχρησάμην τῷ πλήθει τῆς χαρᾶς, τοῦ γλυκυτάτου σου ἐνωτισθεὶς ὀνόματος· παρ᾽ οὗ μαθὼν ὅτι καὶ προεβιβάσθης εἰς τὴν τοῦ ἀρχιδιδασκαλικοῦ ἀξιώματος τάξιν, καὶ τοῦτο οὐ τῆς τυχούσης με τέρψεως καὶ θυμηδίας ἐνέπλησε· ζητεῖ γὰρ ἡ σοφία, ὥς φησι, τοὺς ἀρίστους ἑαυτῆς καὶ εἰς τὸν κολοφῶνα ἄγει τοὺς αὐτῆς φιλεργάτιδας. Ἀλλ᾽ ἐπεὶ σχετικὸν ἡ φιλία καὶ πρὸς τὸν φίλον ἀναφέρεται, δίκαιον τούτους παρόντας μὲν προσαγορεύειν διὰ στόματος, ἀπόντας δὲ δι᾽ ἐπιστολῶν. Χάριν τούτων ἕνεκεν ἀπόστειλον τὴν ἀμοιβαίαν, φανερῶν αὐτῆς τὴν ὑγείαν καὶ τὴν ἀγαθὴν κατάστασιν, ἀποῤῥίπτων πόρρω τὰ τῆς λήθης ἐγκλήματα. Ἔῤῥωσο.

7.

*Χριστός.*

Τῷ τιμιωτάτῳ καὶ αἰδεσιμωτάτῳ ἀρχιδιακόνῳ κυρίῳ Χρυσάνθῳ εὖ χαίρειν.

Τὰ γράμματα λέληφα παρὰ σοῦ ἀποσταλέντα. Πολλὴν χάριν ἔχω σοι τούτων ἕνεκα. Ἀσμένως κἀγὼ ἐπιστολὴν ἐμπρεπέα πέμποιμι πρὸς σέ, ἀλλ᾽ οὐ δύναμαι. Ἐγὼ εὖ ἔχω Θεοῦ χάριτι. Προσκυνῶ τῷ Θεῷ τῷ τρισμεγίστῳ αὔξειν καὶ σῴζειν τὴν ὑγείαν σου, τοῦ ἰδίου καὶ κοινοῦ λυσιτελοῦντος ἕνεκα. Πλείω γράφειν οὐκ ἔχω ἄρτι. Ἔῤῥοσο, ἐνδοξότατε ἀνδρῶν.

Ἐγράφη ἐν Βρασχῷ Στεφανοπόλει θῃ ἡμέρᾳ τοῦ Δεκεμβρίου ἐν ἔτει τῆς Χριστογονίας ͵αχπς΄ (1686).

Ὁ σὸς ὅσος

*Οὐαλεντῖνος Γρεήσγγε ὁ ἀρχιδιδάσκαλος.*

8.

Τῷ ἐνδοξοτάτῳ καὶ σοφωτάτῳ κυρίῳ Κ: τῷ Καντακουζηνῷ καὶ μεγάλῳ στολνίκῳ.

Ἐτύχομεν ἤδη τοῦ ποθουμένου καὶ (ἵν᾽ οὕτως εἴπω) σωτηρίου λιμένος, τῆς Γερμανικῆς χώρας, μόλις δ᾽ ἔμπης τῇ βᾳ Δεκεμβρίου. Καὶ ὅσον μὲν τὸ μῆκος τῆς ὁδοῦ καὶ τὰ παραπλήσια ταύτης συμβεβηκότα, ὁποῦ ἑξήκοντα τῶν ἡμερῶν ὡδοιποροῦμεν, καλώτατα δὲν τὴν λανθάνουν, ἐπειδήπερ καὶ ἡ σοφωτάτη αὐτῆς ψυχὴ τὴν πόλιν ταύτην διώδευσεν. Ἀλλὰ ταῦτα μὲν προσεχῆ, ἴδια τῆς σπουδῆς κατὰ τὸν Ἰσοκράτην, ὅστις τῆς παιδείας τὴν ῥίζαν πικρὰν ἔφη, γλυκεῖς δὲ τοὺς καρπούς. Ὦ πόνος ἀγάστονος, ὢ μυρίων κλαυθμῶν ἡ στέρησις τοῦ μακαρίτου αὐθεντός· ἀξία γὰρ τόσον, ὅσον καὶ εἰς τὸν τετράκλιμον θρῆνον ἀπέρατον ἐπροξένησεν εἰς τοιούτους μᾶλλον ἀνωμάλους χρόνους. Μετὰ τῶν ἄλλων καὶ ἐγὼ ὡς ἀληθῶς δάκρυα θερμὰ ἐκατήγαγον καὶ θρῆνον ἀπαραμύθητον πεποιήκαμεν. Ἀλλ᾽ ὑπὲρ τούτων μὲν δὲν λανθάνει τὴν σοφωτάτην της ψυχὴν τὸ ποιητικὸν λόγιον «πάντ᾽ εὐχαρίστως τἀκ Θεοῦ δέχεσθαι χρή». Ἂς παρηγορᾶται λοιπόν, ὅτι οὐκ ἄνθρωπος ἔλαβεν, ἀλλ᾽ ὁ Θεὸς ὁ ποιήσας καὶ τὸ συμφέρον ἑκάστου εἰδὼς καὶ μᾶλλον ἡμῶν τῶν πλασμάτων αὐτοῦ κηδόμενος· ὅτι ὕπνος τὸ πρᾶγμα καὶ ὁ θάνατος μετάστασις καὶ οὐκ ἀπώλεια· ἀποδημία ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ βελτίω καὶ ὅλως ἀναγωγὴ ἐπὶ τὰ κρείττω καὶ βελτίονα, καὶ δὴ αἰώνια. Ἤλγησε μὲν καὶ Ἰὼβ ἐπὶ τῇ στερήσει τῶν οἰκείων τέκνων, ἀλλὰ τοσοῦτον, ὅσον ἦν εἰκός, σκεδάσας τὸ νέφος τῆς ἀθυμίας, εἰπών· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο». Ἀλλὰ δὴ καὶ πάντες οἱ κατὰ Θεὸν ζήσαντες ὀλίγην τῶν κακῶν αἴσθησιν ἐλάμβανον· ἔχαιρε γὰρ καὶ ὁ μακάριος Παῦλος ἐν τοῖς παθήμασιν. Αὐτὰ τοίνυν, σοφώτατε καὶ χριστιανικώτατε ἀνδρῶν, διανοηθεὶς καὶ πιστεύων ὅτι, ὥσπερ Χριστὸς ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, οὕτω καὶ τοὺς κοιμηθέντας ἄξει σὺν αὐτῷ, ἔνθα τῶν δικαίων οἱ χοροί, ἔνθα τῶν ἁγίων ἀγγέλων τὸ στρατόπεδον, ἔνθα στρατάρχης καὶ ἀρχηγὸς ὁ βασιλεὺς τῆς δόξης· αὐτὰς γὰρ προελήλυθε τὴν ὁδόν, ἣν πάντες ἐλθεῖν ἀναγκαίως ἐστίν. Ὅθεν, ὢ θεία καὶ σοφωτάτη κεφαλή, γενοῦ πατὴρ παρακλήσεως καὶ παραμυθίας, παραμυθῶν αὐτὸν καθ᾽ ἑαυτόν· ὁ δὲ Θεὸς τῶν οἰκτιρμῶν καὶ πατὴρ πάσης παρακλήσεως παρηγορήσειε τὰς καρδίας πάντων ὑμῶν τῶν συγγενῶν καὶ κατὰ σάρκα καὶ κατὰ πνεῦμα, καὶ διατηροίη καὶ περιέποι παντὸς ἐναντίου συναντήματος τὸν ἐκλαμπρότατον καὶ θεόσεπτον ἡμῶν αὐθέντην κύριον κύριον Ἰωάννην Κωνσταντῖνον βοεβόδα, στερεώνωντάς τον εἰς τὸν ὑψηλότατον αὐτοῦ θρόνον εἰς ἐτῶν πολλῶν περιόδους· τὴν δὲ ἱερὰν καὶ σοφωτάτην αὐτῆς κεφαλὴν μετὰ τῶν παμφιλτάτων αὐτῆς βλαστῶν διαφυλάττοι ὑγιαίνουσαν καὶ εὐτυχοῦσαν ἐν βίῳ παντί. Ἀμήν.

www.dacoromanica.ro

Γ'.

## ΑΒΒΑΚΟΥΜ.

9.

Παμφίλτατε καὶ περιπόθητέ μοι ἀδελφὲ ἅγιε διδάσκαλε κύριε κῦρ Μάξιμε, τὴν λογιότητά σου δουλικῶς προσκυνῶ καὶ τὸν γλυκὺν καὶ πεποθημένον χαιρετισμὸν κομίζω τῇ μεγίστῃ σου λογιότητι σὺν τῷ ἐν Χριστῷ ἀσπασμῷ, καὶ δέομαι κύριον τὸν Θεὸν τοῦ ὑγιαίνειν ψυχῇ καὶ σώματι. Καὶ ἡμεῖς, τοῦ Θεοῦ μακροθυμοῦντος, ὑγιῶς ἔχομεν τῷ σώματι. Εἰς πλάτος δὲν γράφω τῇ λογιότητί σου· μόνον ἕνας μαθητής μου εὑρισκόμενος εἰς τὴν Βλαχίαν ἤκουσεν ὑπέρ τινος μαθηματικοῦ Ἀββακοὺμ λεγομένου, ὁποῦ εὑρίσκονταν τότε εἰς τὴν Μπογδανίαν, καὶ ἔχοντας ὁ μαθητής μου ὄρεξιν νὰ σπουδάξῃ εἰς τὴν μαθηματικὴν ἐπιστήμην καὶ εἰς ἄλλα, ἐπῆγεν ἐκεῖ καὶ ἐκάθισε τρεῖς χρόνους καὶ ἐσπούδαξεν ὅσα ἠμπόρεσε καὶ ὅσα ὁ ἄνωθεν Ἀββακοὺμ ἐδύνετον νὰ τοῦ παραδώσῃ. Λοιπὸν ἔχοντας αὐτὸς ἐπιθυμίαν νὰ σπουδάξῃ ἀκόμι καὶ εἰς μεγαλήτερα μαθήματα τῆς φιλοσοφίας, ἐπιθυμεῖ νὰ ἔλθῃ εἰς τὴν σὴν λογιότητα, καὶ ἂν ὁρίσῃ, ἂς μᾶς γράψῃ νὰ ἠξεύρωμεν. Ταῦτα μὲν καὶ οἱ χρόνοι τῆς σῆς λογιότητος εἴησαν πολλοί τε καὶ ἀγαθοί.

*Ὁ σὸς ἐν Χριστῷ ἀδελφὸς Ἀββακούμ.*

Δ'.

## ΕΥΓΕΝΙΟΥ ΓΙΑΝΝΟΥΛΗ.

10.

Τῷ ἐκλαμπροτάτῳ καὶ γαληνοτάτῳ ἡγεμόνι καὶ δεσπότῃ πάσης Οὐγκροβλαχίας κυρίῳ κυρίῳ Ῥάδουλᾳ βοεβόδᾳ ὑγιείαν καὶ σωτηρίαν καὶ κατ᾽ ἐχθρῶν νίκην εὐχόμεθα παρὰ Θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τοῦ ζωοποιοῦ τε καὶ ὁμοουσίου αὐτοῖς πνεύματος. Ἀμήν. ,Αχξγ$^{\omega}$ (1663).

Τὰ ῥεύματα τῆς κακῆς καὶ ἀδίκου τύχης, ἐκλαμπρότατε κύριε Ῥάδουλα, καὶ τὴν ἄδικον αὐτῆς καὶ δυσπάλαιστον φορὰν δὲν ἐδυνήθη ποτὲ ἄνθρωπος γεγεννημένος εἰς τὸν κόσμον νὰ φύγῃ τὴν κακίαν της, ἢ νὰ ἐμποδίζῃ τὴν βουλήν της καὶ τῆς κακῆς της θελήσεως τὰ θανατηφόρα κινήματα, ἀφ᾽ οὗ μέχρις ἂν ὁ περίγειος οὗτος συνέστη κόσμος· εἰς ὅλους ἡ κατάρατος ἐκτείνει τὰ θανατηφόρα της δίκτυα, εἰς ὅλους κινᾶται καὶ ἐπιτίθεται ἀνελεήμονα καὶ ἀσυμπάθητα. Ἀλλ᾽ εἰς τοῦ λόγου μας τώρα ἔχυσεν ὅλον της τὸ φαρμάκι καὶ τὸ ἄγριον μῖσος καὶ τὴν μισάνθρωπόν της κακίαν. Ἤκουσε, λογιάζω, καὶ διὰ πολλῶν ἐγνώρισε τὸν θάνατον τοῦ φιλτάτου μου παιδὸς καὶ μονογενοῦς υἱοῦ Κυρίτζου τὸν παράκαιρον χωρισμὸν καὶ τὸν ἄωρον θάνατον. Ἐχάσαμεν, ἐκλαμπρότατέ μου κύριε, τὴν ἐλπίδα τῆς ζωῆς μας, τὴν ῥάβδον καὶ τὴν τοῦ γήρατός μου παρηγορίαν, τὴν μετὰ Θεὸν βοήθειαν τῆς ἀδυναμίας μου, τὸ φῶς καὶ τὴν τῶν ἀθλίων ἐμῶν ὀμμάτων διάλαμψιν. Ἐμείναμεν φανερῶς παντέρημοι καὶ ἀπαρηγόρητοι· ἄφηκεν ὅμως ἐκεῖνος χρόνους πολλοὺς τῆς ἐκλαμπρότητός σου ὑγιεῖς τε καὶ εὐτυχεῖς καὶ ἐπὶ ἅπασαν τὴν λαμπράν της κατ᾽ οἶκον ἐκκλησίαν καὶ ἠγαπημένους της φίλους. Ἐδιάβη εἰς τὴν παγκόσμιον ἐκείνην στράταν καὶ κοινὴν καὶ ἐπ᾽ οὐδενὶ ἀπαραίτητον, εἰς τὸν ἔσχατον καὶ φρικτὸν δρόμον τῆς ἀνθρωπίνης καταστάσεως. Μᾶς ἄφηκεν ἐρήμους καὶ ἀπαρηγορήτους εἰς τὸ τρίστρατον, καθὼς ὁ κοινὸς καὶ δημώδης λέγει λόγος. Μᾶς ἄφηκεν εἰς θορύβους καὶ ταραχὰς ἀνιάτους καὶ ὡσὰν νὰ εἰπῇ τινας ἕνα καράβι βασανιζόμενον ὑπὸ μυρίων πνευμάτων καὶ βυθισθῆναι κινδυνευόμενον. Ποῖον πρῶτον, ἐκλαμπρότατέ μου, νὰ ἀντιπαλεύσῃ; τὰ πάθη τοῦ γήρατος καὶ τοὺς κακοὺς αὐτοῦ δορυφόρους, ἢ τὰ κοινὰ τοῦ Γένους ἀτυχήματα καὶ τὰς ὑπὲρ λόγον δυσμοιρίας; Ἡ παντοδύναμος καὶ οὐράνιος τοῦ Χριστοῦ χάρις, ἡ νεύματι μόνον ψιλῷ τῶν κακῶν περιγινομένη καὶ λόγῳ μόνῳ τὰ τοῖς ἀνθρώποις ἀδύνατα νικῶσα, αὐτὴ ἐκείνη τώρα νὰ λάβῃ ὅπλον καὶ θυρεόν, καθὼς ὁρίζει ἐν ψαλμοῖς ὁ θεῖος Δαβίδ, καὶ νὰ κινηθῇ ἐξ ἐναντίας καὶ μετὰ ἐκδικήσεως κατὰ τῶν ἡμᾶς διωκόντων. Ἂς διασώσῃ μὲ τὸ παντοδύναμόν της χέρι τοὺς ἐπικαλουμένους αὐτὴν ἐν ἀληθείᾳ. Ἀμήν.

www.dacoromanica.ro

11.

Τῷ ἐντιμοτάτῳ καὶ εὐγενεστάτῳ ἄρχοντι κυρίῳ Γεωργίῳ Κανταχουζηνῷ τῷ Βυζαντίῳ ὑγείαν, σωτηρίαν καὶ εὐτυχῇ ἐπὶ τὰ οἰκεῖα ἐπάνοδον.

Πολλαῖς φοραῖς οἱ θερισταί, πανευγενέστατε κύριε Γεώργιε, ἀφίνουσιν ὀπίσω τὰ ὥριμα καὶ πεπιωμένα στάχυα τοῖς σταχολογοῦσιν ὄχι ἐξ ἀμελείας ἢ περιφρονήσεώς τινος, ἀλλ' ἔκ τινων περιστάσεων συμβαινουσῶν τοῖς θερισταῖς· παρατρέχουσι δ' ἔστιν ὅτε οὐ τοὺς θεριστὰς μόνον, ἀλλὰ καὶ αὐτοὺς ἤδη τοὺς ἀσταχολόγους. Αὐτὸ δὴ τοῦτο συνέβη καὶ εἰς ἡμᾶς τώρα προχθὲς ἐδῶ· ἐρχόμενος γὰρ ὁ Ῥίζος, ὁ πιστὸς ἡμῶν ὑπηρέτης, ἐξέπληξεν ἡμᾶς μὲ τοὺς παρ' ἐλπίδας καὶ ἐξαπίνης χαιρετισμούς, καὶ ὅτι συνεκατέβη μετὰ τῶν λοιπῶν ἀρχόντων εἰς τὴν χώραν, καὶ οὕτως ἀφάτου ἐνεπλήσθημεν χαρᾶς, θορυβήσας ἡμᾶς ὁ ῥηθεὶς Ῥίζος διάλογον διὰ λόγων πολλῶν καὶ καταπλήξας ὡσὰν ἡ σφοδρὰ τῆς ἀστραπῆς ἔλλαμψις τὰς τῶν ἀνθρώπων ὄψεις. Διὰ τοῦτο ἐπαραδράμαμεν τὸ εὐγενὲς ὄνομα τῆς ἀγάπης σου ἀμνημόνευτον ἐν τῷ τοῦ εὐγενοῦς Κωνσταντίνου γράμματι. Ἰδοὺ τοίνυν χαιρετοῦμεν καὶ αὐτὴν ὁλοψύχως καὶ ἀσπαζόμεθα διά τε τοῦ παρόντος καὶ τοῦ κομίζοντος ἐν φιλήματι ἁγίῳ, καὶ χαίρω καὶ συγχαίρω μετὰ πολλῶν τὸν ἐρχομὸν τῆς ἀγάπης σου καὶ τὴν ὑγιείαν της ὁμοῦ μὲ τὴν καλὴν καὶ τὴν ὑγιᾶ ζωήν της. Παρακαλῶ οὖν τὴν παντοδύναμον τοῦ Χριστοῦ χάριν νὰ τῆς χαρίσῃ καὶ τὴν εἰς τὰ οἰκεῖα καλὴν ἐπάνοδον καὶ εὐχερεστέραν τῆς καταβάσεως.

12.

Φιλολογώτατε, σοφώτατε καὶ ἐν χριστιανοῖς θεοσεβέστατε κύριε Φώτιε, εἴης ἀείποτε ἐν τοῖς καταθυμίοις εὐοδῶν μετὰ πάσης ὁμοῦ τῆς κατ' οἰκόν σου ἐκκλησίας καὶ τῶν φίλων.

Τὸ τίμιον ἐμοὶ καὶ ποθούμενον γράμμα τῆς σῆς γλυκυτάτης ἀγάπης, ὁποῦ ἔπεμψεν οὐ μετὰ πολλὰς ἡμέρας πρότερον πρὸς ἡμᾶς, τὸ ἐλάβαμεν ἡμεῖς ἀγαθῇ τύχῃ προχθές. Τὸ γράμμα οὖν τοῦτο διέλυσε πάσας τὰς ἀπορίας καὶ τοὺς ἀμφισδητησίμους λογισμοὺς τῆς ψυχῆς, ὁποῦ εἴχαμεν ἤδη χρόνον διὰ λόγου της· πρὸ γὰρ τούτου τοὺς ἐμερίζαμεν καθ' ἡμέραν ἐδῶ καὶ ἐκεῖ εἰς μυρίας ἐννοίας καὶ γνώμας διαφόρους, λέγουσα πολλάκις καθ' ἑαυτήν· «Τάχα ποῦ καὶ πῶς εὑρίσκεται τώρα ὁ ἐμὸς καλοκάγαθος Φώτιος, ἡ οὕτως πεφιλημένη καὶ θεοφιλὴς ψυχὴ καὶ ἀγάπη ἀδολωτάτη; πῶς ἄρα τὰ τῆς ψυχῆς αὐτῷ πρoφέρεται ῥεύματα; τάχα ἡ Ἀδριανοῦ εἰσέτι καὶ νῦν αὐτὸν ἔχει παροικοῦντα, ἢ ἡ μεγαλόπολις τοῦ Βύζαντος, ἢ περιδιαδάζει τὰ πεδιάσιμα τῆς ἐλευθέρας Βλαχίας, τῷ νέῳ ἡγεμόνι ἑπόμενος»; Ἐλέγετο γὰρ καὶ τοῦτο καὶ ἀπὸ πολλῶν ψιλοῖς μόνοις καὶ ἀγράφοις διεδεβαιοῦτο λόγοις καὶ ἐπιστεύετο, ὅτι ἔδραμον ἐκεῖ πολλοί, ὡσὰν τρέχουσι τὰ πρόβατα — — —· πρὸ πάντων δὲ καὶ μετὰ πάντων ἔδραμεν ὁ ἐμὸς ἑταῖρος Ἰωάννης ὁ Καρυόφυλλος καὶ ὁ κῦρις Νεόφυτος, ὁ τῆς Ἀδριανοῦ ἐκκλησίας προστάτης (οὗτοι γὰρ πρὸ τῶν ἄλλων ὡς κριοὶ ἐπίσημοι καὶ κωδωνοφόροι), τῷ ἡγεμόνι[1]. Ἀλλ' ἐγὼ γράψας πρότερον πρὸς αὐτὴν εἰς τὴν νῦν ἀβασίλευτον καὶ τρισβάρβαρον Πόλιν, τὴν Χάρυβδιν νὰ εἰπῶ δι' ὀλίγου καὶ Βρεττανικὴν ἄμπωτιν ἢ ἄλλην τινὰ νεοφανῆ Βαβυλῶνα, καὶ μὴ λαβὼν ἀσυνήθως ἀπόκρισιν ἐκρέμασα τοῦ λοιποῦ τὸν γραφικόν μου κάλαμον ὑπὲρ καπνοῦ, καθὼς λέγει ὁ λόγος· ὅτι δὲ αἱ φροντίδες, ὡς ὁρίζει, καὶ αἱ τύρβαι τῶν βιωτικῶν μεριμνῶν καὶ τὰ πάθη τούτων κατασπῶσιν πολλὰς ἀνοδίας καὶ τὸ θεωρητικὸν τῆς ψυχῆς ὄμμα, δὲν ἀμφιβάλλω μηδὲ ἀπιστῶ· ὅτι ἡμεῖς αὐτοὶ ὡς ὁμοιοπαθεῖς, τέκνον μου Φώτιε, ἐσμὲν τοῖς τοιούτοις πάθεσιν ἁλώσιμοι καὶ νενικημένοι καὶ καθ' ἡμέραν πλανώμεθα <μέσον> τῶν πικρῶν κυμάτων· ποτὲ δὲ ὑπερνικώμενοι εὐθὺς τῇ τοῦ θείου σταυροῦ δυνάμει ἐπάνω τῶν κυμάτων γινόμεθα. Τοῦτο τὸ ἴδιον ἂς κάμῃ, παρακαλῶ, καὶ αὐτὴ καὶ ἂς ὑποθέσῃ πρὸ πάντων τὴν πίστιν ὡς ἄγκυραν καὶ τὴν ἐλπίδα ὡς πλοῖον καὶ ὡς ἄρμενον ἰσχυρὸν τὴν ἀγάπην, καὶ οὕτω μὲ τὴν ὑπέροπλον δύναμιν τοῦ ὑπὲρ

[1]) Ἐ τῇ ὤᾳ διὰ χειρὸς μεταγενεστέρας τῆς τοῦ γραφέως τοῦ κώδικος· «Ἐν ἔτει 1693 ἐπῆγεν εἰς τὴν Βλαχίαν ὁ Ἰωάννης ὁ Καρυοφύλλης, ἡγεμονεύοντος ἐκεῖ τοῦ Κωνσταντίνου βοεβόνδα Μπασαράμπα· ὅπου ἐξεμέτρησε τὸ ζῆν».

www.dacoromanica.ro



ἡμῶν παθόντος καὶ σταυρωθέντος Χριστοῦ θέλει πλέει ἀκινδύνως τὴν τοῦ βίου τραχυτάτην καὶ ἁλμυρὰν ὁδόν, καὶ θέλει διασωθῆ παραδόξως ἐκ τῶν βιωτικῶν κυμάτων, καθὼς διασώζεται ἐκ τῶν βρόχων τῶν κυνηγῶν ἡ δορκάς. Μὴ οὖν ἀγανάκτει καὶ κατάπιπτε εἰς τὴν κακὴν φορὰν τῶν νῦν ἀτυχημάτων· δὲν εἶναι κανένας βίος (κατὰ τὸν Εὐριπίδην) ἀτυχημάτων ἐλεύθερος καὶ παθῶν ἀπηλλαγμένος. Ὅλη ἐδῶ ἡ ἀνθρωπότης πάσχει καὶ σείεται, ὡς ὑπὸ τῶν σφοδρῶν ἀνέμων ἡ καλάμη καὶ τὸ κόσκινον ὑπὸ τῶν κοσκινιζόντων τὰ ἄλευρα. Εὑρίσκονται οἱ ἄνθρωποι εἰς μυρία ἀτυχήματα καὶ πικροὺς καθ' ἡμέραν θανάτους· ἔχουσι τὸν θάνατον τώρα μᾶλλον ἀσπαστὸν ἢ τὴν γλυκυτάτην ζωήν. Ἐν τῷ νῦν χρόνῳ ἀνεφύσησαν οἱ ταρτάριοι δαίμονες διὰ τῶν οἰκείων ὑπηρετῶν ὅλην τὴν θηριώδη καθ' ἡμῶν ἔχθραν· ἀλλὰ σύ, παιδί μου ἀγαπημένον Φώτιε, μὴ λυποῦ ἐπὶ τοῖς ἀτυχήμασι καὶ εἰς τὰ πνεύματα τοῦτα τὰ τυφωνικά, τὰ τὴν ἡμετέραν οἰκουμένην καταλαδόντα, ἡ παντοδύναμος ἰσχὺς τοῦ τῶν ὅλων δεσπότου θέλει διαλύσει τὴν ῥύμην τῶν ἀλλεπαλλήλων τρικυμιῶν· μόνος κυβέρνα τὴν ζωήν σου μὲ συμμετρίαν ἐπὶ πᾶσι καὶ τὴν δίαιτάν σου ὀλιγοδεῆ καὶ ἀκριβωμένην· τοῦτο αὐτὸ καὶ τὴν κατ' οἶκόν σου ἐκκλησίαν ἐπίταττε. Σπέρνε πάντα συχνὰ τὸν φόβον τοῦ Θεοῦ εἰς τοὺς κληρονόμους τοῦ γένους σου καὶ τὴν εὐλάβειαν πρὸ πάντων εἰς τὰ θεῖα, καὶ ὅσα ἄλλα διὰ πολλῶν ἤκουσας, καὶ χρηστὰ καὶ λυπηρά, παροδεύονται ποδὶ ἡσύχῳ. Τὰ θεῖα καὶ οὐράνια ἔχει τὸ εἶναι ἀεὶ ὡσαύτως, ἐν οἷς ἡμᾶς τε καὶ τὴν σὴν ἀγάπην καὶ πάντως τοὺς ἀνυποκρίτως φιλοῦντάς σε ἀξιωθῆναι παρακαλῶ. Πρὸς τούτοις ἂς ἔλθῃ τὸ ἀξίωμά μου, παρακαλῶ, ἐνώπιόν σου (νὰ εἴπω ψαλμικῶς), μάλιστα ἂν διαφέρῃ ἀπὸ τὸ χέρι σου τίποτες.

## Ε'.

## ΑΝΩΝΥΜΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

### 13.

Παναγιώτατε καὶ θειότατε οἰκουμενικὲ πατριάρχα κύριε κύριε Παΐσιε, ἡμέτερε αὐθέντα καὶ δέσποτα, τὴν ὑμετέραν θεοκόσμητον παναγιότητα πανευλαβῶς προσκυνῶ καὶ τὴν σεβασμίαν αὐτῆς δεξιὰν ταπεινοφρόνως ἀσπάζομαι.

Ἀγκαλά, παναγιώτατέ μοι αὐθέντα καὶ δέσποτα, νὰ γνωρίζω ὁ ἐλάχιστος αὐτῆς δοῦλος τὸν βαθμὸν τοῦ ἀξιώματος τῆς ἁγιωτάτης μητροπόλεως ταύτης Οὐγκροβλαχίας, τήν τε ἀναξιότητα τῆς εὐτελείας μου καὶ ὅτι παρὰ τῆς ἐμῆς ἰσχύος καθέστηκεν ἡ ταύτης ἐγχείρησις· ἀλλ' ἐπειδὴ ὁ εὐσεβέστατος καὶ φιλόχριστός μοι αὐθέντης, ὁ ἐφάμιλλος τῆς πατρῴας ἀρετῆς δόξης τε καὶ τελειότητος, ὁ τῆς ἐμῆς ταπεινότητος μετὰ Θεὸν εὐεργέτης καὶ κηδεμὼν προνοητικώτατος καὶ εὐσπλαγχνικώτατος θεόθεν ὁδηγηθεὶς καὶ ὑπὸ τῆς χριστιανικωτάτης εὐλαβείας καὶ ἐμφύτου εὐμενείας αὐτοῦ παρακινηθείς, καὶ πρὸς τοῖς ἄλλοις οὐκ εὐαριθμήτοις εὐεργετήμασιν, ὧν ἀποχρώντως παρὰ τῆς μεγαλοδώρου δεξιᾶς τῆς αὐτοῦ θεοσεβείας ἀπήλαυσα, βουληθεὶς τανῦν ἔτι μᾶλλον εὐεργετῆσαι καὶ εὐποιῆσαι τὴν ἐμὴν ἐλαχιστότητα ἐξελέξατό με καὶ ἀνελάβετο ἀπὸ τῆς ἁγιωτάτης ἐπισκοπῆς Μπουζέου καὶ διὰ τῆς δεσποτικῆς συναινέσεως ἐκδόσεώς τε καὶ εὐλογίας τῆς ὑμετέρας θειοτάτης παναγιότητος, μετὰ τὸ γενέσθαι ἐν τῇ αὐτόθι ἁγιωτάτῃ τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ τὰς κανονικὰς ψήφους κατὰ τὴν ἐκκλησιαστικὴν ὑποτύπωσιν, Θεοῦ συναιρομένου καὶ συναντιλαμβάνοντος προεβιβάσθην καὶ μετετέθην (εἰ καὶ ἀνάξιος) εἰς τὴν ἁγιωτάτην ταύτην μητρόπολιν Οὐγκροβλαχίας, μάλα πειθηνίως ὑποκλίνων τὸν αὐχένα τοῖς δεσποτικοῖς νεύμασιν τῆς ὑμετέρας παναγιότητος καὶ τοῖς ἐκλαμπροτάτοις ἐπιτάγμασι τῆς εὐσεβεστάτης ὑψηλότητος αὐτοῦ καὶ χαριστηρίους ὕμνους ἀπὸ βάθους ψυχῆς ἀναπέμψας τῷ παναγάθῳ Θεῷ, τῷ περὶ τὴν ἐμὴν ἐλαχιστότητα τηλικαύτην πρόνοιαν πεποιηκότι, δὲν ἔλειψα διὰ τοῦ παρόντος ταπεινοῦ μου γράμματος, ἁπτόμενος νοερῶς τῶν ἱερῶν κρασπέδων τῆς ὑμετέρας θεοτιμήτου παναγιότητος καὶ τὴν παναγίαν αὐτῆς δεξιὰν ἀσπαζόμενος πανευλαβῶς καὶ ταπεινοφρόνως, νὰ προσφέρω καὶ τῇ ὑμετέρᾳ παναγιότητι τὴν μετ' ἄκρας ὑποκλίσεως δουλικήν μου προσκύνησιν καὶ εὐχαριστίαν. Ἀλλ' ἐπειδὴ ἡ δύναμις τῆς ἐμῆς πτωχῆς

γλώττης εἶναι πάντη μικρὰ καὶ οὐτιδανὴ καὶ λίαν ἀτεχνέστατος ὁ ἀπὸ τῆς καρδίας μου προερχόμενος ἀχάριστος λόγος, δέομαι μόνον θερμῶς καὶ ἀνενδότως τοῦ ἁγίου Θεοῦ, ἵνα ἐπιχορηγῇ τῇ μὲν ὑμετέρᾳ θειοτάτῃ παναγιότητι μακρότητα ἡμερῶν, εἰρηνικὴν καὶ εὐδαιμονεστάτην κατάστασιν καὶ ἀδιάπτωτον διαμονὴν καὶ στερέωσιν ἐπὶ τὸν ἁγιώτατον οἰκουμενικὸν αὐτῆς θρόνον, τῷ δὲ ὑψηλοτάτῳ καὶ φιλοχρίστῳ μοι αὐθέντῃ ἀντιβραβεύσῃ τὰς ἀξίους ἀντιμισθίας καὶ χάριτας, ἀκαταμάχητον κράτος, ἀστασίαστον διαμονήν, ἐπίμονον στερέωσιν καὶ ἐρρωμενεστάτην ὑγείαν, ὑποτάττων ὑπὸ τοὺς ἐκλάμπρους αὐτοῦ πόδας πάντα δυσμενῆ καὶ πολέμιον. Ὁ αὐτὸς Κύριος, ἡ ἀνεξάντλητος ἄβυσσος πάντων τῶν θείων δωρεῶν καὶ χαρίτων διὰ τῶν παναγίων καὶ θεοπειθῶν αὐτῆς εὐχῶν καὶ διὰ τῆς ἡγεμονικῆς προστασίας καὶ κηδεμονίας τοῦ ὑψηλοτάτου καὶ θεοφρουρήτου μου αὐθέντου καὶ εὐεργέτου δώῃ καὶ τῇ ἐμῇ εὐτελείᾳ ἐξαρκοῦσαν ἰσχὺν καὶ δύναμιν εἰς τὸ ποιμᾶναι θεαρέστως τὸ ἐμπιστευθέν μοι λογικὸν τοῦ Χριστοῦ ποίμνιον καὶ κατὰ νόας ἰθύνειν αὐτὸ καὶ παραστῆσαι ἄσπιλον καὶ ἀμόλυντον ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐάρεστόν τε γενέσθαι με τῷ ὑψηλοτάτῳ μοι αὐθέντῃ καὶ πᾶσι τοῖς περὶ τὴν αὐθεντικὴν αὐτοῦ μεγαλειότητα ἐνδοξοτάτοις ἄρχουσι καὶ λοιποῖς ὑπηκόοις. Καὶ ἐπειδή, παναγιώτατέ μοι αὐθέντα καὶ δέσποτα, ὁ ὑψηλότατός μοι αὐθέντης εἶναι ὅλως ἐγκεχωμένος μὲ εἰλικρινεστάτην υἱϊκὴν ἀγάπην καὶ ἄπλετον εὐλάβειαν πρὸς τὴν ὑμετέραν παναγιότητα καὶ διαπαντὸς ἐξήρτηται τῶν πατρικῶν αὐτῆς ἐπιταγμάτων, καὶ <ἐγὼ> θέλω εἶσται ἀείποτε κατὰ τὴν ἐνοῦσάν μοι βραχυτάτην δύναμιν εὐπειθέστατος καὶ εὐπήκοος αὐτῆς δοῦλος· ἧς αἱ πανάγιαι καὶ θεοπειθεῖς αὐτῆς εὐχαὶ εἴησάν μοι ἀρωγαὶ ἐν βίῳ παντί.

## ϛʹ.

## ΕΠΙΣΤΟΛΑΙ ΜΑΚΑΡΙΟΥ ΠΑΤΜΙΟΥ.

### 14.

*Τῷ λαμπροτάτῳ, εὐσεβεστάτῳ τε καὶ γαληνοτάτῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Οὐγκροβλαχίας κυρίῳ κυρίῳ Ἰωάννῃ Μιχαὴλ τὴν δουλικὴν καὶ προσήκουσαν προσκύνησιν.*

Μετὰ πολλῆς καὶ ἀνυπερβλήτου χαρᾶς ἠκούσαμεν τὸν ἀναβιβασμὸν αὐτῆς εἰς τὸν προσήκοντα καὶ ὀφειλόμενον αὐτῇ θρόνον, ἔχοντες χρηστὰς ἐλπίδας καὶ τὰς ἀποδείξεις βεβαίας ἀπὸ τῆς πρώτης αὐτῆς ἡγεμονίας, ὅτι ἐξαπέστειλε πάλιν ἡ θεία πρόνοια παράκλησιν τοῖς τεθλιμμένοις, συνήγορον τοῖς ἀδικουμένοις, ὀφθαλμὸν τοῖς τυφλοῖς καὶ τοῖς πεινῶσι τὸν ἄρτον, τοῖς ἐκκλησιαστικοῖς τὸν κόσμον καὶ ἁπλῶς τοῖς πᾶσι τὸν πάντα γινόμενον ἀποστολικῶς. Τοιοῦτον γαληνότατον καὶ φιλοπτωχότατον ἡγεμόνα ἔδειξαν τὴν ὑμετέραν ὑψηλότητα ὄχι λόγοι ψιλοὶ κολάκων, ἀλλ' ὁ χρόνος, ἡ ἀκριβὴς βάσανος τῶν πραγμάτων. Διὰ τοῦτο καὶ χαρᾶς ἡμῖν πρόξενος ἀσυγκρίτου γέγονεν ἡ ἀποκατάστασις εἰς τὸν προσήκοντα αὐτῇ θρόνον καὶ χάριτας ἀναπέμπειν τῇ θείᾳ προνοίᾳ ἔπεισεν, ἀλλὰ δὴ καὶ διὰ τούτων τῶν εὐτελῶν γραμμάτων προσκυνῆσαι τὴν ὑμετέραν γαληνότητα· ἣν καὶ παρακαλοῦμεν δουλικῶς πάντες οἱ μονάζοντες, οἱ ἐν τῇ μονῇ τοῦ ἠγαπημένου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου, ὅπως καὶ αὖθις ἐνδείξητε τὴν ἔμφυτον αὐτῆς καλοκἀγαθίαν, καὶ καθὼς ὑπερέβαλε τοὺς πρὸ αὐτῆς ἡγεμόνας πάντας τοῖς ψυχικοῖς καὶ ἀληθέσι προτερήμασιν, οὕτως ὑπερνικήσῃ τὸ ἔλεος, οὐ μόνον ἐνεργήσας τὸ ἀρχαῖον χρυσόβουλλον, οὗπερ ἠξίωσαν οἱ πρὸ αὐτῆς ἡγεμόνες τὴν ἀποστολικὴν ταύτην μονήν, ἀλλὰ καὶ ἐπιδαψιλευόμενος προσθήκην τῆς αὐτοῦ καλοκἀγαθίας· ἐπειδὴ ὅσον οἱ καιροὶ στενοὶ καὶ ἡ νῆσος αὐτὴ ἀπαράκλητος καὶ ἀξία ἀποστολικῆς ἐξορίας καὶ τὰ φορτία τῶν χρεῶν δυσφόρητα, τόσον ἡμεῖς οἱ ἐνταῦθα μονάζοντες ἀνεπιτήδειοι εἰς περιηγήσεις καὶ τὰ κοινῶς λεγόμενα ταξίδια. Διὰ τοῦτο, πρὸς αὐτῆς τῆς ἀγάπης τοῦ ἠγαπημένου πλέον τῶν ἀποστόλων παρὰ τοῦ ἐνανθρωπήσαντος Θεοῦ Χριστοῦ, φάνηθι νέος κτίτωρ καὶ ὑπερασπιστὴς τῆς δυστυχισμένης ταύτης μονῆς, μήποτε παραρρυῶσι τὰ ἀρχαῖα τῶν θεοφιλῶν ἀναθήματα· καὶ κἂν ἡμεῖς ἀνάξιοι (ὡς εὐτελεῖς καὶ ἁμαρτωλοί) εἰς ἀμοιβὴν τὴν προσήκουσαν αὐτῇ, ἀλλ' ὁ ἀπόστολος καὶ εὐαγγελιστής, ὁ ἔφορος τῆσδε τῆς μονῆς, παρρησίαν ἔχει πολλὴν πρὸς Κύριον, καὶ αὐτὸς ἀμεί-

www.dacoromanica.ro

ψεται ἀναμφιβόλως τὴν σὴν γαληνότητα· ὃν καὶ δυσωπεῖν οὐ παυσόμεθα τοῦ λαμπροῦ αὐτῆς μνημονεύοντες ὀνόματος. Ταῦτα μετὰ τῆς δουλικῆς προσκυνήσεως τολμήσαντες γράφομεν πρὸς τὴν ὑμετέραν ἀπαράμιλλον πραότητα· ὁ δὲ φιλάνθρωπος δεσπότης διὰ πρεσβειῶν τοῦ ἀποστόλου αὐτοῦ ἀποδῴη αὐτῇ πλούσια τὰ ἐλέη του μετὰ τῶν ἐκλαμπροτάτων καὶ σοφωτάτων αὐτῆς τέκνων καὶ <τῆς> χριστιανικωτάτης καὶ εὐσεβεστάτης συζύγου εἰς ἀναψυχὴν καὶ παράκλησιν παντὸς τοῦ δυστυχισμένου ἡμῶν Γένους καὶ ἡμῶν τῶν εὐτελῶν αὐτῆς δούλων.

## 15.

*Τῷ ἐκλαμπροτάτῳ, εὐσεβεστάτῳ τε καὶ γαληνοτάτῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Μολδοβλαχίας κυρίῳ κυρίῳ Ἰωάννῃ βοεβόδᾳ τὴν δουλικὴν καὶ προσήκουσαν προσκύνησιν* [1]).

Ἀπὸ τὴν παῤῥησίαν, ἣν δεικνύετε καθ' ἑκάστην εἰς τὸν ἐκ τῆς μονῆς ἡμῶν πνευματικὸν κῦρ Γεράσιμον, καταλαμβάνομεν τὴν φιλόπτωχον αὐτῆς ψυχὴν καὶ πραότητα. Ὅθεν καὶ χάριτας ἀνεπέμψαμεν τῇ θείᾳ προνοίᾳ, ἥτις ἀνεβίβασεν αὐτὴν εἰς τοιοῦτον ἀξίωμα, ἵνα δείξῃ τοῖς πᾶσι τὸν ἐγκεκρυμμένον θησαυρὸν ἐν τῇ μακαρίᾳ αὐτῆς ψυχῇ τῆς ταπεινοφροσύνης καὶ φιλοπτωχίας. Πρὸς ταῦτα ἀφορῶντες ἐτολμήσαμεν γράψαι ταύτην τὴν δουλικὴν προσκύνησιν πρὸς τὴν ὑμετέραν ἐκλαμπρότητα ὄχι ὡς ξένοι, ἀλλ' ὡς οἰκεῖοι αὐτῆς δοῦλοι καὶ ὡς πρὸς γνήσιον καὶ θερμὸν φίλον τοῦ ἀποστόλου καὶ ἠγαπημένου ὑπὲρ τοὺς ἄλλους ἀποστόλους παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐπειδὴ πρὸς αὐτὸν τὸν ἀπόστολον ἀφορῶσα ἡ ὑμετέρα γαληνότης παῤῥησίας καὶ ἀγάπης ἠξίωσε τὸν δοῦλον αὐτοῦ, καὶ εἴθε καὶ τὴν μονὴν αὐτοῦ τοῦ ἀποστόλου ὑποδεχθείη τοῖς φιλοπτώχοις αὐτῆς σπλάγχνοις, κινδυνεύουσαν ἤδη εἰς τελείαν ἐρήμωσιν διὰ τὴν κοινὴν ἀνωμαλίαν καὶ δυστυχίαν τοῦ καιροῦ. Γενοῦ τοίνυν ὑπερασπιστὴς τῆς τοιαύτης ἀποστολικῆς μονῆς, ὑπερασπιζόμενος αὐτῆς οὐ μόνον κατὰ τὸ ἀρχαῖον χρυσόβουλλον τῶν πρὸ αὐτῆς ἡγεμόνων, ἀλλὰ καὶ κατὰ τὴν ἔμψυχον αὐτῆς φιλοπτωχίαν καὶ θερμὴν ἀγάπην, ἣν δεικνύει πρὸς τοὺς δούλους αὐτῆς· καὶ πάντως γε ὁ κοινὸς δεσπότης δυσωπούμενος ὑπὸ τοῦ ἀποστόλου καὶ ἠγαπημένου ἀποδώσει αὐτῇ τὰς ἀμοιβὰς ἑκατονταπλασίως ἔν τε τῷ παρόντι καὶ μέλλοντι· ὃν δὴ καὶ ἡμεῖς δυσωπεῖν, μνημονεύοντες τοῦ ἐκλαμπροτάτου αὐτῆς ὀνόματος, οὐδέποτε παυσόμεθα. Ταῦτα χάριν τῆς ὀφειλομένης δουλικῆς προσκυνήσεως· ὁ δὲ τῶν ὅλων πρύτανις διατηροίη αὐτὴν εἰς τὸν ἐκλαμπρότατον αὐτῆς θρόνον ἄνοσον, ἀτάραχον ἄχρι βαθυτάτου γήρως, εἰς ἀναψυχὴν πολλῶν καὶ τῆς ἀρχαιοτάτης ταύτης μονῆς Ἰωάννου τοῦ Θεολόγου, τοῦ ἐξορισθέντος ποτὲ ἐν τῇ δυστυχεστάτῃ καὶ ἀνίκμῳ ταύτῃ νήσῳ.

## 16.

*Τῷ εὐγενεστάτῳ, χρησιμωτάτῳ καὶ χριστιανικωτάτῳ κυρίῳ κῦρ Σκαρλάτῳ τὸν ἐν Χριστῷ τῷ Θεῷ ἀσπασμὸν σὺν τῷ «Χριστὸς ἀνέστη», τῷ σωτηρίῳ ἀσπασμῷ.*

Καὶ ἄλλοτε ἐτόλμησα διὰ εὐτελῶν μου γραμμάτων νὰ πληρώσω τὸν χρεωστούμενον ἀσπασμὸν εἰς τὴν σὴν τιμιότητα, καὶ τώρα μὲ παρακινεῖ πολλὰ νὰ γράψω τὸ παρόν, πρῶτον τὰ εὐγενικά σου σπλάγχνα καὶ δεύτερον ἡ μεγάλη συμφορὰ τοῦ ἐπιφέροντος τὸ παρὸν ἱερέως· τρίτον τὸ πολυεύσπλαγχνον ῥουφέτι τῶν γουναράδων, τὸ ὁποῖον ἡ πολυκαιρία καὶ ἡ δοκιμὴ τῶν πραγμάτων μαρτυρεῖ, ὅτι εἶναι κοινὸς λιμὴν τῶν χειμαζομένων, παρηγορία τῶν τεθλιμμένων, ἄνεσις καὶ ἀναψυχὴ πάντων τῶν χριστιανῶν, ἐλευθερία κοινὴ τῶν αἰχμαλώτων, καταφυγὴ τῶν πενήτων. Τοιοῦτον ἐγνώρισαν πάντες οἱ ὀρθόδοξοι τὸ ῥουφέτι τῶν γουναράδων. Διὰ ταῦτα τὰ αἴτια ἀποτολμῶ καὶ ἐγὼ καὶ πέμπω εἰς τέτοιον κοινὸν λιμένα τὸν παρόντα ἱερέα Βασίλειον, ὁ ὁποῖος ἀληθῶς ἔγινεν αἰχμάλωτος μὲ ὅλον του τὸν οἶκον ἀπὸ τοὺς ἀσπλάγχνους Μπαρμπαρέσους, καθὼς μᾶς ἐφανέρωσε διὰ γράμματος ὁ περιβόητος ἀληθινὸς πατὴρ κῦρ

---

[1]) Ἐν τῇ ᾤᾳ τοῦ κώδικος ὁ γραφεὺς ἐσημείωσε ταῦτα· «Ἰστέον, ὅτι εἰς τὰς ἐπιστολὰς τῶν αὐθεντῶν τῆς Οὐγκροβλαχίας, τῆς κοινῶς λεγομένης Βλαχίας, καὶ τῆς Μολδοβλαχίας, τῆς λεγομένης κοινῶς Μπογδανίας, πρὸ τοῦ κυρίου ὀνόματος δεῖ γράφειν τὸ *Ἰωάννη*».

www.dacoromanica.ro

'Αγάπιος. Λοιπὸν δόσε τὸν χρεωστούμενον ἀσπασμὸν εἰς ὅλον τὸ ῥουφέτι τῶν τιμιωτάτων γουναράδων ἀπὸ μέρος μας, καὶ ἂς ἠξεύρουν ὅτι τὸ σχολεῖον τὸ ἐν τῇ Πάτμῳ, ἂν καλὰ καὶ νὰ εἶναι κτίριον τοῦ εὐγενεστάτου κυρίου Μανολάκη, ὅμως ἡμεῖς τὸ κηρύττομεν ὅτι εἶναι τῶν γουναράδων. Ὅθεν καὶ ὅσα τίμια, ὅσα πρόξενα τῆς ψυχικῆς ἡμῶν σωτηρίας δὲν θέλομεν παύσει νὰ φροντίζωμεν, διὰ νὰ προξενήσωμεν εἰς ὅλον τὸ ῥουφέτι. Διὰ τοῦτο καὶ πέμπομεν τὸν πολλὰ δυστυχισμένον τοῦτον ἱερέα εἰς τὰ φιλάνθρωπα σπλάγχνα τὰ ἐδικά σας καὶ ἡ ἀναξιότης ἡ ἐδική μας, παρακαλῶ, ἂς μὴν κλείσῃ τὸν κοινὸν λιμένα τοῦ ῥουφετίου· ἀλλὰ φανῆτε καὶ εἰς αὐτὸν τὸν ἱερέα ἐκεῖνο ὁποῦ σᾶς κηρύττει ὅλος ὁ κόσμος, κοινοὶ πατέρες, κοινὴ παρηγορία πάντων τῶν λυπημένων· καὶ ἂς εἶστε βέβαιοι, ὅτι αὐτὸ θησαυρός, αὐτὸ πλοῦτος, αὐτὸ δόξα, αὐτὸ τιμή, αὐτὸ πραγματεία, αὐτὸ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, τὸ νὰ μιμῆται τινὰς τὴν ἐλεημοσύνην τοῦ Θεοῦ· ὅτι ἐκεῖνος μόνος φύσει ἐλεήμων καὶ οἰκτίρμων, ἡμεῖς δοῦλοι καὶ οἰκονόμοι καὶ κυβερνῆται τῶν παρὰ τοῦ Θεοῦ δεδομένων. Τὸ ἠκούσατε πολλάκις καὶ ἀπὸ πολλούς, ὅτι «ὁ βαλὼν ἐν τῇ χειρὶ τοῦ πένητος εὑρήσει ἐν τῇ παλάμῃ τοῦ κριτοῦ», καὶ ὅτι «ἐλεημοσύνη καλύπτει πλῆθος ἁμαρτιῶν», καὶ ὅτι «ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ». Καὶ ἄλλας πολλὰς φωνὰς τοιαύτας μᾶς ἔπεμψεν ὁ φιλάνθρωπος Θεός, διὰ νὰ μᾶς παρακινήσῃ εἰς αὐτὴν τὴν τέχνην τῶν τεχνῶν, τὴν ἐλεημοσύνην λέγω, τὸ χρυσὸν κλειδὶ τοῦ Παραδείσου, τὸ σημεῖον τῆς εὐγενείας τὸ ἀψευδέστατον, τὸ ὁποῖον ἔχει ἀληθῶς τὸ χριστιανικώτατον καὶ εὐγενέστατον ῥουφέτι τῶν γουναράδων. Διὰ τοῦτο καὶ ἡμεῖς καυχώμεθα πῶς εἴμεσθε ἀπὸ τέτοιον ῥουφέτι καὶ μὲ θάῤῥος πέμπομεν τὸν πολλὰ δυστυχισμένον καὶ κατὰ πολλὰ πληγωμένον ἱερέα τοῦτον Βασίλειον, καὶ ἂς εἶστε βέβαιοι ὅτι καθὼς σᾶς διηγηθῇ τὴν συμφοράν του, οὕτως ἔχει ἡ ἀλήθεια· ἐπειδὴ ὄχι μόνον ἔχομεν τὴν μαρτυρίαν ἀπὸ τὸν κὺρ 'Αγάπιον, ὁποῦ προεῖπα, ἀλλὰ καὶ κάποιος Χατζῆ Θεοδωρῆς καραβοκύρης ἐλευθέρωσε καὶ ἤφερεν ἐδῶ μίαν ψυχὴν ἀπὸ τὰς δεκατρεῖς, ὁποῦ αἰχμαλωτίσθησαν, αὐτοῦ τοῦ ἱερέως. Λοιπὸν ἐνδύσασθε σπλάγχνα οἰκτιρμῶν κατὰ τὴν συνήθειάν σας καὶ ὁ μισθαποδότης, ὁ χρεωφειλέτης ἐκεῖνος κτλ.

## Ζ'.

## ΑΙΤΗΣΙΣ ΣΟΥΜΕΛΙΩΤΩΝ ΠΡΟΣ ΜΙΧΑΗΛ ΡΑΚΟΒΙΤΣΑΝ.

### 17.

*Ὑψηλότατε καὶ θεοσεβέστατε ἡμῶν αὐθέντα, τὴν ὑμετέραν ὑψηλότητα ταπεινῶς ἐπευχόμενοι τὴν δουλικὴν καὶ ἐδαφιαίαν αὐτῇ ἀποδιδόαμεν προσκύνησιν.*

Θερμῶς τῆς παναγίας τρισυποστάτου θεότητος δεόμενοι, ὅπως διαφυλάττῃ καὶ περιφρουρῇ αὐτὴν ἐν ἄκρᾳ ὑγιείᾳ καὶ ἀμεταπτώτῳ εὐδαιμονίᾳ πρεσβείαις τῆς ὑπεραγίας ἡμῶν Θεοτόκου τῆς ἐπονομαζομένης Σουμελᾶς, τῶν τε ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Βαρνάβα Σωφρονίου καὶ ἱεροῦ Χριστοφόρου, τῶν κτητόρων τῆς ἁγίας μονῆς ταύτης, ἐπιστηρίζοι τε αὐτὴν εἰς τὸν ὑψηλότατον καὶ πανευδαιμονέστατον τῆς φιλοχρίστου αὐτῆς αὐθεντίας ἡγεμονικὸν αὐτῆς θρόνον ἀσινῆ τε καὶ ἀπήμαντον εἰς ἀπειροστὴν ἡλίου περίοδον, μετὰ τῆς εὐσεβεστάτης καὶ ἐκλαμπροτάτης κυρίας δόμνης καὶ τῶν ἐκλαμπροτάτων καὶ περιβλέπτων μπεϊζαδέδων καὶ δομνιτζῶν, συνάμα τοῖς τῆς καθ' ὑμᾶς θεοστηρίκτου ἡγεμονίας εὐγενεστάτοις ἄρχουσι καὶ πιστοῖς θεράπουσι. Μαθόντες τὴν φιλάνθρωπον καὶ θεοσεβῆ αὐτῆς γνώμην καὶ ἣν σῴζει περὶ τὰ θεῖα θερμὴν ὑπεράσπισιν καὶ βοήθειαν ἔγκαιρον, πάντοθεν ταλαιπωρούμενοι καὶ θλιβόμενοι ἡμεῖς οἱ ἐλάχιστοι εὐχέται καὶ ταπεινοὶ δοῦλοι τοῦ ὕψους της, οἱ ἐν τῇ ῥηθείσῃ ἱερᾷ καὶ σεβασμίᾳ βασιλικῇ μονῇ τῆς ἀειπαρθένου καὶ ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου, Παναγίας Σουμελᾶ, ἐνασκούμενοι ἱερομόναχοί τε καὶ μοναχοί, μὲ τὸ νὰ ὑπέπεσε τὸ ἱερὸν ἡμῶν μοναστήριον εἰς χρέη πολλὰ καὶ δυσβάστακτα ἐξ αἰτίας τῶν διαφόρων καιρικῶν περιστάσεων καὶ κινδυνεύει νὰ καταντήσῃ εἰς ἀθλίαν καὶ ἀξιοδάκρυτον δυστυχίαν διὰ τοὺς περικαθημένους Ζορπάδας καὶ ἀλλεπαλήλλους ἀγκαρίας, ὡσὰν ὁποῦ δὲν διαρκεῖ διὰ τὰς τοιαύτας αἰτίας νὰ κρατήσῃ τοὺς ἐν αὐτῇ οἰκοῦντας καὶ κλίνει (φεῦ) εἰς ἐρήμωσιν· ὅθεν οὐδαμόθεν ἔχοντες βοη-

www.dacoromanica.ro

www.dacoromanica.ro



θείας τινὸς ἐλπίδα, ἢ εἰσοδήματος ἢ συνδρομῆς ἱκανῆς, καὶ μὴν ἠμποροῦντες ἄλλως πως νὰ κάμωμεν. διὰ νὰ παραμένωμεν καὶ νὰ φυλάττωμεν ἐκεῖνα ὁποῦ ἀπὸ τοσούτους αἰῶνας τῶν ἀοιδίμων κτητόρων Ἀλεξίου τοῦ Μεγάλου Κομνηνοῦ καὶ Ἀνδρονίκου καὶ τῶν ἄλλων ἐφυλάχθησαν θεῖα καὶ ἱερὰ προσκυνήματα μὲ τὴν βοήθειαν καὶ συνδρομὴν τῶν εὐσεβεστάτων χριστιανῶν καὶ τοῖς ἱεροῖς χρυσοβούλλοις τῶν γαληνοτάτων καὶ φιλοχρίστων αὐθεντῶν, θαῤῥοῦντες δὲ ἢ μᾶλλον εἰπεῖν πεποιθότες τοῖς θεοσεβεστάτοις ὑμῶν σπλάγχνοις θερμῶς προσπίπτομεν καὶ γονυκλιτῶς δεόμεθα, ὁποῦ νὰ ἐπιβλέπῃ μὲ ἱλαρὸν καὶ εὐμενὲς ὄμμα ἐκείνους ὁποῦ κοινῇ γνώμῃ πάσης τῆς ἱερᾶς συνάξεως πέμπομεν αὐτόθι ἐν Χριστῷ ἡμῶν ἀδελφοὺς ὁσιωτάτους ἐν ἱερομονάχοις, Ἱλαρίωνα καὶ Ἰγνάτιον· δι' ὧν προσπίπτομεν γονυκλιτῶς εἰς τὸ αὐθεντικὸν αὐτῆς ἔλεος, παρακαλοῦντες θερμῶς τὸ θεοσεβέστατον ὕψος της, ἵνα διαδίδωται ἐπὶ τῆς πανεκλάμπρου αὐτῆς αὐθεντίας τὸ ἐκ τῶν αὐθεντικῶν ὄκνων διδόμενον ἔλεος εἰς τοὺς κατὰ καιροὺς ἐπιτρόπους ἡμῶν, ὁποῦ ἐντεῦθεν νὰ ἔχῃ ἐλάφρωσιν τὸ ἅγιον ἡμῶν μοναστήριον ἀπὸ τὰ βαρύτατα χρέη· ἕξει δὲ πάντως ἀντὶ τούτων τὸ θεοστήρικτον αὐτῆς ὕψος τὴν δέσποιναν κυρίαν ἡμῶν τὴν Ὁδηγήτριαν ἀειπάρθενον Μαρίαν ἄμαχον βοήθειαν καὶ κραταιὰν ἀντίληψιν, εἰς τὸ νὰ ἐπιχορηγῇ αὐτῇ τὰ οὐράνιά τε καὶ ἐπίγεια ἀγαθά· ἧς ταῖς πρὸς τὸν υἱὸν αὐτῆς πρεσβείαις εἴθε διαμένοι τὸ ὕψος της ἐπὶ τοῦ ἡγεμονικοῦ καὶ πανεκλάμπρου αὐτῆς θρόνου ἄσειστόν τε καὶ ἀνεπηρέαστον εἰς παμπληθεῖς ἐνιαυτῶν περιόδους. Ἀμήν.

Τῆς ὑμετέρας θεοσεβεστάτης γαληνότητος ἐλάχιστοι δοῦλοι.

Ἡ ἐπάνω ἐπιγραφή:

Τῷ ὑψηλοτάτῳ, εὐσεβεστάτῳ καὶ φιλοχρίστῳ αὐθέντῃ καὶ ἡγεμόνι πάσης Οὐγκροβλαχίας κυρίῳ κυρίῳ Μιχαὴλ προσκυνητῶς.

## 18.

(1821, κατὰ μῆνα Ἀπρίλιον?).

## ΕΠΙΣΤΟΛΗ ΚΑΛΛΙΠΟΛΙΤΩΝ ΠΡΟΣ ΤΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΓΡΗΓΟΡΙΟΝ Ε'.

Τὴν ὑμετέραν θειοτάτην καὶ σεβασμιωτάτην ἡμῖν παναγιότητα σὺν τῇ περὶ αὐτὴν ἁγίᾳ καὶ ἱερᾷ συνόδῳ δουλικῶς προσκυνοῦμεν καὶ πανευλαβῶς τὴν παναγίαν καὶ χαριτόβρυτον αὐτῆς δεξιὰν ἀσπαζόμεθα.

† Ἣν καὶ διατηροίη ὁ πανάγαθος Θεὸς ἄκρως ὑγιαίνουσαν καὶ πανευημεροῦσαν ἀμεταπτώτως μετὰ μακροβιότητος καὶ δαψιλοῦς ἐπιτεύξεως πάντων ὧν ἐφίεται ἀγαθῶν καὶ σωτηριωδῶν, πρὸς σύστασιν καὶ ἀντίληψίν τε καὶ περίθαλψιν τῶν πτωχῶν καὶ ταπεινῶν ἡμῶν δούλων αὐτῆς καὶ παντὸς τοῦ Γένους, ἁπάντων πιστῶν ῥεαγιάδων καὶ δούλων εὐτελῶν τῆς κραταιοτάτης βασιλείας (ἧς τὸ κράτος εἴη διαιωνίζον καὶ θριαμβεῦον εἰς αἰῶνας). Μετὰ δὲ τὰς δουλικὰς ἡμῶν προσκυνήσεις ἀναφέρομεν τῇ ὑμετέρᾳ θειοτάτῃ παναγιότητι, ὅτι ὑπτίαις χερσὶν ἐκομισάμεθα τὰς ὑμετέρας πατριαρχικὰς καὶ συνοδικὰς προσκυνητὰς ἡμῖν ἐπιστολάς, συμβουλευτικὰς διὰ τὴν θεάρεστον καὶ σωτήριον ἐντελῆ πίστιν καὶ σαδακάτι, ὁποῦ μετ' ἄκρας ὑποταγῆς πρέπει νὰ διασῴζωμεν ἔχοντες εἰς τὸ ὑψηλὸν δεβλέτι (οὗ τὸ κράτος εἴη διαιωνίζον καὶ θριαμβεῦον εἰς αἰῶνας) καὶ νὰ ἀποδεικνύωμεν τὴν ἀθωότητα ἡμῶν ἄμεμπτον κατά τε τὸ ῥεαγιαδικὸν ἡμῶν χρέος καὶ ὡς αἱ ἱεραὶ παραγγέλλουσιν Γραφαί, ἀντίθεον ἄντικρυς ἀποφαίνουσαι τὸν μὴ πειθόμενον τῇ παρὰ Θεοῦ τεταγμένῃ ἡμῖν βασιλείᾳ καὶ ἐξουσίᾳ. Ἰδεοποίουν προσέτι ἡμᾶς αἱ ῥηθεῖσαι ἐπιστολαὶ καὶ περὶ τοῦ ἀθεεὶ τολμηθέντος τολμήματος καὶ πάσης γέμοντος μωρίας ἀχαριστίας καὶ κακονοίας τοῦ προχρηματίσαντος (ὡς μὴ ὤφελε) ἡγεμόνος Μολδαβίας κακοβούλου Μιχαήλ, ὁμοῦ μετὰ τοῦ Ἀλεξάνδρου Ὑψηλάντου, καὶ ὅτι διέσπειραν οὗτοι καὶ γράμματα καὶ ἀποστόλους ἀπέστειλαν αὐτῶν εἰς διάφορα μέρη, διὰ νὰ ἀπλώσωσι λόγους εἰς τὸ πλῆθος νὰ διαταράξωσι τὴν κοινὴν εἰρήνην, νὰ ἐξαπατήσωσι καὶ νὰ ἐφελκύσωσιν εἰς τὸν ἴδιον τῆς ἀπωλείας κρημνὸν (ἂν δυνηθῶσι) καί τινας τῶν ὁμογενῶν ἁπλουστέρους τὸν τρόπον, ἢ μὴ γινώσκοντας τὸ εἶναι αὐτῶν οὐδὲ τὸ συμφέρον ἑαυτοῖς. Προσεταττόμεθα ἐπο-

μένως κατὰ τὸν ὑψηλὸν προσκυνητὸν ὁρισμόν, ὡς ἂν πιασθῶσι γράμματα αὐτῶν, ἢ ἂν φανῶσι τοιοῦτοι ἐνταῦθα, νὰ προσέχωμεν ἀτενῶς καὶ νὰ πιάνωμεν αὐτοὺς καὶ νὰ παραδίδωμεν εἰς τὸν ἀρχιερέα ἡμῶν, ἢ εἰς τὴν ἱερὰν βασιλικὴν κρίσιν, καὶ νὰ ἐμφανίζωμεν καὶ εἰς τὴν κοινὴν ἡμῶν μητέρα ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν τὰ περὶ αὐτῶν, ἀποδεικνύοντες οὕτως ἐμπράκτως σταθερὰν τὴν πίστιν ἡμῶν, εἰλικρινὲς τὸ ῥεαγιαλίκι καὶ εὐχάριστον διάθεσιν εἰς τὰ ἄπειρα ἐλέη καὶ εὐεργεσίας καὶ χάριτας, ὁποῦ καθ' ἑκάστην ἀπολαμβάνομεν παρὰ τῆς εὐσπλαγχνικωτάτης κραταιᾶς βασιλείας. Εὐθὺς οὖν ὁποῦ ἐλάβομεν τὰς ἐπιστολὰς ταύτας, συναχθέντες ἀπὸ ἐκκλησίας εἰς ἐκκλησίαν ἀνέγνωμεν αὐτὰς εἰς ἐπήκοον πάντων· καὶ εἰς τὰ πέριξ χωρία ὁμοίως διενεργήσαμεν· ὧν καὶ ἀναγινωσκομένων, πάντες ὡς πιστότατοι καὶ εὐγνωμονέστατοι δοῦλοι καὶ ῥεαγιᾶδες, γνόντες ἀκριβῶς τὰ γραφόμενα, ὑπεκλίναμεν τὸν αὐχένα· καὶ τὰ πρόσωπα ἡμῶν ἐγγίσαντες πρὸς γῆν καὶ προσκυνοῦντες ὑψώσαμεν φωνὰς ἱκετηρίους πρὸς τὸν παντάνακτα Θεόν, δεόμενοι αὐτοῦ ὁλοκαρδίως, ἵνα διαιωνίζῃ τὸ κράτος τῆς βασιλείας θριαμβεῦον εἰς αἰῶνας, περιέπῃ τε καὶ διατηρῇ τὸν πολυχρόνιον καὶ κραταιότατον παγκόσμιον ἄνακτα, γαληνότατόν τε καὶ εὐσπλαγχνικώτατον βασιλέα καὶ σεφκατλῆ ἐφέντην ἡμῶν σουλτὰν Μαχμοὺτ-χάν, εἰς αἰωνίαν διαμονὴν κράτος τε καὶ στερέωσιν, ἀνώτερον παντὸς ἀνιαροῦ, νικητήν, θριαμβευτὴν καὶ τροπαιοῦχον κατὰ πάντων τῶν ἀντικειμένων τῷ αὐτοῦ κράτει, ἐνισχύων καὶ ἐφαπλῶν τὰ θριαμβευτικὰ αὐτοῦ ὅπλα ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης· καὶ τὸ «Ἀμὴν» εὐθὺς ἐπισυνάψαντες ἀνεπέμψαμεν πρὸς τὸν ἐπουράνιον Κύριον φωναῖς ἀναβαινούσαις ἕως εἰς τὸν οὐρανόν, προσεπιδεόμενοι τῆς αὐτοῦ ἀγαθότητος, ἵνα ἀξιοῖ ἡμᾶς κατὰ τὸν διακαῆ πόθον ἡμῶν νὰ μένωμεν στερεοὶ εἰς τὸ ῥεαγιαλίκι καὶ ἀπαρασάλευτοι αἰωνίως, καὶ νὰ ἀπολαμβάνωμεν ἡμεῖς τε καὶ οἱ ἀπόγονοι ἡμῶν ἀείποτε τὰ ἄπειρα ἐλέη, τὰς χάριτας καὶ εὐεργεσίας, ἃς καὶ ἐξέχεε καὶ ἐκχέει πρὸς ἡμᾶς εὐμενῶς ὡς ἀπὸ ἀκενώτου πηγῆς εὐσπλαγχνίας ἡ τροφὸς καὶ εὐεργέτις ἡμῶν κραταιὰ καὶ ἀήττητος βασιλεία. Καὶ ἑπομένως ὅ τε ἀρχιερεὺς καὶ πιστὸς δοῦλος τῆς κραταιᾶς βασιλείας μετὰ τοῦ ἱερατείου, οἱ πρόκριτοί τε καὶ προεστῶτες καὶ πάντες οἱ ῥεαγιᾶδες συνελθόντες αὖθις ἀπό τε Καλλιουπόλεως, ὁμοίως καὶ τῶν χωρίων τῆς ἐπαρχίας ταύτης, ἐγενόμεθα ἐγγυηταὶ καὶ μουτὲ-κεφίληδες εἷς ὑπὲρ τοῦ ἄλλου· καὶ οὕτως ἀναπέμψαντες καὶ αὖθις εὐχὰς πρὸς Κύριον ὑπὲρ τῆς κραταιᾶς βασιλείας, ἵνα διαιωνίζῃ καὶ θριαμβεύῃ (αὐτὴν) εἰς αἰῶνας, ὑποσχόμεθα διὰ τῆς παρούσης κοινῆς ἡμῶν ἀναφορᾶς νὰ διατηρῶμεν πίστιν καὶ σαδακάτι στερεὸν καὶ ἀπαρασάλευτον, ὡς ἀπαιτεῖ ὁ χαρακτὴρ τοῦ ῥεαγιαλικίου, εὐπείθειαν καὶ ὑποταγὴν σταθερὰν εἰς τὸ ὑψηλὸν δεβλέτι, ὄντες πιστοὶ ῥεαγιᾶδες καὶ μουτὲ-κεφίληδες εἷς ὑπὲρ τοῦ ἄλλου καὶ ὑπερευχαριστοῦντες τῇ κραταιᾷ βασιλείᾳ καὶ διὰ τὰ ἤδη δειχθέντα πρὸς ἡμᾶς ἐλέη καὶ διὰ τὰς ἀπείρους χάριτας καὶ εὐεργεσίας, ἃς καθ' ἑκάστην ἀπολαμβάνομεν παρὰ τῆς εὐσπλαγχνικωτάτης αὐτῆς πρὸς ἡμᾶς περιθάλψεως· τοὺς δὲ ἀντιπράττοντας εἰς τὸ κραταιὸν καὶ ἀήττητον δεβλέτι ἀντιθέους ὑπολαμβάνοντες, τὰς παλαμναιοτάτας ἀρὰς κατ' αὐτῶν καὶ αὐτὸ τὸ ἀνάθεμα προσεπιφωνοῦμεν καὶ προσεκτικωτάτην τὴν ἐπιμέλειαν καταβάλλομεν, ἵνα πιάσωμεν γράμματα, ἢ τοιούτους ἀσεβεῖς κακόνους, καὶ παραδῶμεν τοῖς πολυχρονίοις ἡμῶν αὐθένταις. Ὅμως ἐνταῦθα εἰς τὸν καζᾶν μας ἐλέει θείῳ τοιοῦτοι κακοήθεις ἀχάριστοι, ὥστε μὴ γινώσκειν ἑαυτοὺς καὶ τὸ χρέος τοῦ ῥεαγιαλικίου, οὐδεὶς εὑρίσκεται. Πάντες ταπεινοὶ καὶ εὐγνώμονές εἰσι καὶ πιστοί, εὐπειθεῖς ῥεαγιᾶδες, ἐνεργοῦντες ἐμπράκτως τὰ χρέη τοῦ ῥεαγιαλικίου, τιμῶντες τοὺς ἐχλῆ-ἰσλάμηδες καὶ μετ' αὐτῶν συμφώνως καὶ κοσμίως συναναστρεφόμενοι, καθὼς πρὸς πλείω πληροφορίαν τοῦ ῥεαγιαλικίου ἡμῶν, ἂν ἀγαπᾷ, τὸ ὑψηλὸν δεβλέτι ἐρωτᾷ τόν τε ἐνδοξότατον καὶ πανέκλαμπρον ἀγιάνην ἡμῶν καὶ τοὺς ἐχλῆ-ἰσλάμηδες περὶ ἡμῶν· οἵτινες καὶ ἤδη, ὅσοι πραγματευόμενοι περιερχόμεθα εἰς τὰ ἔξω καὶ διὰ τοῦτο μεταχειριζόμεθα ὅπλα τινὰ καὶ ἅρματα πρὸς διαφύλαξιν τῆς πορείας, ἀκούσαντες τὰ τρέχοντα, χωρὶς νὰ αἰτηθῶμεν αὐτά, αὐτοπροαιρέτως προσήλθομεν πρὸς τὸν ἐνδοξότατον καὶ πανέκλαμπρον ἀγιάνην ἡμῶν Χασὰν-πεῆ ἐφέντην μας, καὶ παρακαλέσαντες ἐνεχειρίσαμεν αὐτὰ τῇ αὐτοῦ ἐνδοξότητι, ἵνα μένωσι παρ' αὐτῷ· καὶ ἂν ποτε μέλλωμεν ἐξακολουθήσειν ταξίδιον, νὰ λαμβάνωμεν αὐτὰ πρὸς καιρόν. Προσπίπτοντες δὲ εἰς τὰ φιλάνθρωπα σπλάγχνα τοῦ ὑψηλοῦ δεβλετίου δεόμεθα θερμοτάτοις τοῖς δάκρυσιν, ἵνα γνωρίζῃ ἡμᾶς

www.dacoromanica.ro

δούλους εὐπειθεῖς καὶ πιστοὺς ῥεαγιάδες αὐτοῦ, καὶ διασώζῃ ἀπαραμείωτον τὴν πρὸς ἡμᾶς εὐσπλαγχνικωτάτην εὐμένειαν, καὶ νὰ ἐκχέῃ ἐφ' ἡμᾶς ἄφθονα τὰ ἐλέη καὶ τὰς συνήθεις εὐεργεσίας καὶ χάριτας τῆς θεοδωρήτου μεγαλοδωρίας αὐτοῦ, οὗ τὸ κράτος εἴη ἀήττητον, διαιωνίζον καὶ θριαμβεῦον εἰς αἰῶνας· αἱ δὲ πανάγιαι καὶ θεοπειθεῖς πατρικαὶ ἡμῖν εὐχαὶ καὶ εὐλογίαι τῆς ὑμετέρας θειοτάτης παναγιότητος εἴησαν ἡμῖν φύλακες καὶ ἀρωγοὶ διὰ βίου παντός.

Τῆς ὑμετέρας θειοτάτης παναγιότητος δοῦλοι ταπεινοὶ καὶ ἐγγυηταὶ καὶ μουτεκεφίληδες εἰς ὑπὲρ τοῦ ἄλλου.

---

www.dacoromanica.ro

## ΙΕ΄.

# ΔΙΑΦΟΡΑ ΕΓΓΡΑΦΑ.

www.dacoromanica.ro

# ΔΙΑΦΟΡΑ ΕΓΓΡΑΦΑ.

1.

† Ῥωξάνδρα δέσποινα πιστὴ ἐν Χριστῷ τῷ Θεῷ, δούλη δὲ τῆς θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς δεσποίνης καὶ κυρίας ἡμῶν, σύζυγος εὐσεβῶς καὶ νομίμως κατὰ τοὺς θείους καὶ ἱεροὺς νόμους τοῦ εὐσεβοῦς καὶ ὀρθοδοξοτάτου αὐθεντὸς Ἰωάννου Ἀλεξάνδρου βοεβόδα πάσης γῆς Μολδοβλαχίας, τοῦ ἐπονομασθέντος εἰς τὸ θεῖον καὶ ἀγγελικὸν σχῆμα Παχουμίου δούλου τοῦ Θεοῦ.

Εἰς δόξαν Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τῷ καιρῷ ἐκείνῳ ἐν ἔτει ͵ζοζ $\left(\frac{1568}{1569}\right)$, τότε ὅτε ὁ σουλτὰνΣελίμη, ἐλιαντζῆς ὀνομαζόμενος Μουσταφᾶ τζελεπῆς ἐλθὼν μετὰ βασιλικοῦ ὁρισμοῦ ἐπώλησε πάντα τὰ μοναστήρια, τά τε κινητὰ πάντα καὶ ἀκίνητα αὐτῶν. Τότε οὖν ἐλθόντες οἱ ἐκ τῆς ἁγίας μονῆς τοῦ Καρακάλλου εὑρισκόμενοι ἱερομόναχοι καὶ μοναχοὶ ἔκλαυσαν πικρῶς τὴν ἀδικίαν αὐτῶν καὶ τὸν τέλειον ἀφανισμόν· καὶ οὐκ ἔχοντες ἀλλαχοῦ που τὴν κεφαλὴν κλῖναι, εἰ μὴ πρὸς ἡμᾶς, εὐσπλαγχνίσθη ἡ ἐμὴ ἐξουσία τὰ μέγιστα ἀκούσασα ταῦτα· διὸ καὶ δέδωκα αὐτοῖς τοῖς ῥηθεῖσι μοναχοῖς χρήματα ἱκανὰ εἰς τὸ ἐλευθερωθῆναι τὰ τοῦ μοναστηρίου κτήματα, καὶ δέδωκα χιλιάδας ἄσπρα λε, ἤτοι τριάκοντα πέντε, ἕνεκα ψυχικῆς σωτηρίας. Οἱ δὲ ῥηθέντες μοναχοὶ ὑπεσχέθηκαν, ὅπως ποιήσωσιν ἕνεκεν ἐμοῦ μνημόσυνα ἓξ τὸ κατ᾽ ἔτος μέχρι τῆς συντελείας τοῦ κόσμου, τὴν ἑορτὴν τοῦ μεγάλου μου Νικολάου ἀγρυπνία διὰ παντὸς εἰς τὸν αἰῶνα τὸν ἅπαντα, κἄν τε πολλοὶ ὦσι, κἄν τε ὀλίγοι μέχρι ἑνὸς ἢ δύο. Διὸ καὶ δεσμὸν ποιήσαντες αὐτοθελῶς, ὅστις τῶν καθευρεθέντων μοναχῶν ἐν τῇ ἁγίᾳ ἐκείνῃ μονῇ τοῦ Καρακάλλου, τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων, ἀμελήσει τὸ τοιοῦτον, ὁ τοιοῦτος ἀφωρισμένος γενήσεται ἀπὸ Θεοῦ παντοκράτορος, καὶ ἐχέτω τὰ ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων ἡμῶν τῶν ἐν Νικαίᾳ συνόδων.

Καὶ οὕτως ὑπεσχέθημεν καὶ ἐντελλόμεθα ἀλλήλοις κατὰ διαδοχήν.

*Οἱ ἐκ τῆς ἁγίας μονῆς τοῦ Καρακάλλου ἐν τῷ Ἁγιωνύμῳ Ὄρει.*

2.

(Ἀρχιεπισκόπου Σινᾶ γράμμα περὶ τῆς μονῆς Ῥιμνίκου).

Ὁ παντοκράτωρ Θεός, ἂν καλὰ καὶ νὰ μὴν χρειάζεται καμμίαν ἄλλην τινὰ κατοικίαν ἔξω ἀπὸ λόγου του καὶ ἀπὸ τὴν ἐδικήν του οὐσίαν καὶ φύσιν, ἐπειδὴ καὶ πάντοτε ἀναπαύεται αὐτὸς ἐν ἑαυτῷ ἀϊδίως, ἀλλ᾽ ὅμως οἰκείᾳ φιλανθρωπίᾳ τὸν ὁρώμενον τοῦτον τεκτηνάμενος κόσμον λέγεται πῶς νὰ ἔχῃ θρόνον καὶ κατοικίαν τὸν οὐρανόν, χωρὶς ὅμως νὰ λείψῃ ἀπὸ τὴν γῆν καὶ τὰ κάτω (ὡς καθὼς τὸ λέγει καὶ μόνος του διὰ τοῦ προφήτου· «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον»)[1], ὡς συνεκτικὸς καὶ κυβερνήτης πάντων τῶν οὐρανίων καὶ ἐπιγείων. Αὐτὸς ὁ δημιουργὸς τῶν ὅλων Θεὸς ἠθέλησεν νὰ ἔχῃ καὶ ἄλλην κατοικίαν ἐπὶ τῆς γῆς ὄχι δι᾽ ἄλλο, παρὰ δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμῶν σωτηρίαν, ὁποῦ κατοικοῦμεν τὴν γῆν· ὅθεν καὶ

---

[1]) Ἡσαΐου ξς', 1.

www.dacoromanica.ro

ἅπασαν, ὅση ἦν αὐθεντική, ἵνα λαμβάνῃ τὸ μοναστήριον τοῦ λοιποῦ πᾶσαν τὴν ὁπωσοῦν δεκατίαν ἐξ αὐτῆς ὁλόκληρον, ὡς δήπου ἐλάμβανον αὐτὴν οἱ ἐν τῇ γράκᾳ αὐθεντικοὶ στόλνικοι· οὐ μὴν ἀλλὰ καὶ ἀγρεύῃ τὴν εἰρημένην μπάλταν μόνος ὁ ἐπίτροπος τοῦ ἡγουμένου τοῦ αὐτοῦ μοναστηρίου, οἱ δὲ στόλνικοι τῆς γράκας ἢ ἄλλοι τινὲς ὁποιοιδήποτε μὴ ἔχωσιν εἰς αὐτὴν οὐδεμίαν ἐξουσίαν ἀποδεκατισμοῦ ἢ ἄγρας ἢ ἄλλης τινὸς πράξεως ὁλοτελῶς· τὸ γὰρ ἀνῆκον τῇ αὐθεντείᾳ παρὰ τῶν στολνίκων ταύτης ἕνεκεν τῆς μπάλτας ἀφείλετο ἡ ἐκλαμπρότης αὐτοῦ ἀπὸ τῆς βεστιαρίας, ὅπως κατ᾽ οὐδὲν ἔχωσι τοῦ λοιποῦ οἱ τοιοῦτοι στόλνικοι μετέχειν τῆς λίμνης αὐτῆς. Ἔτι ἐδωρήσατο ἡ ἐκλαμπρότης αὐτοῦ τῷ αὐτῷ μοναστηρίῳ ὅλον τὸ δέκατον τοῦ οἴνου τοῦ εἰρημένου χωρίου τῶν Πετρῶν καὶ ὅσον ἦν αὐθεντικόν, ὅπερ ἐλάμβανον οἱ βοιναριτζάροι τοῦ Βουκουρεστίου, ἐπὶ τῷ ἄρτι λαμβάνειν αὐτὸ τὸ μονάστήριον, ἀπὸ τῶν δέκα μέτρων δηλονότι μέτρον ἓν καὶ τὸ πέρπερον κατὰ τὴν συνήθειαν· οἱ δὲ αὐθεντικοὶ βοιναριτζάροι ἐκεῖθεν τὸ καθόλου ἀπέχωνται. Ἀλλὰ καὶ τὸ χωρίον αὐτὸ τῆς Πέτρας, κείμενον εἰς τὸ Ζουτέτζιν-βλάστκα, μετὰ πάντων αὐτοῦ τῶν Ῥουμούνων ὡς ἴδιον αὐτοῦ κτῆμα ἀφιερώσατο ὁ αὐτὸς ἐκλαμπρότατος αὐθέντης τῷ αὐτῷ μοναστηρίῳ, φιλοτιμησάμενος αὐτῷ τὴν ἐλευθερίαν ταύτην, τοῦ εἶναι ἀσύδοτον καὶ ἀκαταπάτητον καὶ ἀδούλωτον παρὰ παντὸς προσώπου αὐθεντικοῦ τε καὶ ἀρχοντικοῦ ἔν τε τῷ καθ᾽ ἕκαστον μῆνα παρεχομένῳ χαρατζίῳ καὶ τοῖς ἄλλοις φορολογήμασι καὶ δικαιώμασι, τῶν ἀσλανίων τῆς σάμας, τῆς γαλιάτας, τοῦ χόρτου, τοῦ κηρίου, τοῦ μέλιτος, τοῦ μελισσονομίου, τοῦ χοιρονομίου, τοῦ προβατονομίου καὶ παντὸς ἀποδεκατισμοῦ αὐθεντικοῦ ἀκαταζήτητον, δανείσματός τε καὶ φλωρίων καὶ τῶν βαμεσίδων τῆς γράκας, τοῦ μὴ λαμβάνειν βάμα τῶν ὀψαρίων τελείως, τῆς τε λίμνης, ἥτις ἐστὶ τοσαύτη κατὰ τὸ μέγεθος, ὅσα τυγχάνουσι καὶ περιέχουσι κατὰ τὸ μέρος Δουνάβεως διὰ σύνορα τοῦ εἰρημένου χωρίου Πέτραις καὶ τῆς εἰρημένης μπάλτας, ἥτις ἦν μὲν αὐθεντική, ἐδωρήθη δὲ τῷ μοναστηρίῳ, τῆς τε ντίσμας, τοῦ καπνοῦ, τῶν μπανίων τῆς ἄκρης, τῶν ταχυδρομικῶν ἵππων, τῶν ποδοβόδων, τῶν μερτικίων καὶ πάσης δουλείας αὐθεντικῆς, σανίδων, ξύλων, προβάτων, κουφίων, σούλτζι, ζαγχιρέ, σαταρέδων, σουρσατίων, ναυλώνων, ἁμαξίων σεφερίου, ἵππων βασιλικῶν καὶ αὐθεντικῶν, χαρατζίου τῆς τουτουναρίας καὶ παντὸς ἄλλου συδοσίματος καὶ δουλείας τῶν ὑπαρχόντων εἰς τὴν τζάραν καὶ αὐθεντείαν Οὐγγροβλαχίας, πάντῃ καὶ παντοίως ἐλεύθερον καὶ ἀπηλλαγμένον, ὡς διείληπται. Ἀλλὰ καὶ ἐάν τινες ἐπιδημήσαντες ξένοι τῶν πέραν Δανούβεως, ἢ καὶ ἀλλαχόθεν, Σέρβοι, Ῥωμαῖοι, Βούλγαροι, Ἄλβανες ἢ Μολδοβᾶνοι, ἢ Οὖγγροι παρεισδύσουσιν ἐν τῷ εἰρημένῳ χωρίῳ Πέτραις, κἀκείνους διωρίσατο εἶναι ἐλευθέρους καὶ ἀσυδότους πάσης δουλείας καὶ ἀγγαρειῶν τῶν ἀνωτέρω εἰρημένων κατ᾽ εἶδος. Βλάχον μέντοι ἀρχοντικὸν ἢ αὐθεντικόν, ἢ ἄλλους τινὰς ὑποκειμένους καὶ ὑποτελεῖς ὁποιῳδήποτε τέλει αὐθεντικῷ, μὴ δέχωνται εἰς τὸ εἰρημένον χωρίον παντάπασι. Πάντα δὲ τὰ εἰρημένα χορηγήματα, ἅπερ ἡ ἐκλαμπρότης αὐτοῦ ἐδωρήσατο τῷ αὐτῷ μοναστηρίῳ, ὁ ἀποδεκατισμὸς τῶν γεννημάτων, τῶν προβάτων, τοῦ οἴνου, τῆς γαλιάτας, τοῦ χορταρίου καὶ τῶν λοιπῶν παρέχωνται ἀπὸ τοῦ νῦν ἐν τῷ μοναστηρίῳ ὃν τρόπον συμφωνήσουσι μετὰ τοῦ ἡγουμένου τοῦ μοναστηρίου οἱ ἐξωνούμενοι τὸν ἀποδεκατισμόν, ἤτοι τὰς αὐθεντικὰς ντίσμας καὶ ἑτέρας διαφόρους σλούσπας· οἱ δὲ περκαλάμοι καὶ ἄλλοι ὁποιοιδήποτε αὐθεντικοὶ καὶ ἀρχοντικοὶ ἄνθρωποι μὴ ἔχωσιν ἄδειαν εἰσέρχεσθαι ἐν τῷ εἰρημένῳ χωρίῳ τὸ καθόλου, οὔτε βόρνικος, οὔτε στολνιτζέλος, οὔτε μπανισιόρις τοῦ ζουτέτζου, οὔτε πρωτόπαπας, οὔτε ἄλλος τις αὐθεντικὸς ἢ ἀρχοντικὸς ἄνθρωπος, καὶ μηδένα οὔτε κρίσιν ποιεῖν παρ᾽ αὐτοῖς, οὔτε γλόμπαν λαμβάνειν· ἀλλὰ μόνος ὁ ἡγούμενος ἢ ὁ ἐπίτροπος αὐτοῦ πάσας ἐξ ὁλοκλήρου τὰς κρίσεις ποιῇ καὶ παιδεύῃ ἕκαστον κατὰ ἀναλογίαν τοῦ πταίσματος αὐτοῦ, ἢ εἰρηνεύῃ καὶ ἐπιτιμᾷ ὡς εἰκός· κλέπτας δὲ μόνον ἢ φονεῖς καὶ ἄλλους ὑπευθύνους κεφαλικῇ ἢ μεταλλικῇ τιμωρίᾳ παραπέμπεσθαι τῇ αὐθεντείᾳ, τοῦ κρίνεσθαι ἐξ αὐτῆς καὶ παιδεύεσθαι ἢ ἐλεεῖσθαι, καθὰ οἱ νόμοι καὶ τὸ δίκαιον βούλονται. Κἀπὶ τούτοις πρὸς τὴν Μητέρα τῶν Ἐκκλησιῶν γαληνοῖς ὀφθαλμοῖς ἐπινεύσας ὡς ὄντως γνήσιος ταύτης υἱός, τῇ τε χάριτι τοῦ παναγίου περιλαμπόμενος πνεύματος καὶ πνευματικὰ πνευματικοῖς ἐγκρίνειν μεμαθηκώς, ἠξίωσε καὶ παρ᾽ ἡμῶν ἐμπεδωθῆναι τῇ πανσθενεῖ δυνάμει καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ πνεύματος πᾶσαν τὴν περὶ αὐτὸ τὸ κτιτορικὸν αὐτοῦ μοναστήριον συντελεσθεῖσαν

www.dacoromanica.ro

ἀγαθουργίαν ὑπὸ τῆς αὐτοῦ ἐκλαμπρότητος προνοίαις ὅλαις τῆς παρ' αὐτῷ θεοσεβείας τὸ αὐτόνομον καὶ παντελεύθερον καὶ ὅσα προσεδωρήσατο αὐτῷ καὶ φιλοτίμως ἀφιερώσατο καὶ τῷ τῆς αὐθεντείας αὐτοῦ χρυσοβούλλῳ κραταιῶς ἐπικυρώσατο πρὸς ἰσχυροποίητον ὀχύρωσιν αὐτοῦ καὶ στερέωσιν. Τούτου χάριν τὴν εὐλαβῆ ταύτην ἀξίωσιν ἀξίως ἐνασμενίσαντες καὶ προσηνῶς λίαν ἀποδεξάμενοι, ὡς θεοσεβείας καὶ ὁσιότητος ἔμπλεων, γράφομεν ἤδη καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα αὐτὸ τὸ ἱερὸν καὶ σεβάσμιον μοναστήριον τῆς Κοιμήσεως τῆς ὑπεραγίας μου Θεοτόκου, τὸ εἰς τὸ Κοτροτζάνι, διὰ παντὸς μέχρι τῶν τοῦ αἰῶνος τερμάτων μετὰ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν τε καὶ ἀκινήτων, ὅσα νῦν προσηλώθησαν αὐτῷ ὑπὸ τοῦ ἰδίου κτήτορος εὐσεβεστάτου καὶ ἐκλαμπροτάτου αὐθέντου κυρίου κυρίου Ἰωάννου Σερβάνου Καντακουζηνοῦ, βοεβόνδα πάσης Οὐγγροβλαχίας, κατὰ τὸ αὐθεντικὸν αὐτοῦ χρυσόβουλλον, καὶ ὅσα μετέπειτα ἐν αὐτῷ σὺν Θεῷ αὐξηθήσονται, εἴη καὶ διαμένῃ πάντῃ ἐλεύθερον καὶ αὐτόνομον καὶ ἀσύδοτον καὶ ἀκαταζήτητον καὶ ἀδούλωτον καὶ ἀκαταπάτητον παρὰ παντὸς προσώπου αὐθεντικοῦ καὶ ἀρχοντικοῦ, ἀνενόχλητόν τε καὶ ἀνεπηρέαστον καὶ ἀνώτερον πάσης καὶ παντοίας καταδυναστείας καὶ εἰσπράξεως καὶ οὑτινοσοῦν φορολογήματος, κατὰ τὴν διακέλευσιν καὶ κατ' εἶδος διάταξιν τοῦ αὐθεντικοῦ αὐτοῦ χρυσοβούλλου καρπούμενον καὶ νεμόμενον ἀναφαιρέτως καὶ ἀναποσπάστως τὰ προσηλωθέντα αὐτῷ, διοικούμενόν τε καὶ διεξαγόμενον κατὰ τὰ φιλοτιμηθέντα καὶ ἐπιβραβευθέντα αὐτῷ προνόμια ὑπὸ τῆς αὐθεντικῆς χορηγίας τοῦ κτήτορος αὐτοῦ· ἥτις μὴ διαλείποι τὴν ἰσχὺν ἔχουσα καὶ τὸ κῦρος κατὰ πάντα καιρὸν καὶ τὸ ἐνεργοῦν βέβαιον μόνιμόν τε καὶ ἀσφαλὲς καὶ ἀκατάσειστον καὶ ὅλως ἀπερικλόνητον. Ὁποῖοι δ' ἂν ὀψέποτε καθ' ὁποιονοῦν ἄδικον τρόπον ἢ γνώμην διεστραμμένην ἐμπαθῶς ἀντιβλέψωσι τῷ ἱερῷ αὐτῷ μοναστηρίῳ, κἀντεῦθεν ἀποβαλόντες τὸν φόβον τοῦ Θεοῦ ἐπιχειρήσωσιν ὁρμῇ βιαίᾳ καὶ φιλαδίκῳ γνώμῃ καὶ ἁρπαλέᾳ χειρὶ πλεονέκτιδος λύσσης διασεῖσαι καὶ παρενσαλεῦσαι αὐτὸ καὶ τὰ ἀφιερωθέντα ἐν αὐτῷ καὶ τὴν ἐλευθερίαν αὐτοῦ ἀνατρέψαι καὶ τὰ προνόμια αὐτοῦ παραβλέψαι καὶ ἀποσπᾶσαί τι τῶν προσηλωμένων αὐτῷ, ἢ ἀποστερῆσαι καὶ ἀνακόψαι τὸ οἱονοῦν τῶν προσόδων αὐτοῦ καὶ στέρησίν τινα ἀνθυπενεγκεῖν αὐτῷ καὶ βλάβην καὶ ζημίαν προξενῆσαι, οἱ τοιοῦτοι ὡς ἄντικρυς ἱεροσυλίαν νενοσηκότες καὶ σχεδὸν θεομαχήσαντες διὰ τῆς τοιαύτης ἀπονοίας τῶν ἱερῶν τε νόμων καὶ κανόνων καταπατήσαντες ἀσυνειδήτως, ὁποίας ἂν τύχοιεν τάξεως ἀξίας τε καὶ βαθμοῦ, ἀφωρισμένοι εἴησαν ἀπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, τῆς παναγίας καὶ ζωαρχικῆς τριάδος, καὶ κατηραμένοι καὶ ἀσυγχώρητοι καὶ ἄλυτοι μετὰ θάνατον αἰωνίως· αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται, αὐτοὶ δὲ οὐδαμῶς· καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι καὶ ἔνοχοι τοῦ πυρὸς τῆς Γεέννης· ἡ μερὶς αὐτῶν εἴη μετὰ τοῦ προδότου Ἰούδα καὶ τῶν σταυρωσάντων τὸν Κύριον καὶ εὕροιεν τὸν Θεὸν ἀντίδικον αὐτοῖς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὅστις καταδιώξοι αὐτοὺς ἐν τῇ καταιγίδι αὐτοῦ καὶ ἐν τῇ ὀργῇ αὐτοῦ συνταράξειεν αὐτούς, ὡς σκεύη τε κεραμέως συντρίψοι, διατενοῖ τε τὴν ὀργὴν αὐτοῦ ἀπὸ γενεᾶς εἰς γενεὰν αὐτῶν· καὶ εἴησαν σύντριμμα καὶ ταλαιπωρία, καὶ ἐξαλειφθείη τὸ ὄνομα αὐτῶν ἐκ βίβλου ζώντων. Ὅθεν εἰς ἔνδειξιν καὶ ἀσφάλειαν αἰωνίζουσαν τῆς ὀχυρώσεως τοῦ αὐτοῦ μοναστηρίου καὶ τῆς κατ' αὐτὸ αὐθεντικῆς φιλοτιμίας ἐπεδόθη καὶ παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἐμπεδώσεως σιγιλλιῶδες γράμμα. ͵αχπα$^{ῳ}$ (=1681) μηνὶ Φεβρουαρίῳ ἰνδικτιῶνος δ$^{ης}$.

4.

(Συγχωρητικὸν τοῦ κεκοιμημένου αὐθέντου Κωνσταντίνου Σεβάρνδοβα).

*Καλλίνικος ἐλέῳ Θεοῦ <ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης>.*

Ἡ μετριότης ἡμῶν μετὰ τῶν ἤδη συνευχομένων αὐτῇ, τοῦ τε μακαριωτάτου καὶ ἁγιωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυροῦ Δοσιθέου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου αὐτῆς ἀδελφοῦ καὶ συλλειτουργοῦ, καὶ τῶν παρευρεθέντων ἱερωτάτων συναδελφῶν

www.dacoromanica.ro

ἡμῶν ἀρχιερέων καὶ ὑπερτίμων, διὰ τῆς θείας χάριτος δωρεᾶς τε καὶ ἐξουσίας τοῦ παναγίου καὶ ζωαρχικοῦ πνεύματος, τῆς δοθείσης παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς θείοις καὶ ἱεροῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰς τὸ δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, εἰρηκότος αὐτοῖς· «Λάβετε πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· καὶ ὅσα ἂν δήσητε καὶ λύσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ λελυμένα ἐν τοῖς οὐρανοῖς»[1]. Ἐξ ἐκείνων δὲ καὶ εἰς ἡμᾶς ἀλληλοδιαδόχως διαβάσης ταύτης τῆς θείας χάριτος, ἔχομεν συγκεχωρημένον καὶ λελυμένον· καὶ τὸν προκεκοιμημένον δοῦλον τοῦ Θεοῦ Ἰωάννην Κωνσταντῖνον βοεβόδα Μολδοβλαχίας[2] εἰς ὅσα καὶ αὐτὸς ὡς ἄνθρωπος ὢν[3] καὶ τὸν πολυαμάρτητον κόσμον τοῦτον οἰκῶν διαφόρως καὶ ἐν διαφόροις καιροῖς ἥμαρτε καὶ εἰς Θεὸν ἐπλημμέλησε λόγῳ ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, καὶ ἐν πάσαις αὐτοῦ ταῖς αἰσθήσεσιν ἑκουσίως ἢ ἀκουσίως ἐν ὅλῳ τῷ τῆς ζωῆς αὐτοῦ διαστήματι· καὶ εἴτε ὑπὸ κατάραν πατρὸς ἢ μητρὸς αὐτοῦ ἐγένετο, ἢ τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν, ἢ ὅρκον ὤμοσε κἀκεῖνον παρέβη, ἢ ἀφορισμὸν καὶ ἐκκλησιαστικὸν ἐπιτίμιον δι᾽ ἡντιναοῦν αἰτίαν ὑπὸ ἱερέως ἢ ἀρχιερέως ὑπέστη[4] καὶ τῆς διορθώσεως αὐτοῦ οὐκ ἐφρόντισεν, ἢ σωματικοῖς τισι πάθεσι πορνείας, μοιχείας καὶ ἀσελγείας καὶ τοιούτων αἰσχρουργιῶν ἔκδοτον ἑαυτὸν ἐποίησε καὶ φιληδονίας ἡττήθη καὶ ἀπηγορευμέναις ἀσωτείαις ὡμίλησεν ἀπ᾽ ἐναντίας τῶν τοῦ Θεοῦ ἐντολῶν καὶ τὰ τῶν θείων νόμων ἠθέτησε προστάγματα καὶ ἀπὸ τῶν τοῦ Θεοῦ κριμάτων ἐξέκλινεν, ἢ πλεονεξίᾳ κινούμενος καθήρπασε τὰ ἀλλότρια κρυφίως ἢ φανερῶς καὶ ἐστερημένους τῶν ἰδίων ἀφῆκε τινάς. Ἀλλ᾽ ἢ καὶ τὴν παρὰ Θεοῦ λαβὼν προστασίαν λαοῦ τῆς κατ᾽ αὐτὸν ἡγεμονίας οὐ κατὰ τὸ θέλημα τοῦ Θεοῦ ἐκυβέρνησε τὸ ὑπήκοον, ἀλλά πως ἐκτραπεὶς τῆς εὐθείας ὁδοῦ ἄλλως ἢ ὡς εἶχε τὸ δίκαιον ἐπολιτεύθη, διατρέψας κακῶς καὶ εἰς δυναστείαν ἐκκλίνας, κἀντεῦθεν ἢ βιαίαν ἁρπαγὴν ἐποίησε καὶ γύμνωσιν τοῖς ἀδυνατοῦσι προυξένησεν, ἢ κρίσεις ἀδίκους βαρείας τε καὶ φορτικὰς ἀποφάσεις παρὰ τὸ εἰκὸς καὶ παρὰ τὸ δίκαιον διεπράξατο, ἢ καὶ ἀκρίτως τινὰ κατεδίκασε καὶ παρέβλεψε καὶ ἐζημίωσεν εἴτε εἰς χρήματα εἴτε εἰς τιμὴν εἴτε καὶ εἰς αὐτὴν τὴν ζωήν· ἢ φόνον ποτὲ παράνομον ἐξετέλεσε καὶ ἀνόσιον καὶ τῆς ζωῆς ἐστέρησεν ἐναντίους τινὰς καὶ ἀθῴους ἢ καὶ κατετιμώρησέ τινας ἀναμαρτήτους, ἢ ἕτοιμος μὲν ἐφάνη εἰς τὸ παιδεύειν καὶ ἐκδικεῖν τοὺς ἁμαρτάνοντας, ὀκνηρὸς δὲ πρὸς τὸ συμπαθεῖν καὶ ἀποδέχεσθαι τοὺς προσπίπτοντας καὶ πρόχειρος εἰς τὸ ἀποτέμνειν, ἀνηλεὴς δὲ εἰς τὸ ὑγιᾶσθαι τοὺς ἀλγοῦντας καὶ πᾶν εἴ τι ἄλλο ἐν τῷ καιρῷ τῆς αὐθεντίας αὐτοῦ ἐξετέλεσεν εἰς τὸν λαὸν ἄδικον καὶ παράλογον καὶ τυραννικὸν ἀσπλάγχνως καὶ ἀδιακρίτως, εἴτε δι᾽ ἐθελοκακίαν τὰ φαῦλα πράξας, εἴτε δι᾽ ἀπέχθειάν τινα ἢ ἀντιπάθειαν ἢ πλεονεξίαν καὶ ἀνόσιον χρηματισμὸν καὶ αἰσχροκέρδειαν, ἢ δι᾽ ἄγνοιάν τινα καὶ ἀπειρίαν ἢ ἀμέλειαν καὶ ἀπροσεξίαν, ἢ ἀπάτην, ἢ λήθην, ἢ κακοβουλίαν τινῶν καὶ παρακίνησιν, ἢ δι᾽ ἀνάγκην ἀκούσιόν τινα ἢ καὶ πλάνην τὴν κατορχουμένην παντὸς τοῦ μετὰ σώματος βίου, ἢ φιλοκερδείᾳ τινὶ μικροψύχως ἡττηθεὶς κατεκράτησε δίκαιόν τινων συγγενῶν καὶ κληρονόμων τῆς προαπελθούσης συζύγου αὐτοῦ, ὡς φέρεται λόγος, καὶ οὐκ ἔφθασεν ἐπιστρέψαι. Ἐκ τούτων οὖν πάντων τῆς ἐνοχῆς τε καὶ τοῦ δεσμοῦ ἔχομεν αὐτὸν συγκεχωρημένον καὶ λελυμένον ἐν τῇ τοῦ πνεύματος δωρεᾷ καὶ ἐλεύθερον ἀποκαθιστῶμεν καὶ ἀπηλλαγμένον διὰ τῆς θείας χάριτος πάσης ποινῆς καὶ παντὸς ἐκκλησιαστικοῦ ἐπιτιμίου. Εἰ δέ τινα διὰ λήθην ἢ ἄλλην τινὰ ἀνθρωπίνην ἀσθένειαν ἀνεξομολόγητα εἴασε, κἀκεῖνα συγχωρήσειεν αὐτῷ ὁ ἐλεήμων Θεὸς δι᾽ ἰδίαν φιλανθρωπίαν.

Ναί, δέσποτα πολυέλεε κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος καὶ ἡ φιλανθρωπία ἡ ἀνείκαστος, καὶ μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ, ἀλλ᾽ ἐπάκουσον μακροθύμως ἡμῶν τῶν ταπεινῶν καὶ ἀχρείων δούλων σου δεομένων

---

1) Ἰωάν. κ΄, 22—23.

2) Ἐν τῇ ᾠᾳ· «υἱὸν κατὰ πνεῦμα ἡμῶν τῆς μακαρίας μνήμης αὐθέντην καὶ βοεβόδα πάσης» κτλ.

3) Ἐν τῇ ᾠᾳ· «σάρκα τε φορῶν».

4) Ἐν τῇ ᾠᾳ· «καθ᾽ οἱονδήποτε τρόπον, ἢ τινα τῶν ἱερωμένων παρεπίκρανεν, ἢ παρήκοος καὶ παρόπτης ἐφαίνετο τῶν θείων θεσμῶν καὶ ἐκκλησιαστικῶν ἐνταλμάτων, ἀλλ᾽ ὁτιοῦν ὅπως ποθ᾽ ἥμαρτε καὶ μεταμεληθεὶς ἐξωμολογήθη αὐτὰ τοῖς πατράσι».

www.dacoromanica.ro

καρδίᾳ συντετριμμένῃ καὶ τεταπεινωμένῃ ὑπὲρ αὐτοῦ τοῦ προκεκοιμημένου δούλου σου Κωνσταντίνου, καὶ συγχώρησον αὐτῷ παντα, ὅσα ἥμαρτεν ἐν τῷ παρόντι βίῳ πῇ μὲν φανερά, πῇ δὲ κεκρυμμένα παρὰ ἀνθρώποις, γυμνὰ δὲ καὶ προφανῆ ἐνώπιον τῆς ἀπαραλογίστου σου γνώσεως· καὶ μὴ μνησθῇς ἀνομιῶν αὐτοῦ καὶ ἁμαρτίας νεότητος καὶ τῶν κατὰ πάντα βίον αὐτοῦ πλημμελημάτων, ἀλλ' ἐξάλειψον πάσας τὰς ἀνομίας αὐτοῦ ὡς ἀνεξίκακος Κύριος καὶ δεσπότης φιλάνθρωπος· καὶ μὴ ἀπώσῃς αὐτὸν ὁ ταχὺς εἰς ἀντίληψιν καὶ τοῦ ἀφιέναι ἁμαρτίας ἕτοιμος, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος ἐν τῷ πλήθει τοῦ ἐλέους σου καὶ τῆς χρηστότητός σου, καὶ οἴκτειρον αὐτόν, Κύριε, τῷ πλήθει τῶν οἰκτιρμῶν σου πεπεδημένον καὶ κατερραγμένον οἰκτρῶς ἤδη κείμενον ἐνώπιον λαοῦ κρίμασιν εὐθέσι τῆς σῆς δικαιοσύνης διὰ τὰ κακῶς αὐτῷ πεπραγμένα (καὶ γὰρ δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου)· ἀνθ' ὧν οἷα δραπέτης δοῦλος καὶ παραβάτης τῶν σῶν δεσποτικῶν ἐντολῶν δεσμώτης ἐλεεινὸς σειραῖς ἀμπλακημάτων κατακρατούμενος ἐλέγχεται, κατάρας δεινῆς ἄντικρυς ἀποτέλεσμα (ἐπικατάρατοι καὶ γὰρ οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου), καὶ φωναῖς ἀλαλήτοις τῆς σῆς μακροθυμίας τὸ ἀμέτρητον ἔλεος προσκαλεῖται παρακλητεύων διὰ μεσιτείας καὶ ταπεινῆς δεήσεως τῶν ἀχρείων ἡμῶν δούλων σου. Διό, πανάγαθε δέσποτα καὶ φιλάνθρωπε Κύριε, ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ ἐπικάμφθητι, παντοκράτορ, ἡμῖν τοῖς αὐχένα κάμπτουσι δούλοις σου καὶ θερμῶς δεομένοις ὑπὲρ τοῦ κεκοιμημένου αὐτοῦ δούλου σου Κωνσταντίνου, καὶ ἐλέησον αὐτὸν ὁ πλούσιος ἐν ἐλέει καὶ λῦσον αὐτὸν τοῦ σωματικοῦ καὶ ψυχικοῦ δεσμοῦ καὶ τῆς τιμωρίας τοῦ πικροῦ ἀφορισμοῦ καὶ τῆς ἐκκλησιαστικῆς ποινῆς· καὶ συγχώρησον αὐτῷ πάντα, ὅσα ἥμαρτεν ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ. Ἰδοὺ γὰρ ἀπεκαλύφθησαν αὐτοῦ αἱ ἁμαρτίαι καὶ ἐγνώσθη ἐν μέσῳ λαοῦ ἡ ἀνταπόδοσις τῆς δικαιοσύνης σου (καὶ γὰρ δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου καὶ πλήρης δικαιοσύνης ἡ δεξιά σου), κατὰ τὸ «Ἰδοὺ ὁ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ»[1]. Δεῖξον ἄρα, φιλάνθρωπε, καὶ τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὁ κρίσιν ἅμα φέρων καὶ ἔλεος, ἐπ' ἀμφοτέροις τε προφητικῶς κηρυττόμενος καὶ μεγαλυνόμενος καὶ δοξαζόμενος, ὁ πατάζων καὶ πάλιν ἰώμενος· καὶ μὴ συναπολέσῃς αὐτὸν ταῖς ἀνομίαις αὐτοῦ, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακὰ αὐτοῦ· μηδὲ καταδικάσῃς αὐτὸν ἐν τοῖς κατωτάτοις τῆς γῆς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι· «οὐκ ἔστι γὰρ θέλημα ἔμπροσθεν τοῦ πατρός, ἵνα ἀπόληται εἷς τῶν μικρῶν»[2], ὁ ἅγιός σου καταγγέλλεται λόγος. Ἀλλ' ἄφες αὐτῷ τὰ ἁμαρτήματα φιλανθρωπίας ἐλέει, ὁ μόνος ἔχων ἐξουσίαν τοῦ ἀφιέναι ἁμαρτίας, καὶ διάρρηξον καὶ διάλυσον καὶ ἀπάλειψον τὸν ψυχικὸν καὶ σωματικὸν αὐτοῦ δεσμόν, ὃν ἐπήνεγκε κατ' αὐτοῦ τὰ πλήθη τῶν ἀνομιῶν αὐτοῦ. Περίελε ἀπ' αὐτοῦ ὄνειδος καὶ ἐξουδένωσιν ταύτην (ἐξουδένωνται καὶ γὰρ δικαίως πάντες οἱ ἀποστατοῦντες ἀπὸ τῶν δικαιωμάτων σου), καὶ κάθαρον αὐτὸν πάσης κηλῖδος ἐν τῷ θείῳ σου ἐλέει· ἀνακάλεσον αὐτὸν ἐν τῇ μερίδι τῶν σῳζομένων. Ἀντιλαβοῦ, κατὰ τὸ λόγιόν σου, καὶ ζήσεται. Ἐξάλειψον ἔτι, παντοδύναμε Κύριε, καὶ τὴν πρόδηλον αὐτοῦ ἁμαρτίαν, ἣν ἐτόλμησε πράξασθαι, τῆς ἀπηγορευμένης τετραγαμίας, παρὰ τοὺς ὅρους καὶ θεσμοὺς τῆς ἁγίας σου Ἐκκλησίας, καὶ μὴ ἔλθῃς εἰς κρίσιν ἐπὶ τούτῳ μετὰ τοῦ δούλου σου. Ἐπὶ πᾶσι δεόμεθα, πολυέλεε καὶ μακρόθυμε δέσποτα, παριδεῖν σε μακροθύμως καὶ ἄλλην πασίδηλον αὐτοῦ ἁμαρτίαν, εἰς ἣν ἐξώκειλε παραβάσει δεινῇ, ὅτι δοὺς ὑπόσχεσιν ἅπαξ καὶ μὴ δευτερῶσαι τὴν ἣν ἐπέταξε συναχθῆναι ἀπὸ τοῦ ὑπηκόου αὐτοῦ δόσιν τινὰ χρημάτων τῶν μὴ συνήθων, ἐπικειμένης ἀνάγκης καὶ δι' ἐκφωνήσεως ἀφορισμοῦ τὴν ὑπόσχεσιν ἐμπεδώσας, ὡς ἐπιλαθόμενος ἐδευτέρωσεν ἐκείνην πάλιν, ὡς μὴ ὤφελεν, εἴτ' ἐξ ἀνάγκης τινὸς ἐλαυνόμενος, εἴτ' ἐξ ἐθελοβουλίας αὐτοῦ κατολισθήσας ἐν τούτῳ, ὅπως ποτὲ σὺ μόνος οἶδας, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς καὶ τὰ βάθη τῶν νοημάτων καὶ πάντα εἰδὼς πρὶν γενέσθαι αὐτῶν, ἐν οὐδενί τε λανθανόμενος. Καὶ μὴ ἀνταποδώσῃς αὐτῷ κατὰ τὰ ἔργα αὐτοῦ· σὺ γὰρ ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος ὢν καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων ἐλέησον αὐτὸν κατὰ τὸ μέγα σου ἔλεος, καὶ λῦσον τοὺς κατακρατοῦντας καὶ συσφίγ-

---

[1]) Πρβλ. Ἠσαΐου ξβ', 11.

[2]) Ματθ. ιη' 14.

www.dacoromanica.ro

γοντας αὐτὸν δεσμούς, καὶ ἀπάλλαξον αὐτὸν τῆς αἰωνίου κολάσεως· σὺ γὰρ μόνος εἶ ὁ λύων πεπεδημένους, σὺ μόνος εἶ ὁ ἀνορθῶν κατεῤῥαγμένους, σὺ μόνος ὁ ἐπιστρέφων τεθραυσμένον ἐν ἀφέσει, ὅτι πολλοὶ οἱ οἰκτιρμοί σου, Κύριε, καὶ ἐν σοὶ τὴν πᾶσαν ἀναθέμενοι ἐλπίδα προσπίπτομεν τῷ ἐλέει σου καὶ δεόμεθά σου ἐκ βάθους καρδίας ὑπὲρ τοῦ δούλου σου αὐτοῦ Κωνσταντίνου, ἵνα μὴ ἀποῤῥίψῃς αὐτὸν εἰς τέλος ἀπὸ τοῦ προσώπου σου, οὔτε μακρύνῃς τὸ ἔλεός σου ἀπ' αὐτοῦ· ἀλλὰ καὶ αὖθις δουλικῶς ἱκετεύομεν, κλῖνον τὸ οὖς σου φιλανθρώπως καὶ ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν δούλων καὶ δὸς αὐτῷ τὴν παντελῆ ἄφεσιν τῶν ἁμαρτιῶν αὐτοῦ καὶ τὴν ὁλοτελῆ λύσιν τοῦ ἐπ' αὐτοῦ ἀφορισμοῦ· καὶ τὸ μὲν σῶμα αὐτοῦ διαλυθῆναι εἰς τὰ ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν αὐτοῦ μετὰ τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων δικαίων ταχθῆναι εὐδόκησον καὶ τῆς παλινζώου λαμπρότητος ἀξίωσον καὶ ἐν σκηναῖς τῶν δικαίων κατάταξον· καὶ εἴη συγκεχωρημένος καὶ λελυμένος ἐν τῷ μέλλοντι πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν.

Ἐν ἔτει σωτηρίῳ ,αχζη$^{ω}$ (=1698), ἐν μηνὶ Αὐγούστῳ ἰνδικτιῶνος ς$^{ης}$.

5.

*Καλλίνικος ἐλέῳ Θεοῦ <ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης>.*

Καλῶς ἐμμένειν καὶ διαμένειν ἀεὶ τῇ δοθείσῃ τάξει προσήκει πάντως τὰ πράγματα καὶ τοὺς ὅρους μὴ ὑπερβαίνειν ἀπερισκέπτως· οὐ γὰρ εἰσὶν ἡμέτεροι, ἀλλὰ τοῦ Θεοῦ, καθά που τὸ ἀποστολικὸν παρεγγυᾶται διάταγμα. Διὸ καὶ πανταχοῦ μὲν ἀναγκαῖον ὑπέρ τι ἄλλο τὴν ἰδίαν τάξιν φυλάττειν ἕκαστον καὶ τοῖς νενομισμένοις ὅροις μένειν ἐντός, ἐξ ὑπερπλέον δὲ μᾶλλον ἐν τοῖς ἐκκλησιαστικοῖς διατάγμασι δέον ἐστὶν ἅπαντας διὰ πεφροντισμένης ὅλης σπουδῆς διατηρεῖν τὴν τάξιν ἀμεταποίητον, κἂν τοῖς κειμένοις ὅροις φημὶ τῆς ὁροθεσίας φυλάττειν τὸ ἀνεξάλλακτον· εἰ γὰρ αὐτῆς τῆς ὁρωμένης τὰ ἄψυχα κτίσεως, οὐρανὸν ἅμα καὶ τὰ κατ' αὐτόν, γῆ τε καὶ τὰ ἐν αὐτῇ συμπληροῦντα τὸ παγκόσμιον σύστημα τῇ κατ' ἀρχὰς ἐντυπωθείσῃ χρείᾳ δουλεύει ἀμεταπτώτως καὶ ὄρη μὲν ἀναβαίνουσι, πεδία δὲ καταβαίνουσι καθ' ὃν ἅπαξ ἐθεμελιώθησαν χῶρον καὶ ἐστηρίχθησαν (ὅριον γὰρ ἔθετο, φησί, καὶ οὐ παρελεύσονται)[1], πόσῳ μᾶλλον ἡμεῖς ὀφείλομεν μηδέν που μηδαμῇ τολμᾶν παραβαίνειν τοῖς θείοις ὅροις θεόθεν καὶ τῶν κατὰ γνώμην αὖθις Θεοῦ παρὰ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν ἐκείνοις διαδόχων κανονισθέντων καὶ ὁροθετηθέντων ἡμῖν; Ὅθεν τὴν κανονικὴν ταύτην ἀκρίβειαν καὶ τὴν ὑπὲρ ταύτης ἀναγκαίαν σπουδὴν λίαν καλῶς ἐπιστάμενος ὁ ἱερώτατος μητροπολίτης Φιλιππουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος Θρᾴκης Δρογοβητίας, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κῦρ Νεόφυτος, διὰ σπουδῆς ἔθετο φυλάξαι τὴν ἐγκάνονον τάξιν τῆς Ἐκκλησίας ἀπαρεγχείρητον, ἥτις ὑποτίθεται δηλονότι μὴ ἐφειμένον εἶναι τελείως τοῖς ἱερατικὴν λαχοῦσιν ἀξίαν κατὰ βαθμὸν ὀντιναοῦν ἀποδημεῖν ποτε τῶν οἴκοι καὶ μεταχωρεῖν εἰς ἀλλοδαπὴν χωρὶς ἐρωτήσεως καὶ ἀδείας τοῦ προστατεύοντος αὐτῶν, ἀλλ' ἐφοδιάζεσθαι παρ' ἐκείνου γράμμασιν ἀπολυτικοῖς καὶ δι' ἐκείνων ἀπέρχεσθαι τέως ὅπου ἂν αὐτοῖς πρὸς βουλήσεως γένηται εἰδήσει, ὡς εἴρηται, τοῦ προϊσταμένου αὐτῶν, ᾧ εἰσιν ὑποκείμενοι κατὰ τοὺς ἀποστολικοὺς κανόνας καὶ πατρικοὺς θείους καὶ ἱεροὺς θεσμούς· χρείας γὰρ ἤδη πρὸς ἀποδημίαν ἐπιστάσης τῇ αὐτοῦ ἱερότητι διαβῆναι τῶν ὁρίων ἔξω τῆς αὐτοῦ ἐπαρχίας, τοῦ καταλαβεῖν ἐφέσει πολλῇ τὴν αὐτοῦ πατρίδα εἰς στοργικὴν ἀπόλαυσιν τῆς ἐνεγκαμένης αὐτόν, ἀνήγγειλεν ἡμῖν τὸ οἰκεῖον βούλημα καὶ ἄδειαν ἐξῃτήσατο τοῦ τῆς ὁδοιπορίας ἅψασθαι, ἐπαγγελλόμενος μὴ χρονοτριβῆσαι ἐς μακρόν, ἀλλὰ μετ' οὐ πολὺ διωρισμένῳ καιροῦ διαστήματι ἐπανακάμψαι πρὸς τὴν μητρόπολιν αὐτοῦ, ἅτε τὴν περὶ τὸ λογικὸν αὐτοῦ ποίμνιον φροντίδα προτιμοτέραν θέμενος πατρίδος τε καὶ ἄλλων παντοίων ἀγαθῶν κατὰ χρέος αὐτοῦ· συνοδικῶς τε προβληθέντος τοῦ ζητήματος, ἔδοξε κοινῇ σκέψει μὴ παριδεῖν ἀτέλεστον τοῦ κοινοῦ ἀδελφοῦ τὴν αἴτησιν, ὡς ἀνέγκλητον δοκοῦσαν καὶ ἀζήμιον, ἀλλ' ἐκκλησιαστικῆς

[1]) Πρβλ. Ψαλμ. ργ', 9.

www.dacoromanica.ro

ἀξιωθῆναι προνοίας αὐτὸν ἐπὶ συμφέροντι αὐτῷ καὶ λυσιτελοῦντι πράγματι. Τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα ὁ διαληφθεὶς ἱερώτατος μητροπολίτης Φιλιππουπόλεως κῦρ Νεόφυτος ἔχῃ ἄδειαν ἐκκλησιαστικὴν ἀνεμποδίστως ἀποδημῆσαι ἐν εἰρήνῃ καὶ παραγενέσθαι εἰς ἀπόλαυσιν τῆς πατρίδος αὐτοῦ, καθάπερ ἐζήτησε, κατ' οὐδὲν κωλυόμενος, ἀλλ' ἐλευθέρως τὴν πορείαν ποιούμενος κατὰ τὴν χορηγηθεῖσαν αὐτῷ ἐκκλησιαστικὴν ἄδειαν, μετὰ διωρισμένης μέντοι προθεσμίας καιροῦ. Εἰ δὲ διὰ χρείαν ἕξει ποιῆσαι καὶ παρέκβασιν πρός τινα μέρη λυσιτελοῦντα ταῖς χρείαις αὐτοῦ ἐπὶ συνδρομῇ καὶ βοηθείᾳ παρά τινων φίλων αὐτοῦ δεομένων φιλοτιμίαις κυβερνῆσαι αὐτόν, ἐπειδὴ καὶ περὶ τούτου προσεδεήθη, ἐχέτω ἄδειαν καὶ εἰς τοῦτο προχωρῆσαι διὰ κυβέρνησιν αὐτοῦ, ὅσον τε τάχος αὖθις ἐπανελθεῖν εἰς τὴν ἐπαρχίαν αὐτοῦ χωρὶς καιρικῆς παρατάσεως, ἀναντιῤῥήτως καὶ ἀπαρεμποδίστως. Ὅθεν εἰς ἔνδειξιν ἐνεχειρίσθη τῇ αὐτοῦ ἱερότητι καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἀπολυτικὸν γράμμα κατ' ἔθος ἐκκλησιαστικὸν καὶ κανονικὴν παρατήρησιν. Ἐν ἔτει σωτηρίῳ ,αψ' (= 1700) ἰνδικτιῶνος θ$^{ης}$.

## 6.

*Καλλίνικος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.*

Τοῦ θείου πνεύματος ἀεὶ τὰ πάντα δημαγωγοῦντος, ὅσα περὶ τὴν πνευματικὴν προστασίαν τῆς Ἐκκλησίας λυσιτελεῖ καὶ τῶν εὐσεβῶν τῇ εὐκαταστάτῳ διεξαγωγῇ ἐς τὰ μάλιστα συντελεῖ. πάντα δήπου τὰ κατὰ καιροὺς διαφόρους ἐν πνεύματι προσφυῶς ἰθυνόμενα καὶ πρὸς οἰκοδομὴν ἀφορῶντα τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου συστήματος, εἰ καὶ τῆς ἀκριβείας ἐνίοτε μικρὸν ἀποδέουσιν, ἔμπης θεραπείας ἀξιοῦσθαι τὸν ἐνδεχόμενον τρόπον τά γε τοιαῦτα ἐπάναγκες ἐστὶ καὶ χρειῶδες τοῖς τῶν Ἐκκλησιῶν προστάταις καὶ κηδεμόσιν, ὡς ὑπηρέταις οὖσι Χριστοῦ καὶ οἰκονόμοις μυστηρίων Θεοῦ. Ἐπεί τοί γε κατὰ τὸν μέγαν τῆς Ἀλεξανδρείας Κύριλλον ὁ τῆς οἰκονομίας τρόπος οὐδενὶ τῶν συνετῶν ἀπήρεσε πώποτε (διὸ καὶ οἱ τῆς ἱερᾶς τοῦ Χριστοῦ ποίμνης πρόβολοι ὡς ἕνα καὶ μόνον σκοπὸν ἐπιστησάμενοι τὴν τῶν πιστῶν σωτηρίαν λόγοις εὐλόγοις οἰκονομίας τῷ καιρῷ καὶ τοῖς προσώποις καὶ πράγμασι καταλλήλοις ἀκαταγνώστως ἐχρήσαντο, τῷ ἀποστολικῷ θείῳ λόγῳ πειθόμενοι φάσκοντι· «τοῖς πᾶσιν ἐγενόμην τὰ πάντα, ἵνα πάντας κερδήσω»)[1], ἄλλως τε καὶ εἰ ὁ ἐπιζητούμενος παρὰ τῆς Ἐκκλησίας λόγος τῆς οἰκονομίας μεταξὺ εὑρίσκοιτο προσώπων ἀξιώμασιν ὑπερτελέσι καὶ ἐπισημότητι διαφερόντως ὑπερανεστηκόσι καὶ τὰ πρῶτα τοῦ ἡμετέρου Γένους ἐπέχουσι (τῶν γὰρ τοιούτων καὶ τὸ μέγεθος καὶ ἡ τῆς ἀξίας ὑπεροχὴ δυσωπεῖν εἴωθε μᾶλλον καὶ ἀναπείθειν τοὺς τῶν Ἐκκλησιῶν ἐμφρόνως προϊσταμένους συμπαθέστερον φέρεσθαι καὶ κηδεμονικῶς τὴν ἀπαιτουμένην συγκατάβασιν πρυτανεύειν ἔνθα μὴ περὶ τῆς εὐσεβείας καὶ δογμάτων ὁ λόγος, ὅπου Θεὸς τὸ κινδυνευόμενον· ἐν τούτοις γὰρ μόνον τὴν κανονικὴν ἀκρίβειαν ἀπαράτρεπτον διόλου φυλάττεσθαι χρή), ἐπειδὴ τοιγαροῦν καὶ τανῦν ἀνηνέχθη ἡμῖν περὶ ἑνὸς συνοικεσίου μεταξὺ ἀξιωματικῶν καὶ ὑπερεχόντων προσώπων Θεοῦ εὐδοκίᾳ συντελεσθῆναι μέλλοντος, ὅπερ ἔχει τόνδε τὸν τρόπον· ὁ γὰρ ἐκλαμπρότατος μπεϊζάδὲς Ἀλέξανδρος ὁ καὶ φίλτατος υἱὸς τοῦ εὐσεβεστάτου καὶ ὑψηλοτάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Μολδοβλαχίας κυρίου κυρίου Ἰωάννου Σκαρλάτου Γρηγορίου Γκίκα βοεβόδα, τοῦ κατὰ πνεῦμα υἱοῦ ἀγαπητοῦ καὶ περιποθήτου τῆς ἡμῶν μετριότητος, βούλεται συναρμοσθῆναι καὶ εἰς κοινωνίαν γάμου ἐλθεῖν μετὰ τῆς εὐγενεστάτης Μαρζώρας, τῆς καὶ φιλτάτης θυγατρὸς τοῦ ἐνδοξοτάτου καὶ εὐγενεστάτου ἄρχοντος καπικεχαγιᾶ κυρίτζη Ἰακώβου Ῥίζου, τοῦ κατὰ πνεῦμα υἱοῦ ἀγαπητοῦ τῆς ἡμῶν μετριότητος· ἥστινος εὐγενεστάτης Μαρζώρας πρωτεξαδέλφη ἐστὶν ἡ ἐκλαμπροτάτη κυρία δόμνα Ῥωξάνδρα τῆς αὐτοῦ ὑψηλότητος, ἡ κατὰ πνεῦμα θυγάτηρ ἀγαπητὴ ἡμῶν, ὥστε ἔπεσθαι ἐκ τούτου πατέρα καὶ υἱὸν λαμβάνειν δύο πρωτεξαδέλφας· ὅπερ συνοικέσιον, καίτοι βαθμολογούμενον εὑρίσκεται πέμπτου βαθμοῦ ἐξ ἀγχιστείας καὶ διὰ τοῦτο ἀπειρημένον καὶ κεκωλυμένον ἐστὶ παρὰ

[1] Πρβλ. Κορ. 1, θ', 22.



www.dacoromanica.ro

τοῖς ἱεροῖς νομοθέταις, — ἔμπης ἐπειδὴ μέλλει γενέσθαι μεταξὺ τοιούτων ὁμολογουμένων ὑπερανεστηκότων τῇ ἀνωτάτῃ ἀξίᾳ προσώπων, παρ' ὧν ἡ προσενεχθεῖσα ἡμῖν τε καὶ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἐν υἱϊκῇ φιλοστοργίᾳ καὶ θερμοτάτῃ διαθέσει πνευματικὴ ἀξίωσίς τε καὶ ἐκλιπάρησις εἰς τὸ συντελεσθῆναι ἀκωλύτως τε καὶ νομίμως τὸν γάμον δι' ἃς προὐβεβλήκεσαν αἰτίας ἀναγκαίως ἐκβιαζομένας καὶ ἀπαραιτήτως ἀπαιτούσας τὸν ἀπαρτισμὸν αὐτοῦ· τούτοις γοῦν ἅπασι δυσωπηθέντες οὐκ ἔγνωμεν δέον εἶναι καὶ πρέπον παριδεῖν ἀνοικονόμητον καὶ ἀθεράπευτον τὴν τοιαύτην ἀξιολογωτάτην ἀξίωσιν, καὶ τῷ συνήθει ἐλέει τῆς ἐκκλησιαστικῆς φιλανθρωπίας καὶ χάριτος χρησάμενοι ἀναγκαῖον ἡγησάμεθα ἐπινεῦσαι πατρικῶς τε καὶ φιλοστόργως τῇ ἀπαιτουμένῃ ἐκκλησιαστικῇ οἰκονομίᾳ τε καὶ συγκαταβάσει ταύτῃ, ἀνακοινώσαντες τὸ πρᾶγμα καὶ τοῖς ἐγκρίτοις καὶ γέρουσι τῶν ἐνδημούντων καὶ συνεδριαζόντων ἡμῖν ἐνταῦθα ἱερωτάτων συναδελφῶν ἡμῶν ἀρχιερέων· ὧν τῇ τε συμψήφῳ καὶ ὁμοφώνῳ γνώμῃ τε καὶ βουλῇ, ἀποβλέποντες καὶ πρὸς τοὺς πρὸ ἡμῶν χρηματίσαντας μελεδῶνας καὶ προστάτας καὶ ποιμενάρχας τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, οἵτινες οὐ διέλειπον ἐνίοτε κατὰ καιροὺς συγκαταβαίνοντες συμπαθῶς καὶ κηδεμονικῶς τῇ τοιαύτῃ οἰκονομίᾳ, ἅτε δὴ συμφερόντως τῷ καιρῷ καὶ τοῖς προσώποις καὶ ταῖς ἀξιολόγοις τῶν πραγμάτων ἐκδυσωπεῖσθαι καλῶς μεμαθηκότες περιστάσεσι, καθὼς τὰ προκείμενα παραδείγματα ἐμφανέστατα τοῦτο δεικνύουσιν· ὧν κατὰ μίμησιν, καὶ μάλιστα διὰ τὰς ἐκτεθείσας ἀνωτέρω ἀξιολόγους αἰτίας, καὶ ἡμεῖς λόγοις οἰκονομίας καὶ συγκαταβάσεως χρησάμενοι συνεχωρήσαμεν γενέσθαι τὸ ἀνωτέρω ῥηθὲν λαμπρὸν συνοικέσιον. Καὶ δὴ γράφοντες τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ πνεύματος ἀποφαινόμεθα, ἵνα ὁ διαληφθεὶς ἐκλαμπρότατος μπεϊζαδὲς κύριος Ἀλέξανδρος ἔχῃ ἄδειαν λαβεῖν εἰς γυναῖκα νόμιμον ἑαυτοῦ τὴν ῥηθεῖσαν Μαριώραν καὶ στεφανωθῆναι ἐκείνην νομίμως καὶ ἐκκλησιαστικῶς, μηδενὸς ἐναντιουμένου ἢ ἀντιλέγοντος ἱερωμένου ἢ λαϊκοῦ· καὶ εἴη τὸ συνοικέσιον αὐτῶν τοῦτο καὶ οἱ μέλλοντες γαμικῶς συναφθῆναι εὐλογημένοι καὶ συγκεχωρημένοι παρὰ πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, ἔχοντες καὶ τὰς εὐχὰς πάντων τῶν ἁγίων καὶ θεοφόρων τῆς Ἐκκλησίας πατέρων πρεσβείαις τῆς πανυπερευλογημένης ἐνδόξου δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ τῶν λοιπῶν ἁπάντων ἁγίων. Ἀμήν, ἀμήν.

͵αψνζ$^{ῳ}$ (=1757), ἐν μηνὶ Μαρτίῳ ἰνδικτιῶνος ε$^{ης}$.

## 7.

*Ῥαφαὴλ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης.*

Θαλάττῃ μὲν εἰκότως ὁ παρὼν ἀπεικάζεται βίος, ἅτε δὴ ἀγχιστρόφοις μεταβολαῖς ὑποκείμενος καὶ νῦν μὲν γαλήνῃ ἠρέμα προσμειδιῶν καὶ νηνεμίᾳ ἐπιτέρπων τοὺς πλέοντας, ἄλλοτε δ' αὖ κυμάτων ἐπαναστάσεσι καὶ ἐπιδρομαῖς περιστάσεων ἐναντίων ἐπαντλούμενός τε καὶ κατακλυζόμενος· οἱ δ' ἐν αὐτῷ συμπλέοντες καὶ τὸ τῆς ἐπικήρου ζωῆς διανύοντες στάδιον, ἕως μὲν ἐξ οὐρίας ἐστὶν αὐτοῖς ὁ πλοῦς καὶ κατὰ ῥοῦν τὰ πράγματα φέρεται, ἐφησυχάζοντες τῇ τοῦ κυβερνήτου πηδαλιουχίᾳ οὐρίῳ τε καὶ πομπίμῳ χρωμένου τῷ πνεύματι, ἀσφαλῶς τε καὶ ἀκινδύνως τὸν πλοῦν διιθύνοντες, ναύτας τε καὶ ἐπιβάτας εὐθύμως συμπαραπέμποντες ἀπραγμονέστερον διάγουσι καὶ ἡσυχίας ἐπαπολαύουσι, ταραχῆς καὶ ζάλης ἀπηλλαγμένοι· ἐπειδὰν δὲ κλύδων καταλάβῃ ἀθρόον καὶ ἀνέμων ἀντίπνοια, λαύρως καταιγιζόντων καὶ πανταχόθεν συῤῥηγνυμένων καὶ αὔτανδρον τὸ πλοῖον καταδῦσαι ἐπαπειλούντων, τότε δὴ τότε οὐκέτι ἀπράγμονες εἰσὶν οὐδ' ἀμερίμνως καθέζονται καὶ ἡσυχίαν ἄγουσι· φροντίδων δὲ μᾶλλον καὶ ἀγώνων ἀναπλησθέντες ἐνεργοὶ καὶ δραστήριοι γίγνονται, καὶ τοῦ ἐπιβάλλοντος ἔργου ἐπιλαβόμενοι ἕκαστος ὁμοψύχως συναγωνίζονται τὴν κοινὴν σωτηρίαν κοινῇ καὶ ἐφαμίλλῳ σπουδῇ πραγματευόμενοι· ὅπου γὰρ πλειόνων ἀνδρῶν ἐπιδεῖται τὸ ἔργον τῆς βοηθείας, ἀνάγκη καὶ πλείονας συνδεδραμηκέναι καὶ συνεισενεγκεῖν ὁμοῦ πάντας τὰς τῆς σφῶν ἀντιληπτικῆς δυνάμεως ἐνεργείας καὶ τῷ τρόπῳ τούτῳ κοινῇ ἀπώσασθαι καὶ διεκφυγεῖν τὸν ἀπειλούμενον κίνδυνον. Ἐπειδὴ τοιγαροῦν καὶ τῇ

www.dacoromanica.ro

κοινῇ μητρὶ πάντων τῶν ὀρθοδόξων Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, τῇ παγκοσμίῳ ὁλκάδι καὶ τυπικῇ[1] κιβωτῷ τοῦ νεολέκτου λαοῦ καὶ χριστωνύμου πληρώματος (δι' ἧς οὐ μόνον σῳζόμεθα ἀκλύστως ἀπὸ τοῦ τῶν ἁμαρτιῶν κατακλυσμοῦ, ἀλλὰ καὶ διαπεραιούμενοι εὐθυδόλως οἱ εὐσεβεῖς τοῦ Χριστοῦ λατρευταὶ πρὸς τὸν εὔδιον καὶ ἀκύμαντον λιμένα τῆς τῶν οὐρανῶν βασιλείας διὰ τῶν ἀγαθῶν ἔργων ἀκινδύνως ἐγκαθορμιζόμεθα) ἔν γε τοῖς παροῦσι καιροῖς, κρίμασιν οἷς μόνος οἶδε Θεός, κλύδων ἐνέσκηψε σφοδρὸς καὶ ἄνεμοι ἀπέπνευσαν ἐναντίον σὺν πολλῷ τῷ ῥοθίῳ πρηστῆρας καὶ λαίλαπας ἐπαιγίζοντες, τρικυμίαι τε καὶ πεντακυμίαι ἀλλεπαλλήλων καὶ πολυαρίθμων χρεῶν ἐγηγερμέναι καὶ ἶσα ὄρεσι κορυφούμεναι διὰ τῶν ὧν ἐπάγουσι μυρίων δεινῶν θλίψεών τε καὶ κακώσεων ἀφορήτων οὐ μόνον τὸν ἁγιώτατον πατριαρχικὸν καὶ οἰκουμενικὸν θρόνον ὑποβρύχιον εἰς ὑπέραντλον[2] ἀπειργάσαντο, ἀλλὰ καὶ ἄρδην ἀπειλοῦσιν ἐκτρῖψαι τὸ κοινὸν σκάφος τῆς Ἐκκλησίας καὶ χαλεπὸν ἐπανατείνονται[3] ὄλεθρον τῷ τῶν ὀρθοδόξων συστήματι προξενῆσαι, ὡς τόν τε κυβερνήτην ἐξαπορηθῆναι, μηκέτι δυνάμενον οἰακοστροφεῖν καὶ ἰθύνειν τὸν πλοῦν, ἅτε τῇ τοσαύτῃ καὶ τηλικαύτῃ ἀντιπνοίᾳ ἀπαγορεύσαντα καὶ τοὺς πλωτῆρας ἀπεγνωκότας ὅσον οὔπω ἀπεκδέχεσθαι τὰ ναυάγια, — τούτου χάριν φροντὶς καὶ μέριμνα ἐγένετο οὐχ ἡ τυχοῦσα τὴν κοινὴν ταύτην καὶ παγκόσμιον ὁλκάδα ἐπανασώσασθαι τῇ κοινῇ συμπράξει καὶ συνεργείᾳ παντὸς τοῦ χριστωνύμου λαοῦ· οὗ ἕνεκα, σκέψεως κοινῆς καὶ συμβουλῆς γενομένης, δέδοκται κοινῇ γνώμῃ συνελθεῖν εἰς ἓν τό τε ἐκκλησιαστικὸν καὶ τὸ πολιτικὸν σύστημα, συνεφαψαμένους τε ὁμοῦ πάντας κοινῇ τὴν ὠφέλειαν συνεισάξαι καὶ τὴν σωτηρίαν συνεξεργάσασθαι καὶ δι' ὡρισμένων κεφαλαίων τὰ τῆς Ἐκκλησίας διακυβερνῆσαι καὶ εἰς εὐκατάστατον (ὅσον ἔνεστιν) ἀγαγεῖν κατάστασιν δι' ἐκείνων, ῥητῶς οὑτωσὶ ἐν τῷ παρόντι καταγραφομένων.

*Πρῶτον.* Ὑποσχόμεθα πάντες οἱ συναδελφοὶ ἀρχιερεῖς δεικνύειν πρὸς τὸν παναγιώτατον ἡμῶν αὐθέντην καὶ δεσπότην τὴν προσήκουσαν ὑποταγὴν καὶ εὐλάβειαν, εἰλικρίνειάν τε καὶ καθαρότητα εἰς τὰ συντείνοντα πρὸς σύστασιν καὶ διαμονὴν τῆς αὐτοῦ παναγιότητος, τιμήν τε καὶ εἰρηνικὴν κατάστασιν ἁπάσης τῆς ἀδελφότητος, καθὰ καὶ ἡ αὐτοῦ παναγιότης ἐν τῷ ᾧπερ δέδωκεν ὑποσχετικῷ γράμματι ὑπέσχετο φυλάξαι καθαρὰν ἀγάπην πρὸς ἕνα ἕκαστον τῶν συναδελφῶν ἀρχιερέων καὶ ἀπονέμειν τὴν προσήκουσαν πατρικὴν φιλοστοργίαν, οὐδόλως συναινοῦντες ποτὲ σκανδαλοποιῷ τινι φιλοταράχῳ τε καὶ κατατρέχοντι.

*Δεύτερον.* Οἱ ἐπίτροποι τοῦ Κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, οἱ ἐν τῷ παρελθόντι χρόνῳ ἐπιτροπεύσαντες, δοῦναι καθαρὸν λογαριασμὸν πρὸς τοὺς ἤδη διορισθέντας ἐπιτρόπους.

*Τρίτον.* Ἀνάγκη πᾶσα ἐστὶ δοθῆναι λογαριασμὸν παντὸς τοῦ χρέους τοῦ Κοινοῦ καὶ γενέσθαι παρὰ τῶν ἐπιτρόπων ἔρευναν οὐ μικρὰν καὶ ἐξέτασιν ἑκάστου τῶν χρεῶν, καὶ εἴ γε ἀποδειχθῇ τι χρέος ὀφειλόμενον παραλόγως ὑπὸ τοῦ Κοινοῦ, ἀναιρεῖσθαι καὶ μὴ δέχεσθαι καὶ ἀποποιεῖσθαι.

*Τέταρτον.* Ἐπεὶ προλαβόντως συνοδικῶς διωρίσθη πληρῶσαι πάντας τοὺς συναδελφοὺς ἀρχιερεῖς λόγῳ δανείου πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν βοήθειαν καὶ τινες ἐξ αὐτῶν οὐκ ἐφρόντισαν μέχρι τοῦδε ἐξαποστεῖλαι καὶ ἐξοφλῆσαι τὰ συνοδικῶς διορισθέντα αὐτοῖς δάνεια, ἀνάγκη φροντίδα γενέσθαι ἐπὶ τῷ συναχθῆναι ἐκεῖνα.

*Πέμπτον.* Ἐπειδὰν ποτε χρεία γένηται ἐπινοηθῆναι τρόπους ἐλεημοσύνης καὶ ἐξαρχικῆς βοηθείας, προβάλλεσθαι τοὺς τρόπους ἐκείνους καὶ τοὺς διορισμοὺς ἔμπροσθεν τριῶν ἐπιτρόπων λαϊκῶν ἐχόντων καὶ τὴν γνώμην τῶν λοιπῶν, καὶ λαμβάνειν τέλος τῇ παρουσίᾳ καὶ συναινέσει τούτων.

*Ἕκτον.* Χηρευούσης τινὸς ἐπαρχίας, ἡ μὲν ἐκλογὴ τοῦ ἐν αὐτῇ ἀρχιερατικῶς προστησομένου δέον γίνεσθαι ἀκωλύτως παρὰ τῆς ἱερᾶς συνόδου, καθὰ καὶ ἐν τῷ ἰδίῳ ὑποσχετικῷ γράμματι τῆς αὐτοῦ παναγιότητος ἐμπεριέχεται, ὁ δὲ διορισμὸς τῆς ποσότητος, τῆς δοθησομένης παρὰ τοῦ νεοχειροτονήτου φιλοτιμίας, γίγνεσθαι τῇ εἰδήσει καὶ λήψει τῶν ῥηθέντων ἐπιτρόπων.

---

[1]) Αἱ λέξεις «καὶ τυπικῇ» μέχρι «ἐγκαθορμιζόμεθα» εὑρίσκονται ἐν τῇ ᾠᾳ.

[2]) Ὡσαύτως τὰ «εἰς ὑπέραντλον».

[3]) Ὡσαύτως αἱ λέξεις «ἐπανατείνονται» μέχρι «ναυάγια».

www.dacoromanica.ro

*Ἕβδομον*. Ἐκρίθη εὔλογον καὶ ἀπεφάνθη καὶ τοῦτο ὡς λίαν ἀναγκαῖον, θεωρηθῆναι δηλαδὴ ἀκριβῶς τε καὶ λεπτομερῶς καὶ μετὰ πάσης καθαρότητος ἀνοικτὲς ἅπας λογαριασμός, γιγνομένης ἀκριβοῦς ἐξετάσεως μετὰ φόβου Θεοῦ.

*Ὄγδοον*. Πρὸς δὲ ἐκρίθη εὔλογον τὸ ῥιφθησόμενον ἤδη κατάστιχον τῆς ἐννάτης ἰνδικτιῶνος τοῦ ζητομιρίου τῶν συναδελφῶν ἀρχιερέων ῥιφθῆναι καὶ διορισθῆναι ἐν φόβῳ Θεοῦ καὶ σὺν τῷ δικαίῳ, κατὰ τὴν δύναμιν τῆς ἐπαρχίας καὶ οὐχὶ τοῦ προσώπου, μὴ ἀποβλέπειν δηλαδὴ εἰς τὸ πρόσωπον, ἀλλ' εἰς τὴν δύναμιν τῆς ἐπαρχίας· καὶ ὁ διορισμὸς οὗτος γίγνεσθαι ἐπὶ παρουσίᾳ καὶ τῶν ἐπιτρόπων καὶ κατὰ τὸ κατάστιχον τῆς ἐννάτης ταύτης ἰνδικτιῶνος διορθωθῆναι καὶ τὸ τῆς ὀγδόης ζητομιρίον καὶ οὕτω συναχθῆναι, ὀφειλόντων πάντων τῶν συναδελφῶν ἀρχιερέων πληρῶσαι σῶα καὶ ἀνελλιπῆ τὰ ζητομιρία αὐτῶν τῶν δύο ἰνδικτιώνων, ὀγδόης δηλαδὴ καὶ ἐννάτης, χωρὶς τοῦ βαστάσαι ὅλως διάφορα ἐξ αὐτῶν τῶν δύο ζητομιρίων, ἐπὶ τῷ ἀνακουφισθῆναι ὀλίγον τὴν Ἐκκλησίαν τῶν ἐπικειμένων αὐτῇ βαρυτάτων ἀναγκῶν καὶ χρεῶν.

*Ἔννατον*. Ἐν ταῖς χρεωστικαῖς ὁμολογίαις τῶν χειροτονουμένων τοὐντεῦθεν ἀρχιερέων ὑπογράφεσθαι καὶ τοὺς ἐπιτρόπους μάρτυρας, καταγραφομένου τοῦ χρέους ἑκάστης ἐπαρχίας ἀπὸ τοῦ νῦν ἐν ἰδίῳ τινὶ κώδικι, ἐν ᾧ δέον καταγραφῆναι καὶ ἑκάστης ἐπαρχίας εὑρισκόμενον ἤδη χρέος.

*Δέκατον*. Τὰ δοθέντα δανειακῶς τῇ αὐτοῦ παναγιότητι ἐν τῇ πατριαρχείᾳ παρὰ τῶν συναδελφῶν ἀρχιερέων κατὰ τὸ ἴδιον περὶ αὐτῶν κατάστιχον ἔχωσι πληρωθῆναι παρὰ τῶν ἐπιτρόπων μετὰ παρέλευσιν μηνῶν ἐννέα.

*Ἑνδέκατον*. Παρεκτὸς τοῦ πρὸ ὀλίγου γεγονότος διορισμοῦ ἐπὶ τῷ δανεῖσαι τοὺς συναδελφοὺς ἀρχιερεῖς ἀνὰ πεντακόσια γρόσια ἕκαστον, ἐπὶ συμφωνίᾳ τοῦ λαβεῖν ἐκεῖνα ἀπαραιτήτως ἐν διορίᾳ μηνῶν ἕξ, τοῦ λοιποῦ ἀποφαινόμεθα μὴ ἐνοχληθῆναι ὅλως τὴν ἀρχιερωσύνην αὐτῶν μήτε παρὰ τῆς ἡμῶν μετριότητος μήτε παρὰ τῶν ἐπιτρόπων δι' ἀπαιτήσεως δανείων καὶ ἑνὶ λόγῳ μὴ δανείζειν τοὺς συναδελφοὺς ἀρχιερεῖς ὡς καὶ πρότερον δι' ὁμολογιῶν τοῦ Κοινοῦ, καὶ ἀναιρεθῆναι διόλου τὴν τοιαύτην συνήθειαν, ἐπιβλαβῆ οὖσαν ταῖς ἐπαρχίαις καὶ ὀλεθρίαν.

*Δωδέκατον*. Τὰ συνήθη καὶ τυχηρὰ εἰσοδήματα τοῦ Κοινοῦ ἔχωσι λαμβάνειν οἱ ἤδη διορισθέντες ἐπίτροποι λαϊκοί, οἵτινες καὶ ὀφείλωσιν ἐξοδεύειν ἐξ αὐτῶν εἰς τὰς ἀναγκαίας χρείας τοῦ Κοινοῦ.

*Δέκατον τρίτον*. Θεωρουμένου κατ' ἔτος λογαριασμοῦ, ἔχωσι λαμβάνειν οἱ ἐπίτροποι γράμμα κοινὸν ἐξοφλητικὸν καὶ ἀποκαθίστασθαι πάλιν ἐπιτρόπους ἢ τοὺς ἰδίους αὐτούς, ἢ ἄλλους κατὰ τὸν ἐκτεθέντα τοῦτον τρόπον, ὅστις δεῖ φυλάττεσθαι ἐσαεὶ ἀπαραλλάκτως καὶ ἀμετατρέπτως.

*Δέκατον τέταρτον*. Δίδομεν ἄδειαν τοῖς κατὰ καιρὸν ἐπιτρόποις κατατρέχειν ὅσον ἔνεστι δι' ἐξόδων τοῦ Κοινοῦ τὸν φωραθέντα ποτὲ ἐπιφέροντα βίαν τινὰ καὶ ἐνόχλησιν ἢ εἰς τὸ Κοινόν, ἢ εἰς μητρόπολίν τινα, ἐπὶ βλάβῃ καὶ ζημίᾳ τοῦ κατὰ τόπον ἀρχιερέως.

*Δέκατον πέμπτον*. Ἐν ταῖς χρεωστικαῖς ὁμολογίαις τοῦ Κοινοῦ ὑπογράφεσθαι ἐγγυητὰς τοὺς συναδελφοὺς ἀρχιερεῖς κατὰ τὴν ἀρχαίαν συνήθειαν.

*Δέκατον ἕκτον*. Τὰ διδόμενα πατριαρχικὰ ἄρζια δι' ἥντιναοῦν ὑπόθεσιν ἐκκλησιαστικὴν ἢ πολιτικὴν δίδοσθαι τῇ εἰδήσει καὶ συναινέσει τῶν ἐπιτρόπων.

Ἐπεὶ δὲ ἀναγκαῖον ἦν τῷ τοιούτῳ τῆς ὁλοκληρίας συνδέσμῳ καὶ τῇ γεγονυίᾳ ἑνώσει ἐπὶ τοῖς ῥηθεῖσι κεφαλαίοις καὶ προσδιορισμοῖς ἐπιστάτας καὶ ἐπιτρόπους κατασταθῆναι ἱκανοὺς καὶ ἀξίους ἐπὶ τῷ ἐκπληροῦν μετὰ φρονήσεως τὰ συντελοῦντα τῇ κοινῇ συστάσει καὶ ὠφελείᾳ, τούτου χάριν κοιναῖς ψήφοις ἡμῶν καὶ γνώμαις διωρίσθησαν καὶ κατεστάθησαν ἐπίτροποι τοῦ Κοινοῦ ἐκ μὲν τῶν συναδελφῶν ἀρχιερέων ὁ Δέρκων κὺρ Σαμουήλ, ὁ Σερρῶν κὺρ Ἰωαννίκιος καὶ ὁ Μυτιλήνης κὺρ Ἄνθιμος· ἐκ δὲ τῶν εὐλογημένων ῥουφετίων ὁ χατζῆ κὺρ Δημήτρης ἀτλαστζῆς, ὁ χατζῆ κὺρ Ἀσλάνης, ὁ κυρίτζη Σκαρλατάκης γούναρις, ὁ χατζῆ κὺρ Μιχαλάκης λογάρης, ὁ μισὲρ Δημήτρης Σκαναβῆς, ὁ μισὲρ Δημήτρης Καβάκος, ὁ κυρίτζη Γεωργάκης Ῥάλογλους, ὁ χατζῆ κὺρ Γιωβάννης κερεστετζῆς, ὁ χατζῆ κὺρ Ἀθανάσης Μουσελλίμης καὶ

www.dacoromanica.ro

ὁ χατζῆ κὺρ Βασίλης κερεστετζῆς· οἵτινες καὶ ἀναλαδόντες τὴν φροντίδα καὶ ἐπιτροπὴν τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας τῇ προτροπῇ ἡμῶν ὑπέσχοντο ἐξυπηρετῆσαι αὐτῇ μετὰ πάσης προθυμίας, εὐθύτητός τε καὶ ἐν φόβῳ Θεοῦ καὶ καθαρῷ ψυχῆς συνειδότι φυλάττοντες τὰ εἰρημένα κεφάλαια, καθὰ καὶ ἡμεῖς ὑποσχόμεθα ἐν φόβῳ Θεοῦ φυλάττειν ταῦτα ἀπαρασαλεύτως, οὐδόλως διασείοντες καὶ ἀνατρέποντές τι ἐξ αὐτῶν καὶ ἀφορῶντες πρὸς τὴν ὠφέλειαν τοῦ Κοινοῦ εἰς τὴν σύστασιν τῆς Ἐκκλησίας, ἄνεσίν τε καὶ ἐλάφρωσιν τῶν βαρυτάτων αὐτῆς χρεῶν.

Καὶ δὴ γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα οἱ ἀνωτέρω ῥηθέντες καὶ διορισθέντες ἐπίτροποι ἀρχιερεῖς τε καὶ ἄρχοντες καὶ προεστῶτες καὶ γέροντες καὶ πρόκριτοι τῶν ῥουφετίων ὡς τέλειοι καὶ πληρεξούσιοι ἐπίτροποι ἔχωσιν ἄδειαν ἀναντιῤῥήτως παραλαμβάνειν εἰς χεῖρας αὐτῶν πάντα τὰ κοινὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰσοδήματα, ζητομιρίον δηλαδή, ἐμβατοίκια ἁπασῶν τῶν ἐνοριῶν τοῦ Οἰκουμενικοῦ Θρόνου, χειροτονικὰ καὶ φιλότιμα τῶν χειροτονουμένων ἀρχιερέων καὶ εἴ τι ἄλλο παρεμπέσοι εἰσόδημα τῷ Κοινῷ, εἴτε τυχηρόν, εἴτε διωρισμένον, καὶ δι' αὐτῶν ἀπαντᾶν καὶ διορθοῦν τό τε ἐπικείμενον τῇ Ἐκκλησίᾳ βασιλικὸν μιρίον, τὰ διάφορα τῶν χρεωστουμένων βακουφικῶν καὶ ἐξωτερικῶν ἄσπρων καὶ τῶν λοιπῶν δανειστῶν, καὶ ἑπομένως ἀπολογεῖσθαι καὶ τὰ λοιπὰ ἀναγκαίως ἐπακολουθοῦντα συνήθη καὶ διωρισμένα ἐτήσια δαπανήματα τοῦ Κοινοῦ διὰ καθαροῦ καταστίχου, καὶ ἑνὶ λόγῳ διεκπεραίνειν τὴν ἐπιστασίαν τῆς ἐπιτροπῆς αὐτῶν ταύτης καὶ καλῆς οἰκονομίας ἐν ὁμονοίᾳ καὶ συναινέσει κοινῇ καὶ δοκιμασίᾳ τοῦ συμφέροντος τῇ ἐκκλησιαστικῇ καταστάσει, φυλαττομένων παρ' ἡμῶν τε καὶ αὐτῶν ἀπαραμειώτως τῶν εἰδικῶς καὶ ὡρισμένως ἐκτεθέντων καὶ καταγραφέντων εἰρημένων κεφαλαίων. Ὁ δὲ τῶν καλῶν ἀρχηγὸς καὶ τελειωτὴς Χριστὸς ὁ Θεὸς ἡμῶν ἐπιδαψιλεύσοι τὸ ἔλεος αὐτοῦ πρὸς πᾶσαν καὶ παντοίαν διόρθωσιν, ἐνισχύων καὶ φωτίζων καὶ χειραγωγῶν αὐτοὺς πρὸς τὴν εὐκατάστατον στερέωσιν τῆς ἁγίας αὐτοῦ Ἐκκλησίας.

Ἐν τῇ συνελεύσει καὶ θεαρέστῳ κοινῇ ἀποφάσει ταύτῃ προσκαλεσθέντες καὶ συμπαρευρεθέντες οἱ ὑπογεγραμμένοι τιμιώτατοι κληρικοὶ καὶ εὐγενέστατοι ἄρχοντες, μετ' εὐχαριστίας ὅλῃ ψυχῇ ὑπέσχοντο συμπάσχειν καὶ συναγωνίζεσθαι ἐπὶ τῇ διαμονῇ καὶ συντηρήσει τῶν κεφαλαίων τούτων καὶ τοῖς ἐπὶ τῇ συστάσει αὐτῶν συντείνουσιν ἐν φόβῳ Θεοῦ. Ὅθεν εἰς τὴν περὶ τούτου ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν ὑποσχετικὸν ἡμῶν γράμμα καὶ ἐδόθη τοῖς διαληφθεῖσιν ἐπιτρόποις τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

Ἐν ἔτει σωτηρίῳ ,αψνζ$^{ῳ}$ (=1757), Νοεμβρίου λ$^{ῃ}$ ἰνδικτιῶνος ϛ$^{ης}$.

† *Ὁ Σεραφεὶμ πατριάρχης Κωνσταντινουπόλεως ὑπόσχεται.*
† *Ὁ Ἡρακλείας Γεράσιμος ὑπόσχεται.*
† *Ὁ Νικομηδείας Γαβριὴλ ὑπόσχεται.*
† *Ὁ Νικαίας Ἱερεμίας ὑπόσχεται.*
† *Ὁ Θεσσαλονίκης ὑπόσχεται.*
† *Ὁ Δέρκων Σαμουὴλ ὑπόσχεται.*
† *Ὁ Ἀδριανουπόλεως ὑπόσχεται.*
† *Ὁ Προύσης Μελέτιος ὑπόσχεται.*
† *Ὁ Πατρῶν Γεράσιμος ὑπόσχεται.*
† *Ὁ Φιλιππουπόλεως Αὐξέντιος ὑπόσχεται.*
† *Ὁ Σεῤῥῶν Ἰωαννίκιος ὑπόσχεται.*
† *Ὁ Μυτιλήνης Ἄνθιμος ὑπόσχεται.*
† *Ὁ Βιζύης Ἀγάπιος ὑπόσχεται.*
† *Ὁ Σωζουπόλεως Ματθαῖος ὑπόσχεται.*
† *Ὁ Γάνου καὶ Χώρας Νεόφυτος ὑπόσχεται.*
† *Ὁ Χίου Διονύσιος ὑπόσχεται.*
† *Ὁ Προικοννήσου Νικηφόρος.*

www.dacoromanica.ro

† Ὁ Κώου Μελέτιος.

† Ὁ μέγας λογοθέτης Γεώργιος Καρατζᾶς.

† Ὁ μέγας δραγομᾶνος Ἰωάννης Καλλιμάχης.

† Ὁ Δράκος Σοῦτζος. — Κωνσταντῖνος Καρατζᾶς. — Ἰωάννης Βλαστός. — Ἐμμανουὴλ Μάνος. — Νικόλαος Σοῦτζος. — Νικόλαος Μάνος. — Γεώργιος Χάτμανος. — Νικόλαος Ῥωσσέτος. — Γεώργιος Σπαθάρης. — Ἀλέξανδρος Σοῦτζος. — Ἀθανάσιος Ὑψηλάντης. — Νικόλαος Βεντούρας. — Κωνσταντῖνος Ποστέλνικος. — Γεώργιος Μάνος. — Ἰακωβάκης Ῥίζος. — Ἀντίοχος Μουρούζης. — Λουκᾶς Γιαγκουλαῖος. — Στέφανος Μίσιου. — Γρηγόριος Γκίκας. — Μανόλης Καμινάρης. — Γεώργιος Μουρούζης. — Θεόφιλος Καμινάρης.

---

## IZ'.

# ΕΠΙΓΡΑΜΜΑΤΑ ΚΑΙ ΕΤΕΡΑ ΕΜΜΕΤΡΑ.

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΕΠΙΓΡΑΜΜΑΤΑ ΚΑΙ ΕΤΕΡΑ ΕΜΜΕΤΡΑ.

## Α'.

### ΕΠΙΓΡΑΜΜΑΤΑ ΝΙΚΟΛΑΟΥ ΜΑΡΙΤΖΗ ΤΟΥ ΛΕΥΚΑΔΙΟΥ.

1.

*Εἰς τὸν ἐκλαμπρότατον αὐθέντην, εἰς βίβλον τυπωθησομένην ἡρωελεγεῖον.*

Ἠέλιος δήπου αὐγάζει πείρατα γαίης,
νυκτὶ δ' ἀμαυρωθεὶς ὄλλυσι μαρμαρυγάς.
Κωνσταντῖνος ἄριστος ἐὼν δ' οὖν Βασσαράβας γε
Οὐγκροβλαχίης νῦν κοίρανος, ἕσπερος ὡς
ἀστὴρ φωτοδότης διαλάμψας πυξίδας ἱρὰς
θέλγει ἐκτυπέων εὐσεβέων κραδίην.

2.

*Ἡρωελεγεῖον.*

Μᾶρκον, ὃς Κύπρον αὐχεῖ πάτρην, περίδοξος
Ἑπτάλοφος θρέψεν ὡραΐσας σοφίῃ·
νῦν σχολῆς δ' ἀρχὸς τελέθων Οὐγκροβλαχίης τε
ὤρθωσ' ἀμπλακιῶν πυξίδα τήνδ' ἱερήν.

3.

*Εἰς τὴν εἰκόνα τοῦ ἐκλαμπροτάτου αὐθέντου ἡρωελεγεῖον.*

Δείματο τόνδε νεὼν Κωνσταντῖνος μεγακλεὴς
Βασσαράβας, Βλαχίης κοίρανος εὐσεβόφρων,
ὃν τῇ χειρὶ κρατῶν πόλον ἐμβῆναι πόθον ἴσχει·
τοιὰ δὲ ῥέζει πᾶς χριστιανὸς δόκιμος.

4.

*Εἰς τὴν συνιστορηθεῖσαν εἰκόνα τῆς ἐκλαμπροτάτης δόμνας κυρίας Μαρίας.*

*Ἰαμβικά.*

Κράτος φέρων πάντων, Ἰησοῦ δέσποτα,
μικροῦ χαρίζων σὸν ποθητόν τ' ὂν φάος,
ἡμᾶς ἁμαρτιῶν λύσας ναοῦ τούτου χάριν
νυμφῶνος ἀξίωσον οὐρανῶν ἄνω·
ἐμοῦ βίου κοινωνὸν ἠδὲ σύζυγον
τήρει τ' ἐς ἀεὶ ἀκράδαντον ἐν βίῳ.



www.dacoromanica.ro

5.

*Εἰς τὴν εἰκόνα αὖθις τοῦ ἐκλαμπροτάτου ἡρωελεγεῖον.*

Πᾶς ἐν τοιοῖσδε πλοῦτον δαπανῶν δίχα λύπης
δόξης οὐρανίου κληρονόμος γίνεται.

6.

*Ἕτερον ἐκ μέρους τῆς εἰκόνος τοῦ ἐκλαμπροτάτου μπεϊζατὲ κυρίου Στεφάνου, υἱοῦ τοῦ γαληνοτάτου αὐθέντου.*

*Ἡρωελεγεῖον.*

Εὔχομαι ἀμφὶ τοκῆας ἐμεῖο σκῆπτρα φέροντας
πάτρης ἁμετέρας κ' εἰς πόλον ἱπταμένους
ταῖς ἐλέου πτέρυξι, συνέλκοντάς θ' ἅμα χ' ἡμᾶς·
ὧν εὐεργείαις τριάδα ὀψόμεθα.

7.

*Ἐκ μέρους τῆς εἰκόνος τοῦ μπεϊζατὲ Κωνσταντίνου πρὸς τὸν αὑτοῦ πατέρα.*

Μικρῶν τὰ μείζω καὶ φθιτῶν ἀΐδια,
πάτερ, καλῶς ὠνήσω· καὶ γὰρ εἰς γέαν
σηκοὺς ἱροὺς πήξας Σιὼν ἄνω λήψεις.

8.

*Ἕτερον εἰς τὸν ἐκλαμπρότατον αὐτὸν ἡγεμόνα.*

Δεῦρο, μολεῖτ' ἀμελητὶ ἀολλέες, ὄφρ' ἰδῴητε (sic),
κράντορες ὄρχαμοι ἠδ' ἡγεμόνες Βλαχίης
Κωνσταντῖνον κλεινόν, ὅπως γόνυ τῷδε κλίνητε·
ἄσπετον εὖχος γὰρ ἤρατο γῇ ἀπάσῃ
ἔργοις θεοφιλέσσι, νεῶν θ' ἱδρύσσεσι πλείστων.
Βασσαράβαν πάντες δοξάσατ' ἠδὲ τοκεῖς.

9.

*Εἰς τὸν Ῥάτουλα Γολέσκον ἰαμβικόν.*

Κοινωνός, ὦ Ῥάτουλ, γεγὼς δομήσεως
θείου ναοῦ τοῦδε, χρυσοῦ ἀφειδήσας,
Χριστὸν ὀφειλέτην ἔχεις· ὅς σοι δῴη
γῆρας πῖον καὶ Ἀβραὰμ θείους κόλπους.

---

Β'.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΣΕΒΑΣΤΟΥ ΚΥΜΙΝΗΤΟΥ

1.

*Ἀνεπίγραφον.*

Αὐσονίων γενεὴ τὴν ὀφρὺν οὐκέτ' ἐπαίρει
ἐν σοφίᾳ προέχειν ἔν τε τύπῳ βιβλίων,
ὅττι περ ὄρχαμος τοῖσδ' ἀντολίην ἐπιπρέπει
κοίρανος ἐκ προγόνων καὶ χαρίτων τρόφιμος.

www.dacoromanica.ro

Κωνσταντῖνος ὁ Βασσαράβας, μέγας φέρτατος ἥρως,
τῆς Οὐγκροβλαχίης οἴακας ὃς διέπει,
θειοφρόνως ἰδίοις καὶ νῦν ἀναλώμασι ταύτην
χαλκοτυπεῖ βίβλον, σύμφορον εὐσεβέσι[1].

2.

*Ἔν τινι οἰκήματι ἐν τῷ ἐν τῇ Πογιάνᾳ Προσκίμπιναν μοναστηρίῳ.*

Ἐλθὼν νῦν εἴσω, φίλε, τοῦδ' οἰκήματος ἵζευ,
μάνθανε καὶ βίβλου ἥσυχος ἁπτόμενος·
σπουδὴν γὰρ μετιοῦσι τόδ' ὥρισε διὰ γυναικῶν
Θωμᾶν γειναμένη Παλλάσα εὐγενέα.

3.

*Εἰς τὸ λαζαρέτον.*

Δόμοι πέλουσιν ῥύψεως οἱ ἐνθάδε,
χάριν δοθέντες πᾶσι τοῖς προσηλύτοις·
ψαύειν γὰρ ἁγνῶν τοῖς ἀνάγνοις οὐ θέμις
ἡ Ἑνετῶν ἔφησε παρθένος πόλις.
͵αψδ^ῳ (=1704) Δεκεμ. 14.

4.

*Ἀνεπίγραφον.*

Ἐκ νεκάδων Χριστὸς ζωὴν νεκύεσσιν ἔδωκεν
ἐγρόμενος, θανάτῳ τε μόρον καθελὼν προθέλυμνον.
Ἐγρομένου Χριστοῖο, νεκροὶ βιοτῆς ἐπέτυχον.

5*).

Νυκτιφανέεσσιν ἔλαμψας ἐν ἄστρασιν ἥλιος ὄντως
ἔξοχα τεοῖς προγόνοις, πᾶσί τε ἡγεμόσι
θείαις σαῖς ἀρεταῖσι, φρονήσεσι σεῖο νοός τε
φεγγοβόλοις καθάπερ λάμψεσιν ἠελίου·
τοὔνεκα δὴ τὸ σκῆπτρον ἐδέξαο πᾶσιν ἀνάσσειν,
κοίρανε, οὐρανόθεν γ' ἀνδράσι τῆς Βλαχίης.

6.

*Εἰς εἰκόνα τοῦ ἁγίου μανδηλίου.*

Ὥσπερ δι' ὑπερβάλλουσαν, Σωτήρ, φιλανθρωπίαν
καταδεξάμενος ποτὲ ἑκούσιον πτωχείαν
διὰ τοῦ θείου τύπου σου τοῦ ἐν τῷ μανδηλίῳ
ἄνδρας καὶ πόλεις ἔσωσας πολλῶν πειρατηρίων,
οὕτω καὶ νῦν περίσωζε καὶ τὸν πιστὸν ποιμένα,
αὐθέντην γαληνότατον πάσης Οὐγκροβλαχίας,
τὸν Κωνσταντῖνον, μέγιστον καύχημα ὀρθοδόξων,
τῷ πάλαι πάντη ὅμοιον, νεώτερον τοῖς χρόνοις,

[1]) Ἄνωθεν τῶν δύο τελευταίων λέξεων· «*δογματικὴν σοφίαν*, ἢ *δόγματα σοφίης*».

*) Ἐν τῇ ῷᾳ γέγραπται τὸ ἴσ⟨ως⟩ *Εὐσταθίου.*

www.dacoromanica.ro

εὔθυμον καὶ μακρόβιον παρέχων εὐζωΐαν
σὺν τῇ συζύγῳ καὶ βλαστοῖς τοῖς κεχαριτωμένοις·
οἷς ἀλληλοδιάδοχον τήρει ἡγεμονείαν,
ἔσχατον χαριζόμενος τὴν ἄνω κληρουχίαν.

7.

*Πρὸς τὸν ἐκλαμπρότατον, εὐσεβέστατον, ἐνδοξότατον, μεγαλοπρεπέστατόν τε καὶ ὑψηλότατον αὐθέντην καὶ ἡγεμόνα πάσης Οὐγκροβλαχίας κύριον κύριον Ἰωάννην Κωνσταντῖνον Μπασαράμπα βοεβόδα*[1].

Ηὔχετ' ὀφρὺς δυτικὴ σοφίῃ πρίν ποτε πάντῃ
ἔν τε τύπῳ βιβλίων ἀντολικῶν προφέρειν·
ἀμφοτέρων δ' ἀνέτειλε τέως χάρις ἐνθάδε πιστοῖς
ἔν τε διδασκαλίαις ἔν τε τυπογραφίαις
σπουδῇ καὶ δαπάνῃ μεγαλόφρονι καὶ θεοπνεύστῳ
σῆς χειρός, ἡγεμόνων πιστοτάτων ἀκρότης,
Κωνσταντῖνε μέγιστε, φαεινότατε Μπασαράμπα,
φέρτατε ἡγεμόνων Οὐγκροβλάχων πολίων.
Ζώῃς ἐς λυκάβαντας ἀπείρονας, ὦ Πτολεμαῖε
ὀψίτερε, στεφάνων ἄξιε οὐρανίων.

8.

*Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.*

Ἄνθεσι πνευματικοῖς ἀναδήσατε φοίβιμον ἄνδρα·
μέλψατε δ' ἐκ στομάτων ἁπτόμενοι δονάκων,
ὅττι περ ἡγεμόνων κλέος εὐσεβέων μέγα θαῦμα
Κωνσταντῖνος ἔφυ, γέννα παλαιστεφέων.

9.

*Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.*

Κωνσταντῖνον ἔδωκας ἄνακτα πάλαι βασιλεύειν
σῶν λογικῶν προβάτων, Χριστὲ ἄναξ, ἁγίως·
δεύτερον ἄρτι δέδωκας ὁμότροπον ἔξοχα κείνῳ
ὄρχαμον ἡγεμόνων, δέσποτα παντοκράτορ·
ἀντιλαβοῦ, περίσωσον ἀνώτερον ἐκ πολεμούντων
σῶν θεράποντα φανὸν προσταγμάτων ἁγίων,
οἴακας Οὐγκροβλάχων πολίων ὅτι γ' εὐθέα νωμῶν
ἥλιος ὡς λαμπρὸς ηὔγασε τόνδε βίον.

Ὁ διδάσκαλος τῆς ἐν Βουκουρεστίῳ τῆς Οὐγκροβλαχίας αὐθεντικῆς ἀκαδημίας Σεβαστὸς Τραπεζούντιος ὁ Κυμινήτης.

10.

*Εἰς τὴν βίβλον.*

Κάλλεος οὐρανίου τρίβον ἔξοχα θεσμοθετοῦσιν
ἀρχετύπων κανόνων ἴχνεσι πειθόμενοι,

---

[1] Πρβλ. *I. Bianu-N. Hodoş*, Bibliografia romănéscă veche, τ. 1, σ. 380. Διὰ τὰ ἐπιγράμματα 7—12 ἴδε *É. Legrand*, Bibliographie hellénique du XVII-e siècle, τ. 3, σ. 62—64.

www.dacoromanica.ro

ἀνδρῶν θειολόγων τ' ἀκριβεῖς ὀπαδοὶ θεοπνεύστων
πυρσὸν ἀληθείας, ἄγκυραν εὐσεβέων.
Ἐκ συνόδου βιβλίων τὸ μὲν ἐκδοθέν, ἐκ δὲ τὸ λοιπὸν
Βησσαρίων ὁ Μακρῆς δῶκ' Ἰωαννινόθεν
ἀκρεμόνων ἀρετῶν τριάδος πέρι θειολογήσας,
πίστεως, ἐλπωρῆς ἠδὲ τρίτης ἀγάπης.

11.

*Τοῦ αὐτοῦ ὡς ἀπὸ τῆς βίβλου.*

Δεῦτέ μοι, χριστοφόροι, ἀνὰ χεῖρας ἑλόντες ἁπάσης
δόγματα θειοσόφου γνῶτε διδασκαλίας.

12.

*Ἄλλο τοῦ αὐτοῦ.*

Ἀρτιφανῶν πιδάκων ἀνιμῶμεν ἰόντες ἐάων,
οὓς παρέηκεν ἑοῖς ἀμπετάσας καμάτοις,
ἐκ γραφικῶν λιβάδων ὀχετεύσας τῶν θεοπνεύστων
Βησσαρίων ὁ Μακρῆς, βλαστὸς Ἰωαννίνων.

13.

*Ἕτερον καταλειφθέν.*

Οὐρανίου κάλλεος τρίβον ἅπασι θεσμοθετοῦσιν
ἀνδρῶν θεολόγων δόγματα καὶ σοφία.
Εὐσεβέων μέγα κῦδος, ἀπιστούντων μέγα τραῦμα,
φέγγος ἀληθείας, ψεύδεος αὐτολέτης
ἐκ συνόδου βιβλίων τὸ μὲν ἐκδοθέν, ἐκ δὲ τὸ λοιπὸν
Βησσαρίων ὁ Μακρῆς δῶκ' Ἰωαννινόθεν.

14.

*Ἕτερον ὁμοίως.*

Δόγματα θεῖα σοφοὶ[1] πανάριστά τε θεσμοθετοῦσιν
ἀρχετύπων[2] κανόνων ἴχνεσι πειθόμενοι
θειολόγων ἀνέρων ἀναγράπτοις πνευματοφθόγγων
πυρσὸν ἀληθείας καὶ νόμον εὐπραγίας.

15.

Κάμνει καὶ ἀδάμαντος ἅλις χρόνος, ἀλλ' ἀρετάων
μνήμην ἠδὲ κλέος σῶν, ἔξοχε δούξ,
οὐδ' ἂν ὁ πᾶς αἰὼν σχοίη καθάπαξ ἀπαλείφειν
ἐνσημανθεισῶν πλάκεσιν εὐσεβέων·
ὅσσα γὰρ ἡμετέρῃ γενεῇ πόρες οἷά τε πᾶσιν,
ἡγεμόνων[3] οὐδεὶς πρόσθεν ὄπασσεν ὅλως.
Πρίν ποθ'[4] ἕδος Μουσῶν ἦν καὶ κλέος ἄνθος Ἀθῆναι,
νῦν δ' ὑπέθου ταύταις κλεινὸν ἕδος Βλαχίης,

---

[1]) Ἄνωθεν τῶν «θεῖα σοφοὶ» ἡ γραφὴ «πρωτοτύπου σοφίης».
[2]) Ἄνωθεν τὸ «θεογράφων».
[3]) Ἄνωθεν· «ἀγλαὰ δῶρα».
[4]) Ἄνωθεν· «δέ τ'».

www.dacoromanica.ro

χαλκοτύποις τε βίβλοις παρέχεις χάριν εὐθυφρονοῦσιν
ἐν διαλέκτοισιν χρησιμοτετραπλόκοις,
Ἑλλήνων, Γραικῶν, Βλαχικῶν ἠδὲ Σθλωβανικῶν τε
σύν τ' ἀκαδημαϊκοῖς γυμνασίοις σοφίης,
Κωνσταντῖνε μέγιστε, θεῷ κεχαριτωμένε λίαν,
ἡμεμόνων ἀκρότης, φέγγος ἀριπρεπέων.

16.

*Ἐπίγραμμα ἀφιερωτικὸν εἰς τὴν πανευγενεστάτην κόρην τοῦ ἐν μακαρίᾳ τῇ λήξει κυρίου κυρίου Ἰωάννου Σερβάνου βοεβόδα πάσης Οὐγκροβλαχίας, τοῦ Καντακουζηνοῦ, κυρίαν δδεῖνα.*

Πολλαὶ κόραι ἴσχυσαν ἐν τῇ Βλαχίᾳ
κάλλει, φρονήσει ψυχικῇ τε καὶ γένει·
σὺ δ' ἀλλ' ὑπέρκεισαι πασῶν ἀγλαΐαις
καὶ γραμμάτων γνώσει γένει τε προανάκτων,
ἐν εὐαρεστήσει τε τῶν θείων λόγων·
καί σοι προσῆγον ἱερὰν ταύτην βίβλον,
ἐξαιρέτως ἄγουσαν εἰς θεῖον χῶρον
τοὺς εὐλαβῶς καὶ νουνεχῶς ἀναγνόντας.

Τραγίτζης, δεύτερος σπαθάρης, ὁ ἀνεψιός σου. ,αχϞη$^{ω}$ (= 1698) κατὰ μῆνα ὁδεῖνα.

17.

*Εἰς εἰκόνα τοῦ ἁγίου μανδηλίου ἀφιερωθεῖσαν τῷ ἐκλαμπροτάτῳ.*

Εἰκόνα σοι πρωτότυπον Χριστῷ κεχαραγμένην
προσάγομεν, φιλόχριστε, χειρόγραφον ὁμοίαν,
ὦ Κωνσταντῖνε μέγιστε, τῶν ἡγεμόνων κλέος,
χριστιανῶν τὸ καύχημα, στέφος Οὐγκροβλαχίας.
Ζωὴν δὲ πολυχρόνιον, κράτος, εὐδαιμονίαν
καὶ σωτηρίαν δώσει σοι Χριστὸς εἰς τοὺς αἰῶνας
σὺν τῇ συζύγῳ καὶ βλαστοῖς θεόθεν φρουρουμένοις
καὶ συγγενέσι καὶ γνωστοῖς ἄρχουσι καὶ στρατείᾳ·
ἡ τῆς εἰκόνος γάρ φησι Βασίλειος ὁ μέγας
τιμὴ πρὸς τὸ πρωτότυπον πάντοτε διαβαίνει
καὶ σωτηρίαν δίδωσι τοῖς σεβομένοις ταύτην
καὶ πάντα καταθύμια νῦν τε καὶ εἰς αἰῶνας.

18.

Ὥσπερ ξένοι χαίρουσι τυχεῖν πατρίδος
καὶ οἱ θαλαττεύοντες τυχεῖν λιμένος,
οὕτω κἀγὼ τέρπομαι τυχὼν πατρίδος,
πρὸς ἣν ἔσπευδον ἐκ πρώτης ἡλικίας,
τὰς τῇδε φυγὼν τοῦ βίου τρικυμίας.
Μὴ οὖν θρηνεῖτε, ἀλλ' ὑπερεύχεσθέ μου,
γεννήτορες φίλταται τοῦ Κωνσταντίνου,
Μπρατασάνε τε καὶ μήτηρ Ἀλεξάνδρα
καὶ ξυμφοιτηταὶ καὶ συγγενεῖς καὶ φίλοι
καὶ πάντες γνωστοί, τυχεῖν με σωτηρίας
καὶ μακαρίας τῶν ἄνω κληρουχίας
ταγμάτων νόων καὶ πάντων τῶν ἁγίων,

www.dacoromanica.ro

ὅπου τὸ ἄκρον τῶν καλῶν καὶ τὸ τέλος
ὑμνεῖν σὺν αὐτοῖς τὸν πάντων βασιλέα,
μονάδα τρισήλιον εἰς ἀϊδίους
καὶ ἀπεράντους αἰῶνας τῶν αἰώνων.

---

## ΗΜΕΤΕΡΟΥ ΚΑΘΗΓΗΤΟΥ ΚΥΡΙΟΥ ΣΕΒΑΣΤΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ.

19.

*Ἐπίγραμμα εἰς Ἄνθιμον ἀρχιερέα Καισαρείας μετὰ τοῦ συντέκνου αὐτοῦ Θεοδώρου ἐν ἑνὶ κειμένων μνημείῳ.*

Ἄνθιμον ἀρχιερῆά με Καισαρέων ὅδε τύμβος
ἄνδοχον ἐγκατέχει τοῦδ', ὃς ἅμ' ἔνθα πέλει·
τὸν Θεόδωρον ὁμοῦ σαόσαι, παροδῖτα, προσεύχου·
ἄμμι γὰρ ἐνδεδώκει φάρμακα πάντα πόνων.

20.

*Εἰς μανδήλιον τοῦ μακαριωτάτου κυρίου Δοσιθέου· ἁρμόδιον καὶ εἰς ἑτέρων.*

Κόσμια πάντα, σιγᾶτε· ἅπαν γέρας ἦκεν ἐμοί γε·
ὃν γὰρ ἐγὼ κοσμεῖν ἔλλαχον, οὗτος ἀγὼν
ἄκρᾳ πατεῖ, πατέρων ἅτε οἴακας εὐθέα νωμῶν
καὶ ἀρετάων δὴ πρῶτα φέρων σοφίῃ.

21.

*Εἰς τὸ αὐτό.*

Τίς πρὸς ἐμὸν πατέρων ἀγὸν ἀντία τόξα τιταίνει,
ἀψῖδας οὗτος ἐπεὶ πέφθακεν οὐρανίους;

22.

*Εἰς τὸν αὐτόν.*

Χαῖρε, Σιών· πρόμαχον μέγαν ἔλλαχες, οἷα πατριάρχης
Δουσίθεος, πάντων ὃς ῥύετ' ἐκ καμάτων.

23.

*Ἐπιτάφιον ἐπίγραμμα εἰς τὸν Φιλιππουπόλεως κύριον Γαβριήλ.*

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀρχιθυτῶν πόλεως, ἧς ὁ Φίλιππος ἄναξ.

24.

*Ἕτερον.*

Ἀρχιθυτῶν Γαβριὴλ κλέος, ἆρά γε[1] καὶ σὺ τεθνήκεις;
γηγενέων ὁ πατέρων οὐχ ὑπάλυξε τάφον.

25.

*Ἕτερον.*

Ἄστεος ἀρχιερῆα Φιλίππου τὸν Γαβριῆλον
τύμβος ὁ τῇδε φέρει· σπεῖσον, ὁδῖτα, δάκρυ.

---

[1]) Ἄνωθεν· «ἦ ὄντως».

www.dacoromanica.ro

26.

*Εἰς γωνίαν καμάρας μεγάλης, ἢ οἰκίας λαμπρᾶς.*

Ἰπνὸς ὁ τῇδε φίλος μεγάρων τῶνδ' ἔπλετο κόσμος·
ἔργμα δ' ἄπεστι, βορᾶς ἐνθάδ' ἄρωμ' ἀράρει.

27.

*Ἐπιτύμβιον Μανουὴλ τοῦ Βλαστοῦ.*

Βλαστοῦ τύμβος ὁ τῇδε Μανουὴλ σῶμα φορεῖται,
Κωνσταντῖνος τοῦ δείματ' ἄναξ πατρίδα.
Πάντες ὁμοῦ δακρύσωμεν ἁμαρτάδος εἵνεκα τοῦδε·
τῷδε γὰρ ἐνδεδώκει φάρμακα πάντα πόνων.

28.

*Εἰς τὸν νέον τύπον. Ἐν ἀρχῇ τῆς βίβλου κατὰ Λατίνων*
*τοῦ μακαριωτάτου πατριάρχου Ἱεροσολύμων.*

Ηὔχετ' ὀφρὺς δυτικὴ σοφίῃ μέγ' ἐν Ἑλλάδι πρώην
ἔν τε τύπῳ βιβλίων ἀντολικῶν προφέρειν·
ἀμφοτέρων δ' ἀνέτειλε τέως χάρις ἐνθάδε πιστοῖς·
ταῦτα κλέος κείνων, ἀντολικῶν δὲ θεός.

29.

Δείματο τοῦτον ἄριστα δόμον περὶ τῇδε κρατοῦσι
Σερβᾶνος Ἰωάννης, γέννα παλαιστεφέων·
κεῖνος ἄριστος ἀγῶν, ἀρεταῖς θεὸν ὃς φίλον ἴσχει·
ὄλβος ὁ τῇδε μάτην πλοῦτον ἐς οὐρανίων.

*Ἐξήγησις τοῦ αὐτοῦ.*

Ἰωάννης Σερβᾶνος βοηβόνδας ὁ ἐκ γένους βασιλικοῦ καταγόμενος ᾠκοδόμησε πολυτελῶς τὸν παρόντα οἶκον εἰς εὐωχίαν τε καὶ ἀνάπαυσιν τῶν ἐξαιρέτως ἐνταῦθα κρατούντων. Τοιγαροῦν, ὦ πανάριστοι ἡγεμόνες Οὐγκροβλαχίας, συνελθόντες ἀναπαύεσθε καθήμενοι ὑπὸ τοῦτον τὸν οἶκον· εὐωχούμενοι δὲ φροντίσατε καὶ ἀμφοῖν τῶν ἐσχάτων, τοῦ τε προσκαίρου φημὶ τῆς ζωῆς τέλους καὶ τοῦ μέλλοντος κριτηρίου. Ἐκεῖνος καὶ γὰρ ἔξοχος καὶ ἄριστος ἐν ἡγεμόσιν ἐστίν, ὅστις δι' ἐναρέτου πολιτείας εὔνουν ἔχει καὶ ἵλεων τὸν τῶν ὅλων θεόν· ὁ δὲ πρόσκαιρος ἐνταῦθα πλοῦτος καὶ σύμπασα ἡ τοῦ παρόντος βίου εὐδαιμονία τῳόντι ματαία κριθήσεται παραβαλλομένη πρὸς τὴν οὐράνιον βασιλείαν.

---

## Γ'.

## ΑΝΩΝΥΜΟΥ.

1.

Ξείνοις Κωνσταντῖνος ἠδ' ἀστοῖς γλυκερὸν ἦμαρ,
Καντακουζηνῶν ἔκγονος εὐγενέων·
τοῦτον ἐγὼ δ' ἀνέθηκα θεόφρονι πίνακα τῷδε
ἐς μακροὺς κύκλους εὐχόμενος βιόειν.

www.dacoromanica.ro

2.

Λαμπρῶν τετρακτὺς ὡραΐζει χαρίτων
ἡρωϊκόν, μέγιστε, σὸν σκῆνος, μέδων·
εὐαγγελιστῶν δ᾽ ἡ τετρὰς τὴν σὴν κάραν
εὐχαῖς στέφουσα πανταχοῦ φρουρεῖ, σκέπει.

3.

Καὶ τόδ᾽ Ἰωάννης Κωνσταντῖνος Βασσαράβας
τῶν Οὐγκροβλαχίης φέρτατος ἡγεμόνων
κήπῳ ἐν εὐθαλέοντι δομήσατο πάγκαλον ἔργμα,
ἡγεμόσι τρυφήν, θαῦμά τε δαιτυμόσι.

---

Δ΄.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΙΩΑΝΝΟΥ ΚΟΜΝΗΝΟΥ.

1.

*Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν ἐν μακαρίᾳ τῇ λήξει ἐν διδασκάλοις ἀοίδιμον κὺρ Σεβαστόν, ποιηθὲν παρὰ τοῦ ἐξοχωτάτου ἐν ἰατροφιλοσόφοις κυρίου κυρίου Ἰωάννου τοῦ Κομνηνοῦ*[1].

Ἐνθάδε κεῖται πρεσβύτου σοφοῦ δέμας,
κλῆσιν Σεβαστοῦ καὶ γένος Κυμινήτου,
πατρὶς Τραπεζοῦς ᾧπερ ἦν κλεινὴ πόλις.
Ἀλλ᾽ ὦ μαθητῶν πληθύς, ὡς εὐγνωμόνως
οἷς αὐτὸς ἐξέδωκε παιδείας λόγοις
διδασκάλῳ σπείσατε δάκρυ κειμένῳ
(σβέσθη σοφῶν γὰρ λύχνος ἐκ μέσου μέγας)
καὶ Χριστὸν αἰτήσασθε τῶν πόνων γέρας
αὐτῷ παρασχεῖν τὴν ἄνω κληρουχίαν.

2.

*Ἐπίγραμμα ἐπιτάφιον εἰς τὸν μακαρίτην διδάσκαλον κύριον Θεόδωρον τὸν ἐκ Τραπεζοῦντος, ποιηθὲν παρὰ τοῦ σοφωτάτου καὶ ἐξοχωτάτου ἐν ἰατροφιλοσόφοις κυρίου κυρίου Ἰωάννου Κομνηνοῦ, τοῦ ὕστερον διὰ τοῦ θείου καὶ ἀρχιερατικοῦ ἀξιώματος Ἱεροθέου ἐπικληθέντος καὶ Σίδης χρηματίσαντος μητροπολίτου.*

Τύμβος ὅδε κρύπτει Θεόδωρον τὸν Συμεῶνος,
Μουσῶν Πιερίδων εὐγενέα τρόφιμον,
κλεινῆς Τραπεζοῦντος ὃς ἤλυθεν ἔκποτε πάτρης
φωνὴν διδάξων Ἑλλάδος Οὐγκροβλάχοις.
Ἀλλὰ πότμος μιν ἔμαρψεν ἀμείλιχος, ἔλλιπε δ᾽ ἄλγος
δυστήνῳ τ᾽ ἀλόχῳ καὶ τεκέεσσι φίλοις.
Κλαύσατε, φιλολόγοι, καὶ εἰς νηὸν παριόντες
εὔχεσθ᾽ οὐρανίων τόνδε λαχεῖν στεφάνων.

---

[1]) Πρβλ. Κωνσταντίου τοῦ ἀπὸ Σιναίου πατριάρχου συγγραφὰς ἐλάσσονας (ἐν Κων/πόλει 1866), σ. 353 Ἀνώνυμον τὸ ἐπίγραμμα παρὰ τῷ Π. Τριανταφυλλίδῃ (Τὰ Ποντικά. Ἐν Ἀθήναις 1866, σ. 189), σημειοῦντι ὅτι σῴζεται ἐν τῇ βλαχικῇ μονῇ τοῦ ἁγίου Σάβα μετὰ τῆς χρονίας· «Ἐν ἔτει 1702 Σεπτεμβρίου 6, ἡμέρᾳ Κυριακῇ.» Ἰδὲ καὶ Ἑ. Κυριακίδου Βιογρ. τῶν ἐκ Τραπεζοῦντος... λογίων. Ἐν Ἀθήναις 1897, σ. 67—68. Παρὰ τῷ Τριανταφυλλίδῃ (σ. 189) εὑρίσκεται ἀνώνυμον καὶ τὸ εἰς Θεόδωρον τὸν Συμεῶνος ἐπίγραμμα, ὅπερ Ἐπαμεινώνδας ὁ Κυριακίδης (ἔνθ᾽ ἀνωτ. σ. 83—84) προσνέμει εἰκαστικῶς εἰς τὴν γραφίδα Λαζάρου Σκρίβα.



www.dacoromanica.ro

ΙΗ΄.

# ΜΕΛΕΤΙΟΥ ΠΗΓΑ

ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΑΙ ΕΠΙΤΗΡΗΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΕΠΙΣΤΟΛΑΙ

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΠΟΛΩΝΙᾼ ΚΑΙ ΜΙΚΡᾼ ΡΩΣΙᾼ ΟΡΘΟΔΟΞΟΥΣ.

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΜΕΛΕΤΙΟΥ ΠΗΓΑ

## ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΑΙ ΕΠΙΤΗΡΗΤΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΕΠΙΣΤΟΛΑΙ

## ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΠΟΛΩΝΙᾼ ΚΑΙ ΜΙΚΡᾼ ΡΩΣΙᾼ ΟΡΘΟΔΟΞΟΥΣ.

---

### 1.

Τοῖς κατὰ Πολώνιαν εὑρισκομένοις ὀρθοδόξοις τῆς ἐν Λεοπόλει Ἀδελφότητος σὺν τοῖς λοιποῖς ὀρθοδόξοις ἀδελφοῖς, ἐν Κυρίῳ υἱοῖς ἀγαπητοῖς τῆς ἡμῶν μετριότητος, χάριν κτλ.

† Μεγίστης ἡμᾶς θυμηδίας ἐνέπλησαν τὰ ὑμέτερα γράμματα δηλοῦντα τὴν πρὸς ἡμᾶς κατὰ Θεὸν ἀγάπην, δι᾽ ἣν καὶ μετὰ δεήσεως ἰσχυρᾶς καλεῖτε ὡς ὑμᾶς δεομένους, ὡς φατέ, ἰατροῦ διὰ τὰς πνευματικὰς ἐκείνας πληγάς, αἷς κατέτρωσεν αὐτοῦ τὴν Ἐκκλησίαν ὁ ἐχθρός, καὶ μάλιστα τῶν ποιμένων τινὰς διγαμίαις περιπλεκομένους καὶ τὸ χρῆμα τὸ οὐράνιον τῆς ἱερωσύνης καταχραίνοντας· δείλαιοι, ἵνα καὶ ἡμεῖς τὸ ἐκεῖθεν παραδηλώσωμεν ἡμέτερον τραῦμα, οἵτινες καὶ νόμους συνοδικοὺς καὶ αὐτὸν ἐκεῖνον τὸν καὶ διὰ τῶν πατέρων καὶ διὰ τοῦ ἀποστόλου νομοθετοῦντα δεῖν εἶναι τὸν ἐπίσκοπον μιᾶς γυναικὸς ἄνδρα ἀθετοῦντες. Ἀλλὰ τυχὸν τὸ ἀποστολικὸν πάλιν τινὰς ἔβλαψε παρερμηνευθέν, ὡς δῆθεν ἐξὸν γυναικὶ συζῆν τὸν ἐπίσκοπον. Ἄλλως ἐνόησαν οἱ πατέρες ἡμῶν, ἀδελφοί, τὸν συζήσαντα γυναικὶ μετὰ τὴν ἐπισκοπὴν κελεύοντες τὴν ὑπάρξασαν γαμετὴν ἐν μοναστηρίῳ εἰσοικίσαντα, καὶ μοναστηρίῳ τῆς ἐπισκοπῆς πορρωτάτω, οὕτω τῆς ἐπισκοπῆς ἀξιωθῆναι, καὶ τοῦτο οὐ τὸν γάμον βδελυσσόμενοι (κεκώλυται γὰρ τοῦτο παρὰ τῶν ἱερῶν νόμων), ἀλλ᾽ οὐδὲ διαλύοντες ἃ ὁ Θεὸς ἔζευξεν, ὡς ἀκούομεν λέγειν τινάς. Τότε λύεται καὶ διαλύεται ὁ κατὰ Θεὸν συζευχθείς, νόμος τε καὶ θεσμὸς καὶ σύνδεσμος, ὅτε τι παρεμπέσῃ Θεοῦ ἀλλότριον καὶ ξένον τῆς κατὰ Θεὸν βιοτῆς· εἰ δέ, μένει μὲν ἡ κατὰ Θεὸν ἀγάπη καὶ δίχα τῆς συναφείας τῆς σαρκικῆς (οἵα ἦν τοῦ προπάτορος Ἀδὰμ πρὸς Εὔαν τὴν προμήτορα πρὸ τῆς παραβάσεως), παραχωρεῖ δὲ μείζονι καλῷ, οἷόν ἐστι ἡ τῶν προβάτων τοῦ Χριστοῦ ποιμανσία· ὧν ἕνεκεν καὶ αὐτὸς ὁ Σωτὴρ μή τι γε μητέρα κατέλιπεν, ἀλλὰ καὶ τῶν πατρικῶν κόλπων ἑαυτὸν ἀνεκφοιτήτως κενῶσαι καὶ θεοπρεπῶς παρέδωκεν εἰς θάνατον, ὅρον νομοθετήσας ἀγάπης ἀκρότατον τὸ τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν φίλων τιθέναι. Εἰ μὲν οὖν ἐν τῇ κατὰ Θεὸν πολιτείᾳ μὴ διασπασθείσης τῆς κατὰ Θεὸν ἀγάπης, ἀλλὰ τοῦ δεσμοῦ τοῦ πνευματικοῦ ἀῤῥαγεστάτου μεμενηκότος τὸ ζωωδέστερον τῆς σαρκὸς φρόνημα ἐκ μὲν τῆς παραβάσεως τῇ φύσει παραφυέν, ἐκ δὲ τῆς προνοίας τοῦ φιλανθρώπου Θεοῦ τῇ ἀσθενείᾳ συγχωρηθέν, ἡ ζωώδης φημὶ μῖξις παραχωρεῖ τῷ πνεύματι ὥστε μειζόνως καὶ ἀγγελοειδεστέρως ὑπηρετήσωμεν Θεῷ καὶ γεννήσωμεν διὰ τοῦ Εὐαγγελίου (κατὰ τὸν μέγαν Παῦλον)[1] υἱούς, τίς ἔτι καταλείπεται πρόφασις τοῖς ἀρχιερεῦσι τοῦ μὴ βούλεσθαι τοῖς πατράσιν ἕπεσθαι καὶ μοναστηρίῳ καταστήσασι τὰς γαμετὰς γαμετὴν ἄλλην, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἑαυτοῖς συζεῦξαι, ἄλλως ἢ κατὰ σάρκα παιδογονοῦντες Χριστῷ; ἢ οὐκ ἴσασι τὰς εὐνούχοις παρ᾽ Ἡσαΐᾳ τεθησαυρισμένας ἐπαγγε-

---

[1]) Κορ. 1, δ᾽, 15.

www.dacoromanica.ro

λίας[1]; ἢ οὐκ ἤκουσαν τοῦ Σωτῆρος, ὅτι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν εἰσι (φησί), οἳ ἑαυτοὺς εὐνούχισαν[2]; Ἀλλ' ἴσως ἐροῦσι καὶ αὐτὸν τὸν Σωτῆρα μὴ χωρεῖν πάντας εἰρηκέναι τὸ ἀγγελικὸν τοῦτο ἐπάγγελμα, καὶ δὴ καὶ τὸν ἀπόστολον ἕκαστον ἔχειν χάρισμα φάσκειν, τὸν μὲν οὕτως, τὸν δὲ οὕτως[3]. Καὶ ἡμεῖς μετὰ τοῦ Σωτῆρος οὐ πᾶσι τὸ αὐτὸ νομοθετοῦμεν. Οἱ οὖν μὴ δυνάμενοι ἢ μὴ βουλόμενοι τῶν γαμετῶν ὑψηλότερόν τι φρονεῖν ἄλλοις παραχωρείτωσαν τὸ τῆς ἐπισκοπῆς ἔργον. — — — Πλὴν τούτων καὶ τῶν τοιούτων πέρι μακρηγορεῖν οὐ τοῦ παρόντος, ἡμῖν <οὐ> συγχωροῦντος <τοῦ> καιροῦ διὰ τὴν ἡμῶν ἀσθένειαν· ἐλπίζοντές τε (= ἐσμέν), ἂν εὐδοκήσῃ Θεός, ὡς ὑμᾶς παραγενέσθαι εὐθὺς ὡς ἂν ῥαΐσωμεν καὶ τὰ τοῦ θρόνου εὖ διαθήσωμεν. Ἔχομεν γὰρ ἐλπίδας τοὺς Διοσκορίτας τούτους Κόπτας, τοὺς ἀπὸ τῆς τρίτης συνόδου τῆς Ἐκκλησίας ἀποστατήσαντας, εἰς τὴν ὁδὸν τοῦ Κυρίου παλιννοστῆσαι, συνθήκας ἤδη σπείσαντας πρὸς ἡμᾶς. Παύομεν ἐν τούτοις τὰ τῆς ἐπιστολῆς, παρακαλοῦντες ὑμᾶς μιμεῖσθαι οὐ τοὺς κακοὺς ἐργάτας, ἀλλὰ τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν διακελεύοντα τῶν ἐπὶ τῆς καθέδρας καθεζομένων τῆς Μωσέως ἀκούειν[4], τὰς παραλόγους αὐτῶν πράξεις μηδαμῶς μιμουμένους. Χαίρομεν, ἀδελφοί, ὅτι ἡ Ἀδελφότης αὐτοῦ αὐξάνει, ἣν καὶ ἡμεῖς ἐλπίζομεν κοσμῆσαι σὺν Θεῷ παρόντες, ἵνα καὶ τούτου τοῦ θρόνου πεῖραν ἔχωσιν οἱ εὐσεβῶς ζῆν προαιρούμενοι, σταυροκοσμημένου οὐρανοχρόῳ ἐν μέσῳ μελαίνης ἐπιφανείας (ὅπερ ἐστὶ τὸ τοῦ θρόνου σύνθημα), τοῦ συμβόλου τούτου δηλοῦντος τοὺς εὐσεβεῖς καὶ τῷ σωτῆρι Χριστῷ ἀκολουθοῦντας, ἀραμένους τὸν σταυρὸν πολίτευμα μὲν ἐν οὐρανοῖς ἔχειν δεῖν, νενεκρωμένους δὲ τὰ μέλη τυγχάνειν τὰ ἐπὶ τῆς γῆς. Ἂν δέ τι συμβῇ τῶν ἀνθρωπίνων τὴν ἡμετέραν ἄφιξιν ἐκκόψαν, τὰ παρόντα γράμματα ἔστωσαν ὑμῖν πᾶσι τοῖς ὀρθοδόξοις ἀδελφοῖς καὶ τῆς ἡμετέρας βουλῆς σημαντικὰ καὶ παρεκτικὰ τοῦ σταυροφόρου χαρίσματος. Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς δῴη ὑμῖν καὶ πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης αὔξησιν εἰς ἡμέραν Χριστοῦ θησαυρίζουσιν ἔργα βασιλείας Θεοῦ ἐπάξια πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

Ἐν Αἰγύπτῳ κ$^{\eta}$ Μαιμακτηριῶνος, ͵ζρα', σωτηρίας ͵αφϙβ' (=1592).

2.

*Τοῖς ἁπανταχοῦ ὀρθοδόξοις χριστιανοῖς.*

† Παύλῳ Ἀνικίῳ τῷ Πολώνῳ, ἀνδρὶ τιμίῳ καὶ εὐγενεῖ, ἐπιδημήσαντι τοῖς καθ' ἡμᾶς κλίμασι καὶ τὸ θεοβάδιστον ὄρος τὸ Σίναιον ἱστορηκότι εὐλαβείας τῆς πρὸς τὸ θεῖον χάριν καὶ τὸ κειμήλιον τῆς πανσόφου παρθενομάρτυρος Αἰκατερίνης τὸ ἱερὸν ἀσπασαμένῳ, δεηθέντι δὲ μαρτυρίας, πρὸς δὲ καὶ εὐεργεσίας τοῦ ἐπιφέρειν ἐν ἐπισήμῳ τὸ ξίφος, τὸ τοῦ μαρτυρίου ὄργανον, καὶ δὴ καὶ τὸ φοίνικος βαΐον, τῆς νίκης τὸ σύμβολον, ἧς παρὰ Θεοῦ οἱ τὴν πίστιν τηρήσαντες καὶ τὸν ἀγῶνα τελέσαντες τυγχάνουσι, νενευκυῖα ἡ μετριότης ἡμῶν τὸ παρὸν δωρεὰν δέδωκεν εἰς μὲν τῶν πόνων τῆς ἀποδημίας μαρτύριον, εἰς δὲ τῆς ζητηθείσης εὐεργεσίας ἀσφάλειαν. Ἐξ Αἰγύπτου, Νοεμβρίου $\overline{\iota}^{\eta}$, ͵ζρα' (= 1592).

3.

*Τοῖς ἐν Λεοντοπόλει ἀδελφοῖς.*

† Ἐξ Αἰγύπτου ἐπεστείλαμεν ὑμῖν περὶ ὧν ἐζητεῖτε, ἃ ἐχορήγησεν ὁ Κύριος. Νῦν ἐκ Θράκης περὶ ὧν γράφετε σκανδάλων αὐτοῦ οὐ γράφομεν· τοῦτο γὰρ ἀνήκει τῷ οἰκουμενικῷ, οὗ εἰσι καὶ τὰ γράμματα, ἃ λέγετε ἔχειν περὶ τῶν καθ' ὑμᾶς ὑποθέσεων. Ἐλπίζω δὲ ὅτι σὺν

---

[1]) Πρβλ. Ἡσαΐου νς', 4 κέ.
[2]) Πρβλ. Ματθ. ιθ', 12.
[3]) Πρβλ. Ῥωμ. ιβ', 6.
[4]) Πρβλ. Ματθ. κγ', 2.

www.dacoromanica.ro

Θεῷ γράψω· παρακαλῶ δὲ ὑμᾶς, ὅσον δύνασθε καὶ φέρει τὸ δίκαιον μετὰ καὶ συμμέτρου συγκαταβάσεως, πρὸς πάντας εἰρηνεύειν. Ἐπειδὴ δὲ δέεσθε γραμμάτων πρὸς τὸν εὐσεβέστατον καὶ ὀρθοδοξότατον βασιλέα Μοσκόβου, καὶ ἡμεῖς ἐξ οἰκείας κινηθέντες προαιρέσεως κατὰ τὴν ἀγάπην, ἣ ἀγαπῶμεν τὴν ὑμετέραν Ἀδελφότητα, ἐγράψαμεν ἅπερ πεπόμφαμεν ὑμῖν· πέμπομεν δὲ καὶ τὸ ἴσον τῶν γραμμάτων τῶν βασιλικῶν, ἵνα γνῶτε, τί διαλαμβάνει τὰ γράμματα. Ὅταν δὲ στείλητε αὐτὰ πρὸς τὸν βασιλέα, πέμψατε καὶ ἓν βιβλίον (ἐξ ὧν αὐτόθι ἐτυπώσατε) κατὰ Ἰουδαίων, ἵνα καὶ αὐτὸς ἴδῃ ὁ εὐσεβέστατος βασιλεὺς καὶ ἀναγνῷ, ἐπειδή περ τῇ ἰδίᾳ διαλέκτῳ διερμηνεύθη· καὶ δέσατε τὸ βιβλίον εὐπρεπέστατα μετὰ χρυσέων σκεπασμάτων. Δῴη δὲ Κύριος ὑμῖν αὔξησίν τε καὶ στερέωσιν καὶ εἰρήνην εἰς σωτηρίαν ὑμῶν καὶ ἡμῶν εὐφροσύνην, εἰς δόξαν Χριστοῦ. Ἀμήν.

Ἐν Κωνσταντινουπόλει κθ$^{η}$ Ἰουνίου ‚ζρα' (= 1593).

## 4.

*Βασιλείῳ κνέζῃ καὶ πᾶσι τοῖς ἐν τῇ Μικρᾷ Ῥωσίᾳ ὀρθοδόξοις ἀδελφοῖς.*

† Λύπην ἡμῖν ἐμποιοῦσιν οὐ σμικρὰν αἵ τε λοιπαὶ τοῦ βίου τούτου συμφοραὶ καὶ βάσανοι, αἷς ἡμᾶς οἵῳ τινὶ πυρὶ καθαίρει ἡ τοῦ Θεοῦ φιλάνθρωπος κηδεμονία· ἢ παιδεύει στέλλουσα οἷα χαλινῷ τῶν εὐθυδρομούντων τὰς ὑπερκαεῖς ὁρμάς, ὥστε μὴ ὑπερφρονεῖν, ἀλλὰ σωφρονεῖν κατὰ τὸν ἀπόστολον[1], ἢ λαμπρύνει κατὰ τὸν ἀθλητικὸν ἐκεῖνον Ἰώβ, εἰς φῶς ἄγουσα τὸ τῶν ἐπηρεαζομένων ψυχῶν εὐγενές τε καὶ ἀνδρεῖον καὶ εὔγνωμον. Δι' ὧν ἁπάντων Θεὸς δοξάζεται, ἡμεῖς λαμπρυνόμεθα, στηρίζονται οἱ πέλας· τούτων γὰρ παραίτιοι αἱ θλίψεις, αἵ γ' ὅμως οὐ σμικρὰν ἡμῖν ἐμποιοῦσι τὴν θλῖψιν, αἵ τε ἄλλαι καὶ αἱ παρὰ τῶν ἑτεροδόξων τοῖς ὀρθοδόξοις ἐπιφερόμεναι· ἐπειδή περ ψυχαὶ αἱ ἄκροις γευσάμεναι χείλεσι τῶν τῆς θείας οἰκονομίας μυστηρίων, οἰόμεναί τε ἀποδοκιμασθεῖσαι καὶ ἀπωσμένους εἶναι παρὰ Θεοῦ τοὺς θλίψεσι περιπεσόντας, αὐτοὶ βιοτεύοντες ἐκλύτως καθ' ἡμέραν (κατὰ τὸν πλούσιον ἐκεῖνον)[2], εὐφραινόμενοι λαμπρῶς καταγελῶσιν ἡμῶν, ταῖς τε ἡμετέραις ἐπεμβαίνουσι θλίψεσιν. Οἷόν τι πέπονθεν ὁ πολύτλας ἐκεῖνος Ἰὼβ παρὰ τῶν δῆθεν φίλων· οἳ δ' ἦσαν τῶν τοῦ Θεοῦ μυστηρίων ἀμύητοι. Οὕτω πρὸς ἡμᾶς οὗτοι, ἀμνημονοῦντες (ὡς ἔοικε) τῆς εὐαγγελικῆς τοῦ Σωτῆρος φωνῆς, οὕτω λέγοντος πρὸς τοὺς οἰκείους, «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε», οὐ μὴν ἀλλ' ἐπιφέροντος τὸ «θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον»[3]. Εἰς τοῦτο γὰρ φέρουσιν αἱ θλίψεις. Διὰ τοῦτο τοίνυν λυπούμεθα τὴν ἐπὶ ἀγαθῷ καὶ συμφέροντι ἐπιφερομένην τοῖς οἰκείοις Θεοῦ προνοίᾳ φορὰν τῶν θλίψεων γίνεσθαι τοῖς ἀστηρίκτοις πρόσκομμα ἢ σκάνδαλον. Ἀλλὰ τούτους ἐγὼ παρακαλέσαιμ' ἂν ἀδελφὰ πράττων φρονεῖν ἀδελφά, τῶν προτέρων ἀφισταμένους· τοῦτο δὲ ποιήσουσιν οὕτως· ἐπικαμπτέσθωσαν ταῖς τῶν πέλας θλίψεσιν, αἷς παρὰ Θεοῦ καθαίρεται ἄνθρωπος, τῇ τε περὶ ἡμᾶς φιλανθρώπου Θεοῦ πατρικῇ οἰκονομίᾳ μὴ προσκοπτέτωσαν, πάντα κρίνοντες πρὸς τὸ δόξαν, ἀλλ' ἐπιγινωσκέτωσαν τὸ πρὸς Θεὸν γνήσιον ἡμῶν· τοῦτο δὲ αἱ θλίψεις παριστᾶσιν, ἃς οἱ νομίζοντες ἔνδειξιν εἶναι τῆς ἀπὸ Θεοῦ ἀλλοτριώσεως γνώτωσαν σφᾶς αὐτοὺς ἀλλότρια φρονοῦντας, ἢ αὐτὸς ἐδίδαξεν ὁ Σωτήρ. Ἀλλὰ καὶ ὁ θεῖος ἀπόστολος τἀναντία τούτοις γράφει· λέγει δὲ οὕτως· «Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· εἰ δὲ παιδείας χωρίς ἐστε, ἧς πάντες (δηλονότι οἱ πρεσβύτεροι, οἱ φίλοι Θεοῦ) μετειλήφαν, ἄρα νόθοι ἐστέ»[4]. Καὶ ἀλλαχοῦ ἡ θεία Γραφὴ λέγει· «οὓς ἀγαπᾷ ὁ Θεός, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται»[5]. Ἀλλὰ καὶ τὸ ἐν τῇ Ἀποκαλύψει (φωνή τις ἐστι Θεοῦ τοῦτο διδάσκουσα)· «Ἐγὼ» φησιν, «ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω»[6]. Ἡ δὲ γρήγορος τῆς θεολογίας φωνὴ καὶ τὰς

1) Πρβλ. Ῥωμ. ιβ', 3.
2) Πρβλ. Λουκ. ις', 20 κέ.
3) Ἰωάν. ις', 33.
4) Πρβλ. Ἑβρ. ιβ', 7—8.
5) Παροιμ. γ', 12.
6) Ἀποκ. γ', 19.

www.dacoromanica.ro

τιμωρίας φιλανθρωπίας εἶναι διϊσχυρίζεται· γίνεται γάρ, φησί, φιλανθρωπία ἡ τιμωρία. Πρὸς ταύτας οὖν καὶ τὰς τοιαύτας τῆς θείας διδασκαλίας ἱερὰς φωνὰς ἀσπίδων ἂν εἴη κωφεύειν ἢ βύειν τὰ ὦτα. Ἀλλ οἱ μὲν οὕτω· ὑμεῖς δέ, τέκνα ἀγαπητά, δεσπόται καὶ ἄρχοντες ἐκλαμπρότατοι, σὺ δὲ μάλιστα ἐνδοξότατε κνέζη Βασίλειε, μὴ ἀποκάμητε (ὥς φησιν ὁ ἀπόστολος) θλιβέντες μικρόν. Ἐκείνων ἐσμὲν παῖδες, οἵτινες «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος»[1]· ἀλλὰ πρὸς μὲν τὰς τῶν Βαρβάρων καταδρομὰς ἴστε Θεὸν μεθ' ὑμῶν ὑπὲρ ὑμῶν ἀντιταττόμενον, ὃς καὶ ἐκδικήσει μετ' οὐ πολὺ τὰ αἵματα τῶν δούλων αὐτοῦ τὰ ἐκκεχυμένα· πρὸς δὲ τοὺς τὸ Χριστοῦ ἐπαγγελλομένους ὄνομα, εἶτα τὸ τοῦ Χριστοῦ ποίμνιον λυμαινομένους, στήκετε κρατοῦντες τὰς τῶν πατέρων παραδόσεις ἀπαρατρώτους, κατὰ μηδὲν ἐκείνων παρασυρόμενοι, ἢ τὸν τοῦ Θεοῦ λαὸν τὸν ὀρθόδοξον παρασύρεσθαι συγχωροῦντες. Μηδεὶς ὑμᾶς ἔστω (κατὰ τὸν ἀπόστολον) «ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης»[2], ἥντινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἐναυάγησαν· οὐ γὰρ λόγοις ἀνθρωπίνης σοφίας τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ κεκήρυκται ἢ κηρύττεται· οὐδ' ἡμεῖς τὸ εὐαγγέλιον τῆς σωτηρίας συλλογισμοῖς ἀνθρωπίνοις πεισθέντες δεδέγμεθα, ἀλλ' ἐν δυνάμει πνεύματος ἁγίου (κατὰ τὸν ἀπόστολον)[3], ἀλλὰ σημείοις καὶ τέρασι κατ' αὐτὸ τὸ Εὐαγγέλιον, ἐπιμαρτυροῦντος τοῦ Σωτῆρος, ὃν ἡμεῖς οἱ Θεοῦ χάριτι ὀρθόδοξοι κρατοῦμεν πέτραν ἀῤῥαγῆ· ἡ γὰρ πέτρα (φησὶ τὸ θεῖον λόγιον), ἡ δὲ πέτρα ἦν ὁ Χριστός[4]. Αὐτός ἐστιν ἡμῶν, τοῦ σώματος αὐτοῦ, τῆς ἰδίας Ἐκκλησίας κεφαλή· αὐτὸν γάρ, φησὶν Ἐφεσίοις ὁ ἀπόστολος ἐπιστέλλων, «ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ»[5]· ἧς κεφαλῆς εὐθὺς οἱ ἀπόστολοι καὶ σὺν τοῖς ἀποστόλοις οἱ πατέρες καὶ μετὰ τῶν πατέρων ἡμεῖς συναρμολογούμενοι αὐξάνομεν ἐν αὐτῷ, τῷ αὐτῷ στοιχοῦντες πνεύματι (ἧς καὶ οἱ πρὸ τοῦ Σωτῆρος καὶ μετὰ τὸν Σωτῆρα, ὅσοι τοῦ Σωτῆρος εἰσί, περιεπάτησάν τε καὶ περιπατοῦσι), τὸ αὐτὸ καὶ ἡμεῖς ἔχοντες πνεῦμα τῆς πίστεως, καθὼς γέγραπται· «ἐπίστευσα δι' ὃ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν δι' ὃ λαλοῦμεν»[6]. Τούτων, τῶν καὶ προαγόντων τὴν τοῦ Σωτῆρος ἐν σαρκὶ ἐπιδημίαν καὶ ἀκολουθούντων, ὁ Σωτὴρ ἐστιν ὁ λίθος ὁ ἀκρογωνιαῖος[7], ὁ τοὺς πάντας συνδέων καὶ τὰ πάντα ἀνακεφαλαιούμενος. Σὺν τούτοις καὶ ὑμεῖς δύνασθε ἀντιπαρατάττεσθαι καὶ νικᾶν· κατέχομεν γὰρ τὸν νενικηκότα τὸν κόσμον. Μετὰ τούτων τῶν πατέρων συνασπισμὸν ἕνα ποιησάμενοι πᾶσαν προσβολὴν ἐναντίαν ἀποκρουόμεθα. Εἰπάτωσαν γὰρ οἱ καθ' ἡμᾶς μὴ φρονοῦντες, τίνων εἰσὶ παῖδες· τῶν γὰρ πατέρων ἐκείνων τῶν ἁγίων καὶ θεοφιλῶν μὴ εἶναι παῖδας αὐτοὺς καὶ αἱ νεώτεραι τῶν ὀνομάτων αὐτῶν σημασίαι διελέγχουσιν. Ὅταν ἀναστῶμεν πάντες τῷ φοβερῷ βήματι παριστάμενοι, τίνας ἐπιγνώσονται οἰκείους οἱ πατέρες; τοὺς τὴν πατρῴαν πίστιν, τοὺς τὰς παραδόσεις τὰς πατρικὰς ἀθετήσαντας, ἢ ἡμᾶς τοὺς ὀρθοδόξους, τοὺς μηδὲν κατὰ μηδὲν παραλλάττοντας; οὐκ ἐκείνους, οἶμαι, ἀλλ' ἡμᾶς. Σύμβολον οἱ πάντα ἄριστοι πατέρες ἐκεῖνοι συνέθεντο, σῆμα καὶ σύνθημα τῶν οἰκείων τῆς πρὸς αὐτοὺς γνησιότητος ἐσόμενον· τοῦτο δὲ παρ' ἄλλοις μὲν ἄλλως, ὡς πάντες ἴσασι, παρ' ἡμῖν δὲ Θεοῦ χάριτι ἀπαραλλάκτως φυλλάττεται. Παρέδωκαν παραδόσεις, ἀλλὰ καὶ τὰς παραδόσεις ἠθέτησάν τε καὶ ἀθετοῦσι πολυμερῶς καὶ πολυτρόπως· ταῦτα δὲ μαρτύρων καὶ πίστεων οὐ δεῖται, ἐπ' ὄψεσιν ὄντα πᾶσι. Τοῖς οὖν οὕτως ἔχουσιν ἀλλοτρίως πρός τε τὴν πίστιν καὶ τὰς τῶν πατέρων τῶν ἁγίων παραδόσεις οἱ μὴ συντρέχοντες εἰς τὴν αὐτὴν τῆς ἀθετήσεως ἀνάχυσιν πῶς ἂν μεμφθεῖεν ἐν δίκῃ; Ἵνα δὲ μὴ πέρα τοῦ προσήκοντος ἐπιστολῆ μέτρου παρεκτείνωμεν τοὺς λόγους, καταμαθόντες ἡμεῖς τοὺς κατὰ τῶν ὀρθοδόξων ἐπηρεασμοὺς τῶν ἀλλοτρίως φρονούντων ἐν τοῖς κλίμασι τῆς καθ' ἡμᾶς οἰκουμένης, ἐσπεύσαμεν παραγενέσθαι πρὸς ὑμᾶς καὶ τὴν ὑμετέραν ἱστορίσοντες θεοσέβειαν καὶ τὴν ἐκεῖθεν ἀναπηγάζουσαν εὐφρο-

---

1) Ἑβρ. ια', 37—38.
2) Κολοσ. β', 8.
3) Πρβλ. Ῥωμ. ιε', 19.
4) Πρβλ. Κορ. 1, ι', 4.
5) Ἐφεσ. α', 22.
6) Κορ. 2, δ', 13.
7) Πρβλ. Ἐφεσ. β', 20.

www.dacoromanica.ro

σύνην καρπωσόμενοι καὶ τοῖς ἐπηρεάζουσι χεῖρα ὀρέξοντες βοηθείας, ὥστε δυνηθῆναι, εἴ γε ὀψέποτε γοῦν βουληθεῖεν τῆς εὐθείας ἀντιλαβέσθαι. Ἐπειδὴ δὲ τῶν καιρῶν ἡ χαλεπότης ἐμποδὼν γέγονε, δεύτερον μετελθόντες πλοῦν τὸν ἡμέτερον σύγκελλον, τὸν ὁσιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικοῖς Κύριλλον ἐξαποστέλλομεν σύν τισι τῶν ἡμετέρων συγγραμμάτων πρὸς τὴν ὑμετέραν λαμπρότητα· ἣν παρακαλοῦμεν μὴ συγχωρῆσαι τὸ σύνολον νεωτερισμόν τινα εἴτε τῶν λεγομένων παπιστῶν ἢ τῶν ἀπὸ Λουτήρου ταῖς ὑμετέραις ἐπαρχίαις φιλοχωρεῖν, λυμαινόμενον τῶν πατρῴων, πίστεώς τε καὶ παραδόσεων, τὸ θεόδμητον κάλλος· ἐκεῖνοι γὰρ καὶ σοφίᾳ διαπρέψαντες καὶ πνεύματι φωτισθέντες ἁγίῳ τὰ πρὸς σωτηρίαν ἡμῖν καθηγήσαντο. Τὸν δὲ ὁσιώτατον τοῦτον ἡμῶν υἱὸν φιλανθρώπως ἀσπασάμενοι πρᾶγμα ποιήσετε καὶ Θεῷ εὐάρεστον καὶ τῷ ἀποστολικῷ τῆς Ἀλεξανδρείας θρόνῳ ἁρμόδιον καὶ ἡμᾶς εἰς εὐχαριστίας ὑπόθεσιν ἐκκινῆσον. Ὁ Κύριος διαφυλάττειεν ὑμᾶς καὶ τὸ ὑμέτερον κράτος ἐχθροῖς φοβερὸν καὶ πάσης κακότητος ἀνώτερον.

Ἐν Κωνσταντινουπόλει, Μουνυχιῶνος ὀγδόῃ φθίνοντος, ‚ζρβ' (=1594).

## 5.

*Κυρίλλῳ ἱερομονάχῳ τῷ Λουκάρει.*

† Ἃς ἐχαράξαμεν ἐν Ἀλεξανδρείᾳ πρὸς τὸν εὐσεβέστατον κνέζην Βασίλειον καὶ τοὺς λοιποὺς ἄρχοντας καὶ πρεσβυτέρους ἐπιστολάς, εὐθὺς μαθόντες τὰς τῶν ἀρχιερέων ἀποστασίας, ἐλθόντες εἰς Θρᾴκην καὶ συνοδικοῖς καὶ βασιλικοῖς κεκλημένοι γράμμασι πεπόμφαμεν· ἐλπίζομεν δὲ ταύτας οὕτω γοῦν ἐγχειρισθῆναι οἷς καὶ ἐγράφησαν· σὸν δὲ ἔσται τουτί. Γνώτωσαν καὶ οἱ ἡμέτεροι υἱέες, οἱ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας παῖδες γνήσιοι, ὡς αὐτῶν καὶ ἐν μέσοις Αἰγυπτιακοῖς κύμασιν οὐκ ἀμνημονοῦμεν, ἀλλὰ καὶ ἐξ Ἀλεξάνδρου ἐπιστέλλομεν, ὧν τὰ ἴσα ἀπὸ Κωνσταντινουπόλεως πέμπομεν, ἀγωνιζόμενοι καὶ παραγενέσθαι καὶ αὐτοψεὶ θεάσασθαι ψυχὰς τῷ κάλλει τῆς ὀρθοδοξίας σεμνυνομένας καὶ διὰ τὴν εὐσέβειαν πολεμουμένας. Εἰ δέ τι συμβαίη τὰς ἡμετέρας ὁρμὰς πάλιν ἀνακόψον, ἔστω τὰ γράμματα καὶ τῶν ἡμετέρων τεκμήρια φροντίδων καὶ τῆς τῶν ἀδελφῶν ὀρθοδοξίας ἐρείσματα, οὓς ὁ Κύριος ταῖς τῆς θείας χάριτος σκέπειε πτέρυξ.

Γαμηλιῶνος ε$^{η}$ φθίνοντος ἐν Κωνσταντινουπόλει, ‚ζρε' (=1597).

## 6.

† Τῇ κατὰ Κύριον συστάσῃ καὶ ἐν Κυρίῳ πολιτευομένῃ Ἀδελφότητι τῶν κατὰ Λεοντόπολιν τὴν λαμπρὰν εὑρισκομένων ὀρθοδόξων χριστιανῶν, τῶν τε τῆς ἱερᾶς τάξεως καὶ τῆς κοσμικῆς εὐταξίας, τοῖς ἐν Χριστῷ Ἰησοῦ περιποθήτοις υἱοῖς χάριν, ἔλεος καὶ εἰρήνην.

Ἡ μετριότης ἡμῶν ἐπεύχεται καὶ εὐλογεῖ πάντας ὑμᾶς, ἐκτενῶς παρακαλοῦσα καὶ ἀδιαλείπτως τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα διαφυλάττῃ τὴν ὑμετέραν ἀγάπην ἀνωτέραν τῶν πειρασμῶν τοῦ αἰῶνος τούτου τοῦ πονηροῦ, ἐν ᾧ θλῖψιν ἔχει ἡ Ἐκκλησία τοῦ Χριστοῦ χειμαζομένη ἐν τοῖς κύμασι τῆς ἁλμυρᾶς τοῦ βίου θαλάσσης· παρακαλοῦμεν δὲ καὶ ὑμᾶς, ἀδελφοί, ἵνα ἀξίως τῆς κλήσεως τοῦ Χριστοῦ πολιτευόμενοι πρὸς τὸ βραβεῖον τῆς οὐρανίου βασιλείας ἀποβλέπητε, μιμούμενοι τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, ὃς διὰ πολλῶν θλίψεων καὶ θανάτου ἤνυσεν ἡμῖν τὴν εἰς τὴν αἰώνιον ζωὴν εἴσοδον, συντρέχοντες ὁμοθυμαδὸν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ βοηθοῦντες τῇ Ἀδελφότητι. Συστήσατε σπουδαστήριον, ὅτι τὰ καθ' ἡμᾶς τῶν αἰχμαλώτων ἐσχάτως ἔχει· τοὺς ἀποστατήσαντας τῆς εὐσεβοῦς τῶν ὀρθοδόξων ὁμηγύρεως ἀποστράφητε· ἐὰν δὲ ἐπιστρέψωσι, συνοδικῶς δεχθήσονται μετὰ διακρίσεως, ἐπιτιμηθέντες ἐφ' οἷς ἔπραξαν ἀτόπως, ἵνα καὶ τῶν φθασάντων σχῶσι μετάμελον καὶ τῶν μελλόντων ἀκριβέστερον καὶ εὐσεβέστερον φροντίσωσι, μὴ χρώμενοι παλιῤῥοίαις ὥς τινες εὔριποι, παίζοντες οἷον ἐν οὐ παικτοῖς· εἰ γὰρ καὶ μακρόθυμος ὁ Θεός, ἀλλὰ καὶ ἰσχυρός, καὶ φοβερόν ἐστιν ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ, οὗ ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

‚ζρε' (=1597), ἐν Κωνσταντινουπόλει, ιθ$^{η}$ Μαΐου.



www.dacoromanica.ro

7

† Κυρίλλῳ τῷ ὁσιωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικοῖς καὶ πρωτοσυγκέλλῳ τῆς Ἀλεξανδρέων Ἐκκλησίας, υἱῷ ἐν Κυρίῳ ἀγαπητῷ, χάριν, ἔλεος.

Θαυμάζω σου, Κύριλλε, τὴν σύνεσιν, πῶς εὐθὺς ἀρχόμενος τῶν γραμμάτων ἔπλεξας ἀπολογίαν παρὰ τὸ δέον, κατηγοροῦντός σου μηδενός· εἰ δέ σοι ὅτι ἡμετέρων ἐστέρησαι γραμμάτων δέος ἐμποιεῖ, μή σου τὴν ὑπόληψιν δι' ὑποψίας ἄγωμεν ἐγκλήματος (οὐκ οἶδ' ὅτου), λύε σου τὴν ψυχήν. Ἡμεῖς γὰρ καὶ πολλάκις ἀπεστάλκαμεν· καὶ εἰ μή, ἀλλ' οὐκ εὐθὺς κατηγορίαν ἡγεῖσθαι χρὴ τὴν ἡμετέραν σιωπήν, ἧς αἴτιον τῶν φροντίδων (ἃς καὐτὸς οἶδας) ὁ ἑσμός, ἥκιστα δὲ τῆς ἀγάπης ἔνδεια, ἣν καὶ προτοῦ σαφῶς οἶδας, πείρᾳ γνοὺς τὴν πατρικὴν διάθεσιν πρὸς σέ. Σπεῦσον οὖν ἀντὶ ἀπολογίας ἀμείψασθαί μου τὴν ἀγάπην ταῖς σαῖς ἐς τέλος εὐδρομίαις· καὶ γὰρ μεγάλας ἐγὼ περὶ σοῦ τὰς ἐλπίδας κέκτημαι, τὸ μὲν ὅτι κατ' ἴχνος τοῖς πατράσιν ἀκολουθήσεις, βίῳ καὶ θεωρίᾳ κοσμηθείσῃ συναγωνιζόμενος τῇ τοῦ Θεοῦ χάριτι, καὶ ὅτι τῶν καθ' ἡμᾶς οὐκ ἀμνημονήσεις, ἀλλ' ἀντιπελαργήσῃ ταῖς τῆς μητρὸς ἐνδείαις. Σὺ δὲ παρένειρας τοῖς γράμμασι πάρεργόν τι θεολογικόν, τὸν τῶν ἀγγέλων φόβον, ᾧ συνέχονται, μή ποτε σφαλῶσι τοῦ πρέποντος Θεῷ λειτουργοῦντες. Ἐνεποίησάς μοι φόβον τῆσδ' ἕνεκα τῆς θεολογίας· εἰ γὰρ οὐκ ἐπίστανται οἱ Θεῷ λειτουργοῦντες ἄγγελοι τὰ κατ' αὐτούς, εἰ οὐκ οἴδασιν ἀραρότως σφᾶς αὐτοὺς εὐδρομοῦντας καὶ ἀμεταπτώτως ἐξομένους τῆς εὐσθενείας, ἀγνοίᾳ συνέχονται. Ἔστι δὲ σκότος ἡ ἄγνοια δεινόν· σκότος δὲ καταψηφίζεσθαι τῶν ταγμάτων ἐκείνων τῶν φωτοειδῶν σκότος ἐστὶν ἄντικρυς· πῶς γὰρ μεταδώσουσι τὰς θείας φωτοχυσίας οἱ καθεξῆς. οἱ πρώτως τούτων πεπλουτηκότες, εἰ σκότους οὐκ εἰσὶ πάμπαν ἀπηλλαγμένοι; τί δὲ καὶ κέκτηνται μετὰ τὴν τῶν ἀποστατίδων δυνάμεων ἔκπτωσιν οἱ μὴ τὴν στάσιν τὴν ἐν τῷ ἀγαθῷ, τὴν μόνιμον, τὴν ἄπτωτον καὶ ἄπταιστον καὶ τὴν ταύτης εἴδησιν καὶ τὸ μὴ δύνασθαι πεσεῖν καὶ εἰδέναι, ὡς οὐ δύνανται πεσεῖν, ἁρμόδιον γέρας τῆς θείας χάριτος προσκομιζούσης τοὺς μὴ συνεκπεσόντας τοῖς πεπτωκόσιν; Ἀλλὰ σὺ περὶ τούτων ἀκριβέστερον θεολογήσεις, μὴ μόνον ἐκεῖνον εἰδὼς τὸν φόβον, ὃν ἔχουσι δραπέται τε καὶ δοῦλοι, ἢ καὶ τῶν παίδων οἱ δυσάγωγοι ἐπὶ προαγούσαις ἁμαρτίαις καὶ κολάσεσι μελλούσαις. Ἔστι τις καὶ φόβος ἁγνὸς (κατὰ τὸ προφητικὸν ἐκεῖνο) διαμένων εἰς αἰῶνας αἰώνων, ὃν οἴδασι τυχὸν ἄγγελοι καὶ οἱ ἰσάγγελοι τοῦ Θεοῦ παῖδες, εὐλάβειαν οὖσαν ἐγγινομένην τοῖς μετὰ εἰλικρινοῦς ἀγάπης καὶ ὑπερκαοῦς περιεστῶσι τὸ θεῖον καὶ ἀπολαύουσι τῶν θείων μαρμαρυγῶν. Ταῦτα φημί· σὺ ἀκριβέστερον θεολογήσεις· ἡμεῖς γὰρ ἤδη καὶ τὸ ἀναπνεῖν ἀφαιρούμεθα, μόλις τε γράφειν ἀρχόμεθα καὶ τέλος ἐπειγόμεθα θεῖναι τοῖς γράμμασι· σὺ δὲ ζήτησον τὰ ἡμέτερα πρὸς σὲ γράμματα· πολλάκις γὰρ ἀπεστάλκαμεν. Γνωρίζομέν σοι τοὺς ἐν Αἰγύπτῳ πειρασμούς· εἰ γὰρ καὶ πάλιν ὁ Θεὸς τὴν Ἐκκλησίαν ἐφύλαξεν, ἀλλ' ὅμως ἐζημιώθημεν ἰσχυρῶς καὶ ἐπέσομεν εἰς χρέος βαρύ. Μετὰ δὲ πάλιν τὴν ἐμὴν ἀποδημίαν κατέλαβεν ἄλλος πειρασμὸς τὸ Πατριαρχεῖον καὶ χρέος ἄλλο, καθὼς γράφουσιν οἱ πατέρες ἐκεῖθεν, ἐγένετο· ὅθεν ἐν ἀπορίᾳ πάντες ἐσμέν. Τούτου δὴ χάριν καί σου τὴν ἀγαθὴν προαίρεσιν δεῖ με ἀφροντιστὶ περὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ κἂν τούτῳ τυγχάνειν τῷ μέρει. Ἔρρωσο ἐν Κυρίῳ, περιπόθητον τέκνον. Ὁ Κυπριανός, ὁ ὑμέτερος ἀρχιδιάκονος, μένει παρ' ἡμῖν.

͵αφϞζ' (= 1597), ιθ' Μαΐου, ἐν Κωνσταντινουπόλει.

*Ἐπιτηρητὴς Κωνσταντινουπόλεως.*

8.

† Τοῖς ἐν Βυλίνῃ τῇ λαμπροτάτῃ διάγουσιν ἀδελφοῖς τῶν ὀρθοδόξων χριστιανῶν, τοῖς τε τοῦ ἱεροῦ καταλόγου καὶ τῆς κοσμικῆς εὐκοσμίας, τοῖς ἐν Χριστῷ Ἰησοῦ υἱοῖς ὑπερποθήτοις, χάριν, ἔλεος καὶ εἰρήνην.

Εὐφραίνετέ μου τὰ τεθλιμμένα σπλάγχνα, ψυχαὶ τίμιαι, καὶ μόνον ὀνομαζόμενοι· ἐπειδήπερ σύλλογος ἐστὲ ἱερός, παράταξις τοῦ βασιλέως τοῦ μεγάλου, συνασπισμὸς ὀρθόδοξος, συγκεκροτημένη πανήγυρις ἀδελφῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς, ἐν βίβλῳ Θεοῦ ζῶντος. Ὑμεῖς τὴν

www.dacoromanica.ro

ὀρθοδοξίαν κρατύνετε, τὴν Ἐκκλησίαν φαιδρύνετε τοῦ Χριστοῦ· διασῴζετε τὴν εὐσέβειαν τῇ μητρὶ τῇ Ἐκκλησίᾳ ὡς προσφυέστατα βλαστήματα καὶ τέκνα φωτός, ἀντιπελαργοῦντες σκάφος θεόλεκτον ἐν προσκεφαλαίῳ μὲν κεκτημένον τὸν Χριστόν, κατὰ τῶν κυμάτων δὲ ἀγρυπνοῦντα τῆς ἁλμυρᾶς τοῦ βίου θαλάσσης· κιβωτὸς σπέρμα εὐσεβὲς διαφυλάττουσα εἰς ἀνάκτησιν καὶ θάλψιν κόσμου ἀπολλυμένου· υἱοὶ τῆς ἐπαγγελίας, εἰς ἣν διὰ τῆς ἀμώμου πίστεως μικρὸν πειρασθέντες ὡς ἐν χωνευτηρίῳ τοῖς πειρασμοῖς, τῷ πυρὶ τῷ καθαρτικῷ δηλονότι, καὶ εὑρεθέντες ἄξιοι Θεοῦ εἰσαχθήσεσθε μετὰ τῶν πατέρων ἐκείνων, οἳ διὰ πίστεως ἐκομίσαντο τὰς ἐπαγγελίας· ὧν τὴν πίστιν ἀπαράτρωτον, ἀμείωτον δηλονότι, καὶ προσθήκης οἱασοῦν ἄψαυστον τηροῦντες καὶ τοῖς ὀρθοῖς ἴχνεσιν ἑπόμενοι κομιεῖσθε τὸν ἀμαράντινον στέφανον, ὃν ἀποδώσει ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοῖς κατὰ Παῦλον ἢ μετὰ Παύλου ἀγωνιζομένοις, μὴ πρὸς τὰ τοῦ βίου τερπνὰ βραχὺ σαίνοντα τὰς αἰσθήσεις κεχηνόσιν, ἀλλὰ ταῖς θλίψεσιν ἐγκαρτεροῦσι, ταῖς τὸν χριστιανισμὸν χαρακτηριζούσαις ἐπὶ Χριστῷ μάρτυρι καὶ νομοθέτῃ· «ἐν τῷ κόσμῳ γάρ», φησὶ τοῖς οἰκείοις, «θλῖψιν ἕξετε»· οἷς ἐπάγει τὴν παράκλησιν, «ἀλλὰ θαρσεῖτε» φάσκων· «ἐγὼ νενίκηκα τὸν κόσμον» [1]. Μόνον τὴν πίστιν ὡς ὄφεις σοφοὶ [2] τηρήσατέ μοι τῶν νεωτερισμῶν ὑπερτέραν πάντων, μηδὲ προσέχετε σεσοφισμέναις σοφίαις τῆς γλωσσαλγοῦς θεολογίας τῶν σχολαστικῶν, περιστεραὶ οὖσαι τοῦ Σωτῆρος ἀκέραιαι [3], τὴν κενὴν τῆς τοῦ κόσμου σοφίας ἀπάτην ἀποστρεφόμενοι· φεύγετε δὲ καὶ τοὺς κακοὺς ἐργάτας, ὧν ἡ κοιλία ἐστὶν ὃ θεραπεύουσι, τῶν μελλόντων οὐδόλως φροντίζοντες. Ἀλλά με ταῖς ὑμετέραις ἐμφαιδρυνόμενον εὐφημίαις, αἵ με καὶ ὑμᾶς, οἶμαι, παρακαλοῦσι καὶ προσεπαλείφουσι τοῖς τῆς εὐσεβείας ἀγῶσιν ἐμφιλοχωρεῖν περαιτέρω, συγχωροῦσιν ἥκιστα αἱ καθ' ἡμᾶς περιπέτειαι καὶ τὰ δεινὰ πάθη καὶ αἱ θλίψεις αἱ ὑπερβάλλουσαι, ὧν οὐδαμόθεν ἔχομεν παραμύθιον. Ἔρρωσθε ἐν Κυρίῳ καὶ μὴ τῶν ἡμετέρων ἀμνημονεῖτε παθῶν, ὧν συγκοινωνοῦντες τυχὸν ὁλκὴν ἀντιλήψεσθε μισθῶν ὑπερφυεστάτων ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ καὶ πατρός, οὗ ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

κγ$^{η}$ Μαρτίου ,ζρε' (=1597), ἐν Κωνσταντινουπόλει.

## 9.

† Ἰγνατίῳ τῷ εὐλαβεστάτῳ πρωτοπαπᾷ, χωρεπισκόπῳ Ὀστροβίας τῆς λαμπροτάτης καὶ ὀρθοδοξοτάτης, διδασκάλῳ λογιωτάτῳ, τῷ ἐν Κυρίῳ περιποθήτῳ υἱῷ χάριν, ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν.

Ἐπαινῶ σου τὸν ζῆλον, ἱερὲ Ἰγνάτιε, τὸ τοῦ Θεσβίτου ἰσοτάλαντον· καὶ γὰρ καὶ Ἠλίας τοῖς ἱερεῦσιν ἀντετάξατο τῆς Ἰεζάβελ, νίκην νικήσας ἐκείνην τὴν λαοσῶον, τὴν τὰς Ὀλυμπίους ὑπερακοντίζουσαν. Δαυῒδ σε ὅμοιόν τι πεπονθέναι νομίζομεν (ἐξ ὧν ἡμῖν περὶ σοῦ Κυπριανὸς ὁ ὑμέτερος ἀρχιδιάκονος, ἤδη δὲ καὶ ἡμέτερος υἱὸς ἀναγγέλλει), Δαυῒδ λέγω τῷ θεοπάτορι καταπολεμήσαντι δίχα τῆς τοῦ Σαοὺλ πανοπλίας τὸν ἀλαζόνα Γολιάθ· οὐ γὰρ ἀνέχεται τὸ πνεῦμα τὸ ἅγιον ἐν ἅρμασιν ἔσθ' ὅτε καὶ ἵπποις τὰ τῶν εὐσεβούντων κατὰ τῶν ἀντιπάλων ἐγείρειν τρόπαια, μὴ καὶ τολμήσῃ καυχήσασθαί τις σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ἢ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, ἢ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ. Δίκαιον τῷόντι ἦν σε, Ἰγνάτιε, Ἰγνατίῳ ἐκείνῳ κατ' ἴχνος ἕπεσθαι, οὗ καὶ τοὔνομα κέκτησαι, τῷ μετὰ τοὺς ἀποστόλους εὐθὺς κατὰ τοὺς ἀποστόλους τὴν τοῦ σωτῆρος Χριστοῦ Ἐκκλησίαν καταρδεύσαντι. Σπυρίδωνά σε ἄλλον οἰόμεθα θεόφρονα, τὸν ἐν ἁπλότητι τῆς κατὰ Θεὸν σοφίας τοῦ πνεύματος τὸν φιλόσοφον καταβαλόντα, τὸν ταῖς εὐστρόφοις τῆς μωρανθείσης σοφίας πλοκαῖς ἐναβρυνόμενον. Εὖγε, στρατιῶτα Χριστοῦ, ὑπὲρ οὗ ἀγωνιζόμενος κατὰ τῶν τοῦ Ἅδου πυλῶν, τῶν δηλονότι κενοδοξίας καὶ πλάνης ἐφευρεμάτων, στεφανωθείσῃ καὶ λαμπρότερον· «πρεσβύτεροι γάρ», φησί, «διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ» [4]. Ἀλλὰ σὺ μὴ ἀπόκαμε ὡς σοφὸς διδάσκαλος καὶ αὐτὸς ἀνταπαλαίων τῇ ψευ-

---

[1]) Ἰωάν. ις', 33.

[2]) Πρβλ. Ματθ. ι', 16.

[3]) Πρβλ. Ματθ. ι', 16.

[4]) Τιμοθ. 1, ε', 17.

www.dacoromanica.ro

δωνύμῳ γνώσει τῆςσεσοφισ μένης θεολογίας τῶν τινῶν καὶ τοῖς ἄλλοις γινόμενος τύπος καὶ ὑπογραμμός, τοὺς πάντας ὑπαλείφων τοῖς τῆς εὐσεβείας ἀγῶσι δι' ὧν καὶ πράττεις καὶ λέγεις. Ταῦτά σου τῇ ἱερᾷ ψυχῇ ἀναφωνοῦμεν ἡμεῖς ἐκ μέσης ἀβύσσου τῶν ταλαιπωριῶν, τῆς δεινοτάτης αἰχμαλωσίας καὶ πέρα Χαλδαϊκῆς· σὺ δὲ σῴζου τῶν κατὰ τῆς ὀρθοδοξίας κεκινημένων κυμάτων ἀνώτερος καὶ τῶν πατρῴων ὡς γενναῖος Μακκαβαῖος ὑπερασπιζόμενος μετὰ τῶν πατέρων τὸν οὐράνιον προσδόκα στέφανον. Ἔρρωσο ἐν Κυρίῳ, τιμιώτατον τέκνον.

Σκιροφοριῶνος $\overline{\text{ς}}^{\eta}$ φθίνοντος, ἐν Κωνσταντινουπόλει, ͵ζρε' (=1597).

## 10.

*Κνέζῃ Βασιλείῳ.*

† Πολλάκις ἀπεστάλκαμέν σου τῇ λαμπρότητι, τὸ μὲν ἐπαινοῦντες τὸν φιλόθεον ζῆλον καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, τὸ δὲ καὶ παρακαλοῦντες τοῦ προκειμένου μὴ ἀφίστασθαι πρὸς τοὺς ἐν ἐπαγγελίαις ἀποκειμένους στεφάνους ἀποσκοποῦντα. Νυνὶ δὲ μετὰ τοῦ ἠγαπημένου υἱοῦ Κυπριανοῦ πάλιν ἐπιστέλλοντες παρακαλοῦμεν τὴν σὴν λαμπρότητα τῆς πατροπαραδότου διδασκαλίας ἀντέχεσθαι, τοῦτο ὑγιέστατα διανοουμένην, ὅτι ἅπερ ἡ Ὀρθόδοξος Ἐκκλησία, ἡ Ἀνατολικὴ δηλαδή, πρεσβεύει, τοῦτο καὶ ἡ Δυτικὴ καὶ σύμπασα ἡ τῶν πιστῶν ὁμήγυρις ἐπρέσβευε, ἑπτὰ οἰκουμενικαῖς συνόδοις οἷον ἑπτὰ στύλοις οἰκός τις σοφίας ἐπερειδομένη. Καὶ τοίνυν, εἴπερ ἅγιοι ἐκεῖνοι οἱ τοσοῦτοι καὶ τηλικοῦτοι πατέρες καὶ τῆς ὁδοῦ τῆς ἀληθείας οὐδαμῶς ἀποσυρόμενοι, τῶν αὐτῶν καὶ ἡμεῖς ἐκείνοις πρεσβειῶν ἐπιτευξόμεθα· οἱ δὲ τοῖς ὅσαι ἡμέραι νεωτερισμοῖς ἐπιχαίροντες, πόῤῥω τῆς πατρικῆς δόξης θέοντες, καὶ τῆς δόξης ἄμοιροι τῆς πατρικῆς καὶ γυμνοὶ εὑρεθήσονται. Ἀλλὰ περὶ τούτων ἅλις· ὁ δὲ Κυπριανὸς ἀγαθὸς ὢν καὶ ὑπερζέων τῷ πνεύματι φυγὰς παρ' ὑμῶν ἐς ἡμᾶς ᾤχετο, πάντα εἰπών, πάντα πράξας, ὥστε ἡμᾶς πρὸς ὑμᾶς ἐλθεῖν παρασκευάσαι· τοῦτο δὲ ἡμῖν πάσῃ ψυχῇ κέκρυπται. Ἔστι δὲ ὁ καιρὸς τῇ γνώμῃ καὶ πάνυ ἀντίπαλος· οὐ γάρ ἔξεστί μοι οὐδ' ὅσον τοῦ δωματίου προκύψαι· πάντα γὰρ ἐξηγρίωσεν ὁ δεινὸς πόλεμος· διὸ μετὰ γραμμάτων καθολικῶν πρὸς τὴν σὴν λαμπρότητα οὗπερ τὴν ἐπίνοιαν μαθοῦσαν ὅτι δηλονότι διὰ τὸ ἐκκινῆσαι ἡμᾶς παραγέγονε, δεξάσθω ἀσπασίως[2]. Παρακαλῶ δὲ τὴν σὴν λαμπρότητα ἐπὶ πᾶσι τοῖς ὑπὲρ τῆς ἀληθείας πόνοις καὶ τοῦτο προσθεῖναι, φροντιστήριον ἐγεῖραι πανσπερμίαν τῇ εὐσεβείᾳ διαφυλάττον. Μερίμνησον δὲ μικρὸν καὶ περὶ τῆς ἡμετέρας αἰχμαλωσίας καὶ πάρεξον χεῖρα βοηθείας ποτέ· καὶ γὰρ σὺν Θεῷ δύνασαι· οὗ ἡ χάρις μετὰ τῆς σῆς λαμπρότητος.

## 11.

*Γεδεὼν ἐπισκόπῳ Λεοντοπόλεως.*

† Ἐπῄνεσά σου τὸν κατὰ Θεὸν ζῆλον, εἴπερ τῆς ὀρθοδοξίας οὐκ εἴασας παρακινῆσαί σου τὴν διάνοιαν τὰ κατὰ τῆς ὀρθοδοξίας ὑπὸ τῶν ψευδεπισκόπων ἐγηγερμένα κύματα· μανθάνω γὰρ ἐκ τῶν σῶν γραμμάτων ἑδραῖον μεμενηκέναι σε, ἀποστατησάντων τινῶν καὶ τὴν ἀγαθὴν μερίδα Χριστοῦ καταλελοιπότων· ἠγάπησαν γάρ, ὥς τινες ποτέ, τὴν δόξαν τῶν ἀνθρώπων ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. «Ἔσο οὖν πιστὸς ἕως τέλους», φησὶν ἐν Ἀποκαλύψει τὸ ἱερὸν λογίον, «καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς»[1]. Περὶ δὲ ὧν ζητεῖς μαθεῖν παρ' ἐμοῦ, ἔξεσται σοι ἐν ταῖς καθολικαῖς τῶν ἡμετέρων ἐπιστολῶν, ἃς πεπόμφαμεν κατὰ διαφόρους καιροὺς καὶ ἐξ ὧν νῦν πέμπομεν μετὰ Κυπριανοῦ τοῦ ἱεροδιακόνου καὶ ἡμετέρου υἱοῦ, ὃς αὐτόθεν ὡς ἡμᾶς ἀφίκετο τούτων σχεδὸν ἕνεκεν καὶ μετ' αὐτῶν πέμπεται πάλιν εἰς Σαυρομάτας. Σὺ δὲ καὶ μετὰ τῆς Ἀδελφότητος εἰρήνευε· ἐχέτω καὶ παρ' ὑμῖν τὸ Πατριαρχεῖον τὴν τοῦ σταυροπηγίου τιμὴν καὶ τὸ μνημόσυνον, ὡς ἐν πάσαις σχεδὸν ἔχει ταῖς μητροπόλεσιν· οὐ γὰρ ὕβρις σοι τοῦτο, ἀλλ' ἔπαινος· καὶ ἡ Ἀδελφότης δὲ εἰς κοινὸν ὄφελος συγκροτεῖται πανταχοῦ, συμβοηθούντων καὶ τῶν ἀρχιερέων. Περὶ δὲ τοῦ ἡμετέρου Κυρίλλου, ἐπειδὴ τοῦτον καταθύμιον μεῖναι, πρὸς ὑμᾶς γρά-

---

[1]) Ἀποκ. β', 10.

[2]) Τὸ κείμενον ἐνταῦθα ἀσαφές, ἐκτὸς ἂν παρελείφθησαν λέξεις τινὲς ἐν τῇ μεταγραφῇ αὐτοῦ.

www.dacoromanica.ro

φοιμεν ἵνα μείνῃ. Φροντίσατε δὲ σπουδαστήριον συστῆναι καὶ παρ' ὑμῖν καὶ τυπογραφίαν ἀσκεῖσθαι, ὅπως ἀνοθεύτως παρ' ὑμῖν τὰ ἡμέτερα ἐκτυπῶται. Καὶ τοῦτο δὲ μὴ παρίδητε, τὴν καθ' ἡμᾶς ταλαιπωρίαν· δεινῇ γὰρ αἰχμαλωσίᾳ συνεχόμεθα, ἧς ἀνωτέρους διαφυλάττειεν ὑμᾶς ἡ τοῦ Θεοῦ φιλανθρωπία ἐν ὑγείᾳ καὶ ψυχῆς καὶ σώματος καὶ ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ τῇ φίλῃ τοῦ Χριστοῦ.

Ἐν Κωνστατινουπόλει, ͵ζρε' (=1597), Ἰουλίου κγ'.

12.

*Χλὲδ τῷ ταμίᾳ.*

† Παρὰ τοῦ εὐλαβεστάτου ἀρχιδιακόνου Κυπριανοῦ μεμαθήκαμεν τὸν ἐνάρετόν σου βίον καὶ τὴν κατὰ Θεὸν διαγωγήν, τὸν ὑπὲρ τῆς ὀρθοδοξίας ζῆλον καὶ τὴν πρὸς ἡμᾶς ἀγάπην, ὧν ἕνεκεν εὐχαριστοῦμεν τῷ Θεῷ· ἐκεῖθεν γὰρ «πᾶν δώρημα τέλειον»[1]. Ἀλλὰ καί σου ἐπαινοῦμεν τὴν φιλοκἀγαθίαν, τῆς εὐλαβείας ἀντεχομένην καὶ μὴ ἀνεχομένην τῆς τῶν πατέρων Ἀνατολικῶν τε καὶ Δυτικῶν, τῆς τῶν ἀποστόλων, ἐκτραπῆναι διδασκαλίας, οὐδὲ τῶν νεωτερισμῶν τῆς Δυτικῆς Ἐκκλησίας τὰς καινοτομίας παραδεχομένην, τὰς κενὰς δόξας καὶ ματαίας τοῖς κενεόφροσι καὶ ματαίοις παραχωροῦσαν. Προσδέχου τὰς ἀμοιβὰς τῆς ὀρθῆς πίστεως, ἣν τηρεῖς καὶ τηρήσεις Θεοῦ χάριτι, καὶ τοῦ καλοῦ δρόμου, ὃν σὺν Θεῷ τελειοῖς, ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως. Ὁ Κύριος μετὰ σοῦ. Ὑπομίμνησκε τὸν ἐκλαμπρότατον κνέζην σπουδαστήριον συστῆσαι, τυπογραφίαν τε καὶ ἡμῶν μὴ ἀμνημονεῖν. Ἔῤῥωσο. Ἐν Κωνσταντινουπόλει, ͵ζρε' (= 1597).

13.

† Τῇ κατὰ τὴν λαμπρὰν Λεοντόπολιν συγκροτηθείσῃ τῶν εὐσεβῶν Ἀδελφότητι ἐν τῷ πανευαγεῖ τῆς Παναγίας ναῷ ἐπονομαζομένῳ Κοιμήσεως, τοῖς ἐν Κυρίῳ περιποθήτοις υἱοῖς χάριν <ἔλεος καὶ εἰρήνην>.

Ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ πάντας ὑμᾶς ἐν πνεύματι ἁγίῳ· τῷόντι γὰρ ἄξιοι εὐχῆς καὶ εὐλογίας ἐστέ, ἐπειδὴ Ἀδελφότητα συνεστήσατε, οὐκ ἀπόσπασμα τῆς τῶν πιστῶν καθολικῆς ἀδελφότητος, ἀλλὰ συνασπισμὸν ἀῤῥαγέστερον εἰς βοήθειαν τῶν δεομένων. Ἤλεγξε δὲ τὸν ὑμέτερον θεῖον ζῆλον ἡ ἔναγχος ζάλη τῶν ψευδαδέλφων· ἐκείνων γὰρ ἀποστησάντων καὶ ὑμᾶς ζητούντων ἀνατρέψαι τῆς εὐθείας ὁδοῦ, ὅλως οὐκ ἠνέσχεσθε· οὐ γὰρ ἀκούουσι τὰ τοῦ Χριστοῦ πρόβατα τῶν ἀλλοτρίων τὴν φωνήν· ἐφ' ᾧ καὶ χαίρων ἐπαινῶ τὸ στερέμνιον τῆς ὑμετέρας εὐσεβοῦς γνώμης. Παρακαλῶ δὲ ὑμᾶς, ἵνα διατελῆτε τὸν αὐτὸν ζῆλον καθωπλισμένοι καὶ μηδεμίαν καινοτομίαν ἀποδεχόμενοι· πρὸς δὲ τοῖσδε συστήσατε σπουδαστήριον, σπέρμα εὐσεβείας καρποὺς ἀποδῶσον πανευκλεεῖς εἰς σύστασιν τῆς ὀρθοδοξίας, εἰς καύχημα καὶ μνημόσυνον ὑμέτερον, τῶν ἀδελφῶν πάντων, οὓς διαφυλάττειν εἰς μείζονα ἐπίδοσιν ἀγαθῶν καθικετεύομεν τὸν ἐπουράνιον Θεόν· οὗ ἡ χάρις καὶ τὸ ἔλεος μετὰ πάντων ὑμῶν.

Ἐν Κωνσταντινουπόλει, Ἰουλίου κγ', ͵ζρε' (=1597).

14.

† Τῷ εὐσεβεστάτῳ καὶ ὀρθοδοξοτάτῳ ἄρχοντι κνέζῃ Ἀδάμῳ Βασιλείῳ Βισκοβέτζικι καὶ τῷ εὐσεβεστάτῳ κνέζῃ Κυριακῷ Ῥουζίνσκι μετὰ τῶν λοιπῶν ἀρχόντων καὶ παντὸς τοῦ λαοῦ τῶν ὀρθοδόξων τῆς τε ἱερᾶς τάξεως καὶ τῆς κοσμικῆς καταστάσεως, υἱοῖς ἐν Κυρίῳ περιποθήτοις, χάριν, ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ πάντας ὑμᾶς σὺν γυναιξὶ καὶ τέκνοις, ἐπειδὴ Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι ἐφυλάξατε τὸν οὐράνιον μαργαρίτην, τὸν ἀγγελικὸν δηλονότι θησαυρόν, τὴν εὐσέβειαν φημὶ καὶ ὀρθόδοξον πίστιν ἄσυλον καὶ ἀπαράτρωτον, καὶ οὐκ ἠκολουθήσατε τοῖς λύκοις τοῖς ἅρπαξιν ἀπὸ ποιμένων μεταβληθεῖσι εἰς λύκους διὰ κοσμικήν τινα δόξαν

[1]) Ἰακ. α', 17.

www.dacoromanica.ro

καὶ πρόσκαιρον ἀπόλαυσιν καὶ προδεδωκόσιν ὡς ὁ Ἰσκαριώτης τὸν Ἰησοῦν, οὕτω καὶ αὐτοὶ τὰ τοῦ Ἰησοῦ, ἀλλὰ μεμενήκατε ἑδραῖοι ὡς τεθεμελιωμένοι ἐπὶ τὴν ἀρραγῆ πέτραν· ἡ δὲ πέτρα ἐστὶν ὁ Χριστὸς (Παύλου φωνή)[1], ὁ λίθος ὁ τίμιος ὁ ἐν Σιὼν (ὥς φησιν ὁ προφήτης)[2], ὁ ἀκρογωνιαῖος, ἡ καθολικὴ κεφαλὴ τῆς Ἐκκλησίας (ὥς φησι Παῦλος)[3]· ἐν ᾧ καὶ ὑμεῖς συναρμολογούμενοι αὐξάνετε καὶ αὐξάνοιτε (ναί, Χριστὲ βασιλεῦ), πορευόμενοι ἀπὸ δόξης εἰς δόξαν, μὴ φοβούμενοι τὰς ἀπειλὰς τῶν ψευδοαρχιερέων, τῶν τὴν πλατεῖαν ὁδὸν ἐκλεξαμένων, τὴν ἀπάγουσαν κατὰ τὴν ἀπόφασιν τοῦ Σωτῆρος εἰς ἀπώλειαν, καὶ καταλειψάντων τὴν στενὴν καὶ τεθλιμμένην, τὴν ἀπάγουσαν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[4]. Φεῦ τῆς ἀπάτης, φεῦ τῆς πλάνης· πλάνη γὰρ ἄντικρυς τὸ καταλιπεῖν τὴν Ἀνατολικὴν Ἐκκλησίαν, ἥτις ἅπερ ἐδογμάτισαν καὶ παρέδωκαν Ἀνατολικοί τε καὶ Δυτικοὶ πατέρες ἐν ἑπτὰ συνόδοις οἰκουμενικαῖς, ταῦτα κρατεῖ ἡ Ἀνατολικὴ Ἐκκλησία, ταῦτα διδάσκει, ταῦτα παραδίδωσιν, οὐδεμίαν προσθήκην ἢ ἀφαίρεσιν παραδεχομένη, ἀποστρεφομενη πάντα νεωτερισμὸν καὶ καινοτομίαν, ἀλλὰ καὶ τὰς ἀρχάς, κἂν πάπα εἴπῃς, κἂν οὑτινοσοῦν, τὰς κατὰ τοῦ Εὐαγγελίου ἐξεγερθείσας ἀποδοκιμάζουσα· προσέταξε γὰρ ὁ Σωτὴρ (ἵνα τὰ λοιπὰ σιωπήσω) σῶμα καὶ αἷμα ἐν εἴδεσιν ἄρτου καὶ οἴνου, ὁ δὲ Ῥώμης πάπας οὐκ οἶδ' ὅπως τὸ μὲν δίδωσιν, τὸ δὲ ἀφαιρεῖται τοὺς λαοὺς καὶ τυφλώττει ὁ κόσμος οὕτως ἀναιδῶς. Ἀλλ' ἐκεῖνοι μὲν πορευέσθωσαν τὴν ἑαυτῶν ὁδόν, ἐπειδὴ τὴν τοῦ Κυρίου οὐ θέλουσιν· ὑμεῖς δὲ στήκετε ἐν Κυρίῳ καὶ ἐνδυναμοῦσθε (κατὰ Παῦλον εἰπεῖν) ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ[5]. Σπουδάσατε τηρῆσαι τὸν θησαυρὸν τῆς πίστεως, τὰς παραδόσεις τῶν πατέρων, ἵνα μετὰ τῶν πατέρων τῶν ἁγίων ἀξιωθῶμεν τῆς βασιλείας τοῦ Θεοῦ, οὗ ἡ χάρις μετὰ πάντων ὑμῶν.

ζ' Αὐγούστου ἐν Κωνστατινουπόλει, ͵ζρε' (=1597).

† Ὅταν ἀκούω τῶν ἡμετέρων τινὰς ἀτακτεῖν, λύπῃ μὲν συνέχομαι καὶ ἀθυμίᾳ μὴ πάνυ μικρᾷ, οὐχ ἁπλῶς οὕτως ὅτι τινὲς τῶν ἡμετέρων ἀτακτοῦσιν (ἐνδέχεται γὰρ ἀνθρώπους ὄντας πάσχειν τι τῶν ἀνθρωπίνων), ἀλλ' ὅτι τινὲς τῶν πολλὰς ἐχόντων καὶ μεγάλας δοκοὺς ἐν τοῖς οἰκείοις ὀφθαλμοῖς, ταῦτα τὰ μεγέθη τῶν οἰκείων σφαλμάτων παραθεωροῦντες, τοῖς μικροῖς ἐνατενίζουσι κάρφοις καὶ βούλονται τοῖς μικροῖς κώνωψιν ἐμπαροινεῖν, μεγάλας καμήλους ἀψοφητὶ καταπίνοντες.

15.

† Τοῖς εὐσεβέσι καὶ ὀρθοδοξοτάτοις Ῥώσοις τοῖς ἀνὰ πᾶσαν τὴν ὑψηλοτάτην ἀρχὴν τῆς κρατίστης βασιλείας Πολωνίας παροικοῦσι, τοῖς ἐν Κυρίῳ υἱοῖς περιποθήτοις τῆς ἡμῶν μετριότητος, χάριν, ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀμήν.

Ἄνδρες Ῥῶσοι, τῆς εὐσεβείας τὰ θρέμματα, τῆς ὀρθοδοξίας ὑπερασπισταί, οἱ τῇ προαιρέσει ἤδη καὶ μάρτυρες, καὶ πρὸς τὸ κράτος τῆς βασιλείας ἀντέστητε ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενοι, ἥκιστα μέντοι ταῖς παρὰ Θεοῦ δοθείσαις ἀντεπαιρόμενοι ἐξουσίαις, ἀλλὰ τὴν τοῦ Θεοῦ ἀγάπην πάντων τῶν ἄλλων ὑπερτιμῶντες καὶ τὸ τῆς ἀληθοῦς πίστεως εἰλικρινὲς ἐνδεικνύμενοι, δευτερεύειν ἀνεχόμενοι τῶν ὅλων ὅλως οὐδενί, ὑμᾶς ξενοτρόπως αἱ καθ' ἡμᾶς ἡμέραι, αἱ κατὰ τοῦτο μόνον οὐ πονηραί, κατεθεάσαντο οὐ πανοικὶ μάρτυρας, ἀλλὰ πανδημεί. Ἐν ὑμῖν παραδόξως τὸ φῶς γενόμενον σκότος, φῶς τὸ σκότος ἀπήλεγξεν· οἱ γὰρ ταχθέντες ἡγεμονεύειν ὑμῶν ποιμένες λύκοι γενόμενοι καὶ ἀποστατήσαντες τῆς καλῆς ἀγέλης τοῦ Χριστοῦ οὐ μόνον σπαράξαι ὑμᾶς ἢ θῦσαι ἢ ἀπολέσαι οὐκ ἴσχυσαν, ἀλλὰ καὶ εἰς μείζω ζῆλον ἀντικατέστησαν· ποιμένων γὰρ ἀνελάβετε ζῆλον ὑμεῖς καὶ τοὺς κακοὺς ποιμένας ἀπεστράφητε, τῆς

---

[1]) Πρβλ. Κορ. 1, ι', 4.
[2]) Πρβλ. Ἡσαΐου κη', 16.
[3]) Πρβλ. Ἐφεσ. β', 20. δ', 15.
[4]) Πρβλ. Ματθ. ζ', 13—14.
[5]) Πρβλ. Ἐφεσ. ς', 11.

www.dacoromanica.ro

ἀληθείας ἐκστάντας καὶ τὴν ὀρθοδοξίαν διὰ τὴν τῶν ἀνθρώπων δόξαν κατασεῖσαι μὲν ἐπιχειρήσαντας, οὐκ ἰσχύσαντας δὲ Θεοῦ χάριτι. Ὦ πρόβατα χριστώνυμα καὶ τῳόντι Χριστοῦ καὶ παρὰ Χριστοῦ μεμαθηκότα τῶν ἀλλοτρίων μὴ ἀκούειν τῆς φωνῆς, μηδὲ ἀκολουθεῖν τοῖς ἀλλοτρίοις· ὢ ἄγγελοι ἐπίγειοι μιμούμενοι τοὺς οὐρανίους καὶ ταὐτὸ πεπονθότες τοῖς ἐπουρανίοις, μὴ συνεκπεσοῦσι τῷ Ἑωσφόρῳ, θαῦμα μέγα, πῶς ἐφύλαξεν ὑμᾶς ἡ θεία χάρις· καὶ τῶν ἐπισκόπων τῶν ὑμετέρων (φεῦ τῆς ἀπάτης) τὸν νῦν ἀγαπησάντων αἰῶνα καὶ στραφέντων εἰς τὰ ὀπίσω καὶ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἀποστατησάντων, ὑμεῖς μεμενήκατε στῦλοι ἀκλόνητοι, ἑδραῖοι τῇ πατροπαραδότῳ διδασκαλίᾳ, τῇ τοῦ Σωτῆρος, τῇ τῶν ἀποστόλων, τῇ τῶν πατέρων, μεθ' ὧν καὶ στεφανωθήσεσθε, εὖ οἶδα, τοὺς στεφάνους ἐκείνους τῆς δικαιοσύνης, οὓς τοῖς κατὰ Παῦλον[1] τὸν δρόμον τετελεκόσι καὶ τὴν πίστιν τετηρηκόσιν ἐν ἐπαγγελίαις ἀποκειμένους ὁ δίκαιος ἀποδώσει κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

Ἀλλὰ ταῦτα μὲν ἐν τούτοις· ἡμεῖς δὲ τοὺς καθ' ὑμᾶς ἀναμαθόντες ἔτι ἐν Αἰγύπτῳ πειρασμοὺς τῷ πνεύματι συνεδράμομεν, ἐπεστείλαμέν τε μὴ φειδόμενοι πόνων καὶ μόχθων, ἵνα συναθλήσωμεν ὑμῖν τοὺς ὑπὲρ τῆς ὀρθοδοξίας Ὀλυμπίους ὄντως ἀγῶνας καὶ στεφανωθῶμεν Θεοῦ χάριτι τοὺς ἀμαραντίνους στεφάνους. Ἀλλὰ καὶ τὴν Θράκην καταλαβόντες καὶ τὴν τῶν πόλεων Βασιλεύουσαν, τὸν αὐτὸν ἔχοντες ζῆλον τῶν αὐτῶν ἡψάμεθα πόνων. Νυνὶ δὲ πάλιν, τῶν ζητημάτων τῶν καθ' ὑμᾶς κεκινημένων καὶ πρὸς ἡμᾶς παραπεμφθέντων, σὺν ὑμῖν τούτων τὴν λύσιν ἀθλῆσαι ἔγνωμέν τε σὺν Θεῷ καὶ ἤδη λύσωμεν ἢ καταλύσωμεν γενναίως, οὐ τῇ ἡμετέρᾳ σοφίᾳ τεθαῤῥηκότες ἢ παιδείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ (οὐδένες ἡμεῖς), ἀλλὰ τῇ τοῦ πνεύματος εὐσθενείᾳ καὶ δωρεᾷ καὶ τῇ τῶν ζητημάτων μὲν σχήματι κατηγοριῶν δὲ ταῖς ἀληθείαις σαθρότητι· τούτων γὰρ τὸ χαῦνον καὶ ἰδεῖν ῥᾴδιον καὶ διαλῦσαι εὐχερές.

Πρῶτον. Κατηγοροῦσι τοίνυν κατὰ μὲν τοῦ Κωνσταντινουπόλεως πατριάρχου ὅτι οἰκουμενικός· πόθεν γάρ, φασίν, ἐστὶν ἢ λέγεται; εἶτα τοῦ Ἀλεξανδρείας, πόθεν κριτὴς τῆς οἰκουμένης· κατὰ Θεοῦ γάρ, φασίν, ὑπεραίρεται. Εἶτα τὸν Ἱεροσολύμων προβαλλόμενοι, πῶς οὐ προτιμᾶται τῶν τριῶν, δηλονότι Κωνσταντινουπόλεως, Ἀλεξανδρείας καὶ Ἀντιοχείας; τοὺς τρεῖς μηχανῶνται καταβαλεῖν, οὐ τὸν Ἱεροσολύμων ἐγεῖραι· διὰ τοῦτο καὶ τοὺς τρεῖς παραλαμβάνουσι, τὸν τῆς Ῥώμης ἀφέντες, ὃς καὶ τετίμηται, τῶν κορυφαίων ἐκεῖ τὸν δρόμον τετελεκότων. Ὅτε γὰρ τοῦ θρόνου ἐκείνου τῆς πρεσβυτέρας Ῥώμης οἱ τῆς πρεσβυτέρας παῖδες Ῥώμης λόγον ποιοῦσιν, οὐδένα ποιοῦνται λόγον τοῦ Σωτηρίου Τάφου, τοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης τὴν ἀρχὴν τηροῦντες ἀπαρασάλευτον· κεῖται δὲ ἀκλεὴς αὐτοῖς ὁ Ζωοδόχος Τάφος τοῦ Χριστοῦ, ἵνα προστριβῇ δόξα καὶ τιμὴ τῷ πρεσβυτέρας Ῥώμης θρόνῳ, ὑπεραρθείσης τῷ τῶν κορυφαίων τάφῳ Πέτρου καὶ Παύλου, τῶν τοῦ Σωτῆρος ὑπερφυεστάτων μαθητῶν· αὕτη γὰρ ἡ τῆς πρεσβυτέρας Ῥώμης ἀκρόπολις, ἐν ᾗ τὸ τῆς τυραννίδος ἵδρυται κράτος. Ἀλλὰ ζητεῖται, πόθεν οἰκουμενικὸς ὁ Κωνσταντινουπόλεως καὶ πόθεν κριτὴς τῆς οἰκουμένης ὁ Ἀλεξανδρείας καὶ τίνος χάριν ἐν βαθμοῖς θρόνων ὁ Ἱεροσολύμων. Τὴν μὲν οὖν ἰσχὺν καὶ δύναμιν καὶ ἀξίαν τὴν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἔχει λαβοῦσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία παρὰ Χριστοῦ ἐν οἷς τε ἔλεγε πρὸς τὴν ἱερὰν χορείαν τῶν ἀποστόλων· «Ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν οὐρανοῖς»[2]. Ἐπὶ τῆς γῆς φησί, τὴν ὑφήλιον ἅπασαν συμπεριλαμβάνων· καὶ γὰρ καὶ αὐτὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς περὶ ἑαυτοῦ ἔλεγεν· «Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας»[3], οὐχ ἑνὶ τόπῳ τὴν ἑαυτοῦ ἐξουσίαν περιγράφων, ἀλλ' ἀνὰ τὴν οἰκουμένην πᾶσαν ἐξαπλῶν. Καὶ ἐν οἷς ἔλεγεν· «Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει»[4]. Τὴν οὖν ἐπιστασίαν καὶ ποιμανσίαν τὴν οἰκουμενικὴν ἐν τούτοις συνίστησιν ὁ Σωτὴρ καὶ ταύτην οἷόν τινα πάνδημον θησαυρὸν τῇ Ἐκκλησίᾳ παρατίθησιν. Ἀλλὰ ταῦτα μὲν πρὶν τὸν Σωτῆρα τῶν ἐπιγείων ἀπᾶραι· μετὰ δὲ τὴν τοῦ Σωτῆρος εἰς οὐ-

1) Πρβλ. Τιμοθ. 2, δ', 7.
2) Ματθ. ιη', 18.
3) Ματθ. θ', 6.
4) Μάρκ. ις', 15.

www.dacoromanica.ro

ρανοὺς ἀναπεφοίτησιν διασπαρέντες, ὡς αἱ Πράξεις διατρανοῦσιν, ἄλλος ἀλλαχόσε οἱ μαθηταί, πάντας ἐζώγρησαν τῷ Χριστῷ διὰ τοῦ σωτηρίου κηρύγματος, τῆς θανατηφόρου πλάνης τὸν ζόφον ταῖς ζωηφόροις τοῦ Εὐαγγελίου διαλύσαντες αὐγαῖς. Ἔνταλμα δὲ λαβόντες παρὰ τοῦ Σωτῆρος οὐ τὸν ἀμπελῶνα μόνον ἐργάζεσθαι, ἀλλὰ καὶ ἔργα τῶν τοῦ ἀμπελῶνος ὑπερφροντίζειν καὶ δὴ καὶ δέεσθαι τοῦ Κυρίου τοῦ ἀμπελῶνος (οὕτω γάρ, διὰ προσευχῆς δηλονότι, καθίστανται οἱ τοῦ ἀμπελῶνος ἐργάται, παρὰ τοῦ κυρίου τοῦ ἀμπελῶνος ἀξιούμενοι τὸ ἀμπελουργεῖν) ἐμβάλλειν ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, τοῦτο δὴ καὶ πεποιήκασι κατὰ πόλεις καὶ τόπους καθιστῶντες πρεσβυτέρους καὶ ἐπισκόπους, διαταξάμενοι τοὺς ἐπισκόπους ἑκάστου ἔθνους ἕνα γινώσκειν πρῶτον αὐτῶν καὶ δίχα τῆς ἐκείνου γνώμης πράττειν οὐδέν, οἷον τὴν καθολικὴν ἐξουσίαν συνάγοντες, καὶ τοὔμπαλιν οὐδ' αὐτὸν πράττειν δίχα τῆς τῶν πάντων γνώμης, οἷον τὴν ἐξουσίαν κινοῦντες τοῖς ἀδελφοῖς, ὡς ἐν λδ' κανόνι τῶν ἱερῶν ἀποστόλων ἐμφέρεται· ἔχει δὲ οὕτω· «Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει καὶ ταῖς ὑπ' αὐτὴν χώραις. Ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι· οὕτω γὰρ ὁμόνοια ἔσται καὶ δοξασθήσεται ὁ Θεὸς διὰ Κυρίου ἐν ἁγίῳ πνεύματι, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα». Ταῦτα τὰ πρεσβεῖα τοῦτον ἔχοντα τὸν τρόπον διωρίσατο τῶν ἱερῶν ἀποστόλων ἡ ὁμήγυρις καὶ ταῦτα διετέλεσε φυλάττουσα· οὐ γὰρ ἄλλως ἐποίουν οἱ μακάριοι ἢ ὡς ἐδίδασκον, τὴν ἑαυτῶν μιμούμενοι κεφαλήν, τὸν ἡμῶν Κύριον καὶ Σωτῆρα ποιοῦντα καὶ διδάσκοντα. Τὰ τοίνυν πρακτικὰ τῆς ἱερᾶς ἐκείνης συνόδου τῶν μαθητῶν ταῦτα παρίστησιν· ὁρῶμεν οὖν πάντας μὲν τοῦ φωτὸς μετεσχηκότας καὶ τῶν πυρίνων ἐκείνων γλωσσῶν καὶ λαλοῦντας τὰ μεγαλεῖα τοῦ Θεοῦ· ἐπὶ δὲ τῷ παραδόξῳ ξενιζομένων τῶν ἐθνῶν, Πέτρος μὲν ἀνίστησι καὶ τῆς τοῦ πνεύματος τοῦ ἁγίου θαυματουργίας ὑπεραπολογούμενος τὰς σωτηρίους ἀρχὰς τοῦ εὐαγγελικοῦ προκαταβάλλεται κηρύγματος, ὥσπερ δὴ καὶ παραυτὰ τῆς τοῦ Σωτῆρος ἀναλήψεως ἐπὶ τῇ τοῦ Ματθία χειροτονίᾳ πεποίηκε πρῶτος τὴν ὑπόθεσιν προβαλών. ἀλλ' οὐ μόνος ἐκτελῶν τὴν ἐνέργειαν· «Ἔστησαν γάρ», φησί, «δύο, τὸν Ἰωσὴφ καὶ τὸν Ματθίαν, καὶ προσευξάμενοι εἶπον καὶ ἔδωκαν κλήρους»[1]· ἐν ταὐτῷ καὶ τάξιν τινὰ διασῳζομένην ἐνδεικνύων ὁ ἱερὸς λόγος τῆς θείας Γραφῆς καὶ τὴν τυραννικὴν κατὰ τῶν ὁμοταγῶν αὐτονομίαν περιελόμενος. Καὶ ἴδε μοι τοῦτο λαμπρῶς ἐξ ὧν ἔπραξαν οἱ θεοφόροι ἐκεῖνοι ἀπόστολοι· χρείας γὰρ ἀναφυείσης, ἀκούσαντες οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον (πέμπεται Πέτρος, καὶ οὐ μόνος) τὸν Πέτρον καὶ Ἰωάννην ὑπερετήσοντας τῇ βουλῇ αὐτῶν. Καὶ στάσεως γενομένης καὶ ζητήσεως (οὕτω γὰρ αἱ Πράξεις δεδηλώκασιν ἐν πεντεκαιδεκάτῳ κεφαλαίῳ)· «τῷ Παύλῳ καὶ Βαρνάβᾳ»), ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν (οὐ πρὸς Πέτρον μόνον, ἀλλὰ πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους) εἰς Ἱερουσαλήμ· ὧν παραγενομένων, συνήχθησαν, φησίν, οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. Πολλῆς τε συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· «Ἄνδρες ἀδελφοί» καὶ καθεξῆς· οἷς ἐπιφέρει· «μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη Ἰάκωβος» τὰ καὶ τά· οἷς ἐπιλέγει· «Διὸ ἐγὼ κρίνω» καὶ τὰ λοιπά. Ἔχει δὲ ἔμφασιν ὁ λόγος, τὸ «ἐγὼ κρίνω», ἐν μέσῳ ῥηθεὶς τῶν ἀποστόλων καὶ τῶν λοιπῶν μαθητῶν καὶ αὐτοῦ τοῦ μακαρίου Πέτρου, τοῦ καὶ προβαλόντος τὰ τῆς ὑποθέσεως, ὥστε περιγράφειν τῷ μακαρίῳ Ἰακώβῳ τὴν ἐξουσίαν πᾶσαν καὶ αὐτῆς τῆς τῶν ἀποστόλων χορείας. Γράφουσι μετὰ ταῦτα οἱ ἀπόστολοι τὴν ὁμόνοιαν ὑπεμφαίνοντες τὴν ἄτυφον, ὅτι «ἔδοξε τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν» τὸ καὶ τό[2]. Τούτων τὴν ἐξουσίαν ἔδωκεν αὐτὸς ὁ Σωτὴρ τῇ Ἐκκλησίᾳ, ὑποσχεθεὶς ὅπου ἂν ὦσι δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ, αὐτὸν παρεῖναι ἐν μέσῳ αὐτῶν[3]. Ἔστιν οὖν ἡ μὲν ἐξουσία καὶ δύναμις τῆς ἱεραρχικῆς ἐνεργείας καὶ χάριτος οἱά τις κόκκος σινάπεως παρὰ τοῦ σωτῆρος αὐτοῦ τῇ Ἐκ-

[1] Πράξ. α', 23—26.
[2] Πρβλ. Πράξ. ιε', 2 κέ.
[3] Πρβλ. Ματθ. ιη', 20.

www.dacoromanica.ro

κλησίᾳ καταβεβλημένῃ· εἵπετο δὲ ταύτῃ τῇ δυνάμει τὸ ἔκτακτον· συνεισάγει γὰρ τὸ ποιμαίνειν τὸ ποιμαίνεσθαι· τῇ γὰρ ἀρχῇ τὸ ἀρχόμενον ἀκολουθεῖ, συνδέδεταί τε τὰ μέλη τῇ κεφαλῇ. Διὸ κατὰ τόπους πρεσβυτέρους καταστήσαντες καὶ αὐτοῖς ἐπισκόπους ἐπιστήσαντες τὴν Ἐκκλησίαν εὐτάκτως διοικεῖσθαι προσέταξαν· ἦν δ' ἄρα εἰκὸς πρὸς τὴν τῶν τόπων διαίρεσιν καὶ τὰς ἐπιστασίας τῶν ἀδελφῶν διατάττεσθαι. Οἱ δὲ τῆς ὑφ' ἥλιον πάσης τόποι διακεκριμένοι ὄντες εἰς Ἀσίαν, Εὐρώπην, Ἀφρικήν, ἐκληρώσαντο τὰς ἀξιολόγους ὑπεροχάς· ἐν γὰρ Ἀντιοχείᾳ, οὔσῃ πόλει τῆς Ἀσίας, ἔνθα πρῶτον οἱ Χριστὸν θεὸν καὶ σωτῆρα τοῦ κόσμου πιστεύοντες χριστιανοὶ ὀνομάζεσθαι ἐκρίθησαν[1], συγκροτηθείσης ἐκεῖ συνόδου ἐπὶ παρουσίᾳ τοῦ μακαρίου Πέτρου, πατριαρχικὸς θρόνος ἐπάγη. Μετὰ δὲ ταῦτα τὴν τότε τῆς οἰκουμένης κρατοῦσαν πόλιν καταλαβὸν τῆς εὐαγγελικῆς ἀληθείας τὸ φῶς, Πέτρου τοῦ ἀποστόλου σημείοις ἐκεῖ κυρώσαντος τὸν λόγον, θρόνος ἄλλος ἠγέρθη Χριστῷ Εὐρώπης ἁπάσης ὑπερκείμενος. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον καὶ Αἴγυπτος πλάνην ἀποσεισαμένη τὴν πολύθεον καὶ τὰς αὐγὰς δεξαμένη τῆς θεογνωσίας, Μᾶρκον τὸν εὐαγγελιστὴν καὶ ἀπόστολον πλουτήσασα τῆς ἑαυτῆς ἐπιστροφῆς προστάτην καὶ συνεργόν, τῇ θείᾳ χάριτι θρόνου ἀξιοῦται κατὰ τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν πατριαρχικοῦ, Λιβύης, Αἰθιοπίας καὶ πάσης προκαθημένου τῆς Αἰγύπτου. Μετὰ δὲ τοὺς χρόνους ἐκείνους Κωνσταντῖνος ὁ μέγας, ὁ Ῥωμαίων καὶ πάσης οἰκουμένης αὐτοκράτωρ, τῷ Σωτῆρι μαθητευθεὶς τόν τε τῆς ἑαυτοῦ σωτηρίας ἀρχηγὸν τῆς Ῥώμης ἐπίσκοπον βασιλείοις καταστολίσας λαμπρότησι καὶ αὐτὸ παρασχὼν τῆς ἀρχῆς τὸ διάδημα, τῆς Ῥώμης ἀπαίρει παραχωρῶν τῷ πατρὶ τῆς ἀρχῆς, ἄλλοσε δὲ τραπεὶς οἰκοδομήσων πόλιν τῆς οἰκουμένης βασιλεύουσαν, θεόθεν ὁδηγούμενος εἰς Βυζάντιον καταντᾷ καὶ πόλιν ἀνίστησι, τῆς Ῥωμαίων ἀρχῆς τουτέστι τῆς οἰκουμένης πάσης κατάλληλον ἀνάκτορον. Κοσμεῖται δὲ ταῖς βασιλείαις ἁρμοζόντως δόξαις καὶ ἐκκλησιαστικὴ μεγαλοπρέπεια συνοδικῇ τῶν πατέρων ὁροθεσίᾳ· φασὶ γὰρ οἱ ἐν Κωνσταντινουπόλει ἐν γ$^{\omega}$ κανόνι «τὸν μὲν Κωνσταντινουπόλεως ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην»[2]. Καὶ τούτοις συνῳδὰ οἱ ἐν Χαλκηδόνι ἐν κη' ταῦτα φασίν· «Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι καὶ τὸν ἀρτίως ἀναγνωσθέντα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει, Νέᾳ Ῥώμῃ, γνωρίζοντες τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως, Νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς Νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείαν τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν· καὶ ὥστε τοὺς τῆς Ποντικῆς καὶ Ἀσιανῆς καὶ τῆς Θρᾳκικῆς διοικήσεως μητροπολίτας μόνους, ἔτι καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς Κωνσταντινουπόλεως ἁγιωτάτης ἐκκλησίας, δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δέ, καθὼς εἴρηται, τοὺς μητροπολίτας τῶν εἰρημένων διοικήσεων παρὰ τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων καὶ ἐπ' αὐτὸν ἀναφερομένων». Αὕτη ἡ τάξις τοῖς πατράσιν ἔδοξεν ἁρμόδιος καὶ πρέπουσα τῇ Χριστοῦ Ἐκκλησίᾳ· τοῦτον τὸν τρόπον τὰ πρεσβεῖα διωρίσαντο, τιμῆς δηλονότι πρεσβεῖα, οὐ μέντοι αὐθεντίας τυραννικῆς νόμους φέρειν ἢ ἀκυροῦν, οὐ παρὰ τὸ Εὐαγγέλιον, ἀλλ' ἤδη καὶ κατὰ τοῦ Εὐαγγελίου τοῦ σωτῆρος Χριστοῦ οἷα κατὰ μικρὸν σφετεριζόμενος ὁ Ῥώμης τῆς πρεσβυτέρας νῦν εἰς ὕψος ἦρεν, ὅπου γε οὐδὲ τὰς ἐμπιπτούσας τῶν προέδρων τῆς Ἐκκλησίας ἀμφισβητήσεις διακρίνειν αὐτῷ συγκεχώρηται.

[1]) Πρβλ. Πράξ. ια', 26.

[2]) Νοεῖται ὁ 3-ος κανὼν τῆς ἐν Κων/πόλει συνελθούσης δευτέρας οἰκουμενικῆς συνόδου.



www.dacoromanica.ro

Τὰς μὲν γὰρ διαποντίους οἱ ἐν Ἀφρικῇ συνελθόντες ἐκώλυσαν εἰς Ῥώμην διαπερᾶν, τὰς δὲ ἐγχωρίους ἑκάστης ἐκκλησίας οἱ ἐν Χαλκηδόνι τῷ Κωνσταντινουπόλεως ἀνέθηκαν ἐν ιζ' κανόνι ταῦτα φάσκοντες· «Ἐξεῖναι τοῖς λέγουσιν ἠδικεῖσθαι περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ ἰδίου ἐπισκόπου, ἢ μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω, καθὰ προείρηται». Τοῦτο δέ ἐστι τὸ ἀνωτάτω ἀξίωμα, περὶ οὗ μεταξὺ τῶν δύο θρόνων τῆς παλαιᾶς τε καὶ τῆς νέας Ῥώμης ἡ ἄσπονδος ἀνέφυ φιλονεικία, ἡ κυκῶσα τὸ πᾶν· τοσοῦτον γὰρ ἡ πρεσβυτέρα Ῥώμη τὸ μῆλον τοῦτο τῆς ἔριδος νοσφίσασθαι ἐφιλοτιμήθη, ὥστε οὐ τιμῆς μόνον ὑπεροχὴν καὶ προκαθεδρίαν ἢ διακρίσεως, ἀλλὰ καὶ νομοθεσίας καὶ νόμων ἀθέτησιν ἑαυτῇ καθαρπάξασα τὴν Ἐκκλησίαν πᾶσαν ἠνδραποδίσατο καὶ τὸ τοῦ Εὐαγγελίου ὕψος τῇ ἑαυτῆς καθυπέβαλεν ἀρχῇ. Ἔοικε δὲ τοὺς πατέρας τῆς φιλονεικίας ταύτης ἀπαλλάξαι τὰς δύο ταύτας φιλοτιμουμένας Ἐκκλησίας τῷ τῆς Ἀλεξανδρείας θρόνῳ, προφάσεως εἰλημμένους εὐλόγου, τὸ κριτᾶτον τῆς οἰκουμένης προσάψασθαι, οὐκ ἄθεόν τι ἢ ἀντίθεον δόγμα, ὥς φατε, ἀλλ' εἰρηνικόν τε καὶ φιλόθεον· οὐ γὰρ κριτήν τινα παρὰ τὸν Θεὸν ἄλλον καθιδρύουσιν, ἀλλὰ ὑπὸ Θεὸν καὶ ὑπὸ Θεοῦ καὶ ὑπὲρ Θεοῦ ἀγωνιζόμενον καὶ ὑπερασπίζοντα τοῦ δικαίου· οὐδὲ γὰρ οὐδὲ ἅγιοι ἢ θεοὶ κεκλήμεθα, ὡς θεοὶ ἄλλοι πέρα Θεοῦ ἢ παρὰ Θεὸν τὸν φιλάνθρωπον ἢ ὅλως ἀλλαχόθεν ἄλλοθεν τὴν ἁγιωσύνην κεκτημένοι, ἢ παρὰ Θεοῦ καὶ Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι· ἀλλ' οὐδὲ θεοί τινες καὶ λεγόμενοι παρὰ τῇ θείᾳ Γραφῇ πρὸς αὐτοῦ τοῦ Θεοῦ ἤδη καὶ ἀντίθεοι ἢ ὑπέρθεοι· οὐδὲ φῶς τοῦ κόσμου, οὐδὲ υἱοὶ τοῦ Θεοῦ, ἢ ἄλλο τι ἐσμὲν ἢ λεγόμεθα παρὰ τὸ φῶς τὸ ἀληθινὸν καὶ παρὰ τὸν τοῦ Θεοῦ υἱόν· ἐκεῖνο πρὸς ἐκεῖνον διαφέροντες, ὅτι ἐκεῖθέν τε ἔχομεν ὅπερ ἔχομεν καὶ χάριτι ἐκείνου ἐσμὲν ὅπερ φύσει τυγχάνει ὢν ἐκεῖνος. Οὐκοῦν ὑπεραίρεται, οὐχ ὑπεραίρεται τοῦ Θεοῦ ἢ κατὰ Θεοῦ λεγόμενος ὁ Ἀλεξανδρείας κριτὴς τῆς οἰκουμένης· χριστοὶ γάρ πού τινες λέγονται ἐν τῇ θείᾳ Γραφῇ καὶ οὐκ εὐθέως κατὰ Χριστοῦ ὑπεραίρονται. Ὁ δὲ τῶν Ἱεροσολύμων θρόνος πατριαρχικῷ τετίμηται μὲν ἀξιώματι, μὴ καὶ ἐλαττωθῇ τιμῆς καὶ δόξης ἡ Σιών, ἡ μήτηρ τῶν Ἐκκλησιῶν, ὅθεν ὁ λόγος τοῦ Θεοῦ, ἡ Καινὴ Διαθήκη, τὸ τῆς χάριτος Εὐαγγέλιον· μὴ ἐλαττωθῇ, φημί, μὴ ἐλαττωθῇ δόξῃ καὶ τιμῇ τῶν ἄλλων Ἐκκλησιῶν. Ἔσχατον δὲ κεκλήρωκε τόπον, πανσόφως τῶν πατέρων οἰκονομησάντων ταῦτα, μὴ καὶ φανῇ, πρωτεύοντος τοῦ θρόνου τῶν Ἱεροσολύμων, ἐπίγειος εἶναι ἡ ἀρχὴ καὶ ἡ ἡ βασιλεία τοῦ Χριστοῦ. Μετέχει τοίνυν τῆς πατριαρχικῆς δόξης ἴσα τῶν ἄλλων θρόνων ὁ τῶν Ἱεροσολύμων οὐ διὰ τὸ βασιλεύειν τὴν πόλιν ταύτην ἢ προκαθημένην εἶναι τῆς Ἀσίας, καίπερ τῆς Παλαιστίνης οὖσαν μητρόπολιν, ἀλλὰ διὰ τὸ ἐκεῖσε πολιτεύεσθαι τὸν σωτῆρα Χριστὸν καὶ τὸν Ζωοδόχον Τάφον ἐκεῖσε διαμένειν, φυλάττοντα τῆς ἡμετέρας σωτηρίας τὰς σφραγῖδας καὶ τὰ τεκμήρια. Ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς ἐν σχήματι ἀποροῦντας καὶ ζητοῦντας, τὴν τῆς Ἐκκλησίας ἀναμοχλεύοντας εἰρήνην τε καὶ κατάστασιν, ἵνα μὴ παρ' ἑαυτοῖς ὅσοι φρόνιμοι καὶ οἱ φάσκοντες εἶναι σοφοὶ δικαιοῦντές τε ἑαυτοὺς καὶ τῶν ἑτέρων ὡς ἀδίκων κατηγοροῦντες, ἐπιγνῶσιν ἑαυτοὺς ἐσφαλμένους περὶ τὴν ἀλήθειαν καὶ τὰ μέγιστα ἀδικοῦντας καὶ ἑαυτοὺς οἷς θησαυρίζουσι κατάκρισιν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ τὴν τοῦ Θεοῦ ἐκκλησίαν αὐτὴν παραλυποῦντες καὶ σκανδαλίζοντες. Ταῦτα γὰρ τυχὸν συνοίσει τοῖς ἐθέλουσι συναίσθησίν τε τῶν πεπλημμελημένων λαβεῖν καὶ διόρθωσιν· εἰ δὲ μή γε, ἀλλὰ γοῦν ἀσφάλειαν τοῖς ὀρθοποροῦσιν ἡμῖν καὶ παράκλησιν· μόνοι γὰρ (κατὰ τὸ θεῖον λόγιον)[1] οἱ τὰ φαῦλα πράσσοντες μισοῦσι τὸ φῶς, τὴν θείαν δηλαδὴ διδασκαλίαν τῆς ἀληθείας καὶ δικαιοσύνης συνήγορον, ἣν μισοῦσιν οἱ τὰ φαῦλα πράττοντες· οἱ γὰρ ἔλεγχοι τοῖς παραβαίνουσι μώλωπες.

Ταῦτα μὲν οὖν ἀρκέσειε πρὸς ἀντιφερομένους καὶ πάντα κινοῦντας λίθον, ἵνα τὴν τῆς Ἐκκλησίας εἰρήνην παραφθείρωσιν· οἱ δέ γε Θεοῦ παῖδες, οἱ θείῳ πνεύματι ἀγόμενοι, οἱ μὴ φρονοῦντες τὰ τῆς σαρκός, οἱ ἐν σαρκὶ οὐ κατὰ σάρκα, οἱ προθύμως ἔχουσι γενέσθαι τοῖς πᾶσι τὰ πάντα, ἵνα τοὺς πάντας (κατὰ Παῦλον) κερδήσωσι[2], εἰ καὶ ἄλλως περὶ τούτου διανοοῦνται. Καὶ ἔστι τούτοις, ἔστι τις τούτων τῶν ἀποριῶν ἢ ἐπηρειῶν ἀνατροπὴ καὶ διάλυσις, ὡς ἐμὲ

[1]) Πρβλ. Ἰωάν. γ', 20.
[2]) Πρβλ. Κορινθ. 1, θ, 22.

www.dacoromanica.ro

www.dacoromanica.ro



μέντοι φάναι, ῥᾳδία τε καὶ χρησιμωτάτη καὶ θεοφιλεστέρα· εἰ γὰρ τοῦτό ἐστι τὸ τὴν Ἐκκλησίαν ταράττον, ἐμβάλλον εἰς ἀπορίας καὶ σκανδαλίζον, εἰπεῖν εὐαγγελικῶς, τὸ τινὰς εἶναι ἢ λέγεσθαι κριτὰς τῆς οἰκουμένης, οἰκουμενικοὺς πατριάρχας (ταῦτα γὰρ ἄμφω ἡ τοῦ Θεοῦ φιλάνθρωπος πρόνοια ταῖς ἡμετέραις ἐναπέθετο χερσί, ἡ κεφαλὴ τῆς Ἐκκλησίας), καὶ μόνον . . . [1] καὶ ἐπίτροπον, μόνον ἐμπιστευθέντα τὰς κλεῖς καὶ τὸ δεσμεῖν, νόμους φέρειν καὶ ἀθετεῖν καὶ αὐτὸ τὸ Εὐαγγέλιον οἷ ἂν βουληθείη μετάγειν, μόνον ὄντα διδάσκαλον καὶ μόνον ποιμένα, πρὸς ὃν οὐδὲ κατακρημνίζοντα σωρηδὸν εἰς Ἅδου τὰς τῶν ἀνθρώπων ψυχὰς ἀντοφθαλμῆσαι οὐδενὶ τῶν ὅλων τὸ σύνολον ἔξεστι· εἰ ταῦτα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ σκανδαλίζει, ἀποθώμεθα τὰ τὴν Ἐκκλησίαν σκανδαλίζοντα, ἵνα μὴ τὴν Ἐκκλησίαν, ὑπὲρ ἧς ἀπέθανεν ὁ Χριστός, σκανδαλίζωμεν. Εἴημεν δοῦλοι εἰς εἰρήνην τῆς Ἐκκλησίας καὶ ὁμόνοιαν καὶ Χριστῷ συμβασιλεύσωμεν· εἴημεν ἐπίσκοποι εἰς οἰκοδομὴν τῆς Ἐκκλησίας· εἴημεν πατριάρχαι, ἵνα τὴν Ἐκκλησίαν ἢ φαιδρύνωμεν δόξῃ καὶ τιμῇ, ἢ φιλοτιμήσωμεν τὴν ἑαυτῶν φιλοδοξίαν. Ἰδού σοι λύσις ἁπλῆ καὶ ἀπερίεργος, πᾶσαν περιελοῦσα στάσιν καὶ φιλονεικίαν ἀπᾴδουσαν Ἐκκλησίαις Χριστοῦ καὶ συμβιβάζουσαν εἰς σύμπνοιαν ἀδελφικήν. Εἰ δὲ ἡ ἐκκλησιαστικὴ εὐταξία ἱεραρχίαν τινὰ ζητεῖ συντεταγμένην σώματί τινι εὐτάκτῳ ἀναλογοῦσαν καὶ μέλη καὶ κεφαλὴν κεκτημένῳ, εἴημεν σῶμα καὶ μέλη ἐκ μέρους [2]· ἔστω καθολικὴ κεφαλὴ ὁ Χριστός, ὃν ἔδωκε (Παύλου φωνή) [3] ὑπὲρ πάντα κεφαλὴν τῇ Ἐκκλησίᾳ ὁ πατήρ· ἀλλήλων δέ, ὥς φασι Παῦλος, ἀλλήλων μέλη [4]. Ἐχέτω ἡ τοῦ Χριστοῦ Ἐκκλησία κατὰ τὸν ἀποστολικὸν τύπον τοὺς πρωτεύοντας ἑκάστου ἔθνους καὶ τούτους ὡς κεφαλὴν ἡγείτω, ἡ δὲ καθόλου Ἐκκλησία μόνον Χριστὸν ἡγείσθω κεφαλὴν τῷ καθόλου σώματι ἀναλογοῦσαν, ᾗ σύνεστιν ὡς κεφαλὴ μέλεσιν. «Ὅπου γάρ», φησίν, «εἰσὶ δύο ἢ τρεῖς ἐν τῷ ἐμῷ ὀνόματι συνηγμένοι, ἐκεῖ ἔσομαι ἐν μέσῳ αὐτῶν» [5]. Ἀλλὰ πάλαι μὲν οὕτω, ἐν δὲ τῇ καινῇ πολιτείᾳ «εἰπὲ» φησὶ «τῇ Ἐκκλησίᾳ»· οἱ δὲ κανόνες τῶν θεοφόρων πατέρων δικάζεσθαί φασι παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας, ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ· «θρόνῳ» φασίν· οὐ γὰρ ἑνὶ προσώπῳ τὸ ἀσφαλὲς περιορίζουσιν οἱ πατέρες, ὡς νῦν φαντάζεται ὁ Ῥώμης τὴν σύμπασαν Ἐκκλησίαν σφαλῆναι τῆς ἀληθείας, οἰόμενος εἶναι ἐνδεχόμενον· μονώτατον δὲ ἑαυτὸν τῶν ἀδυνάτων εἶναι παρακρουσθῆναι ποτέ. Ὁρῶμεν δὲ καὶ τοὺς ἱεροὺς ἀποστόλους οὐκ ἄλλως πολιτευσαμένους, ἀλλὰ κοινῇ σκέψει διαλύοντας τὰς ζητήσεις· τοῦτον τὸν τρόπον τὸν πατρικόν, ὡς ἐδιδάχθημεν καὶ πάλαι διὰ τύπων καὶ διὰ τῆς ἀληθείας, ἱεροπρεπῶς διαιτήσωμεν τὴν Ἐκκλησίαν, ἀντιστρατευόμενοι ταῖς τῶν ἀμφισβητήσεων ἐπιφοραῖς καὶ τὰς τῆς Ἐκκλησίας τρικυμίας καταπραΰνοντες. Καὶ ταῦτα μὲν περὶ τοῦ πρώτου.

Τὸν δὲ τύπον τῆς ἐπισκοπῆς (ὅπερ ἐν δευτέρῳ ζητεῖτε) τεθαύμακα οὕτως εἶναι παρ' ὑμῖν ἐν ἀρχῇ τὰ πράγματα, ὥστε περὶ τούτου ἀμφιγνοεῖν· ὁ γὰρ ἐπίσκοπος τόπον ἐπέχων καὶ τύπον Χριστοῦ διακρινεῖ μὲν αὐτὸς τὰ πάντα (ἐν δὲ ταῖς δημοσίαις ἀγωγαῖς συμπαρόντας ἔχων καὶ τοὺς τοῦ κλήρου τοῦ ἱεροῦ), διακρινεῖ δὲ κατὰ τοὺς ἱεροὺς θεσμούς, καὶ τοῦτο μόνον ἀγωνιζόμενος, πρὸς τὸν κανόνα τῶν θείων νόμων διευθύνειν τὰς ὑποθέσεις. Οἱ δὲ τοῦ κλήρου πρὸς ἀλλήλους ἔχουσί τινα διάκρισιν εὐταξίας· πεντάδες γὰρ διετάχθησαν ταῖς πεντάσιν ἴσως ἀντιπαραβαλλόμεναι τῶν τοῦ σώματος αἰσθήσεων, δι' ὧν καὶ ζῶμεν καὶ κινούμεθα καὶ τὰ τοῦ νοὸς εἰς ἔργα ἐξάγομεν. Ἑκάστη δὲ τῶν πεντάδων τοὺς ἰδίους κέκτηται· ἔχει δὲ ἡ πρώτη πεντὰς τὸν μέγαν οἰκονόμον, τὸν μέγαν σακελλάριον, τὸν μέγανσκευοφύλακα, τὸν μέγαν χαρτοφύλακα, τὸν σακελλίου, τὸν πρωτέκδικον· ἡ δὲ δευτέρα τὸν νομοφύλακα, τὸν πρωτονοτάριον, τὸν μέγαν πρωτοπαπᾶν, τὸν λογοθέτην, τὸν κανστρίνσιον, τὸν πρωτοπαπᾶν, τὸν ῥεφερενδάριον καὶ ὑπομνηματογράφον· ἡ δὲ τρίτη τὸν ἱερομνήμονα, τὸν ὑπομιμνήσκοντα, τὸν διδάσκαλον τοῦ Εὐαγγελίου, τὸν διδάσκαλον τοῦ Ἀποστόλου, τὸν διδάσκαλον τοῦ Ψαλτῆρος· ἡ δὲ τετάρτη τὸν ἐπὶ τῶν γονάτων, τὸν ἐπὶ τῶν κρίσεων, τὸν ἐπὶ τῶν δεήσεων, τὸν ἐπὶ τῆς ἱερᾶς καταστάσεως, τὸν

---

[1]) Τόπος κενὸς ἐν τῷ κώδικι, δυνάμενος ἴσως νὰ συμπληρωθῇ οὕτω· «*τὸν Ῥώμης εἶναι κεφαλὴν*» κτλ.
[2]) Πρβλ. Κορ. 1, ιβ', 27.
[3]) Πρβλ. Ἐφεσ. δ', 15. ε', 23.
[4]) Πρβλ. Ἐφεσ. δ', 25, 30.
[5]) Ματθ. ιη', 20.

ἐπὶ τῶν σεκρέτων· ἔχει καὶ ἕτερα, ἄρχοντα τῶν μοναστηρίων, ἄρχοντα τῶν ἐκκλησιῶν, ἄρχοντα τοῦ Εὐαγγελίου, ἄρχοντα τῶν ἀντιμινσίων καὶ τὰ λοιπά.

Τρίτον ἀποροῦσι περὶ τῆς Ἀδελφότητος, πόθεν ἡ ἀδελφοσύνη καὶ τίς διέταξε ταύτην τὴν ἀδελφοσύνην. Αὕτη οὖν πᾶσι τοῖς ἐπιγραφομένοις τὸ τοῦ Κυρίου ὄνομα κοινόν τί ἐστιν χρῆμα· εἰ γὰρ ἑνὸς πατρὸς γινόμεθα παῖδες τῇ τοῦ λουτροῦ τῆς παλιγγενεσίας καὶ ἀνακαινώσεως δυνάμει, ἀλλήλων πάντως ἐσμὲν ἀδελφοί. Οἶδε καὶ γέννησις καὶ ἀναγέννησις ἀδελφοὺς ποιεῖν καὶ διάθεσις ἀγάπης. Ὥσπερ οὖν ἡ τῆς ἀναγεννήσεως χάρις οὐκ ἀναιρεῖ, ἀλλ' ἀναπληροῖ τὴν τῆς φύσεως γέννησιν καὶ εἰς τελειότητα προάγει, οὕτως ἐν τοῖς ἀναγεγεννημένοις ἐπιφερομένη τῆς ἀγάπης ἡ ἀκτὶς τὸ τέλειον ἐργάζεται τοῦ χρήματος· δεῖ γὰρ τῇ ἄνωθεν φερομένῃ δωρεᾷ τε καὶ χάριτι καὶ τὰ ἡμέτερα συνεισφέρειν· ἐπὶ γὰρ τούτῳ δίδωσιν ὁ φιλάνθρωπος Θεὸς τὴν χάριν, ἵνα ἐνεργοὺς ἥκιστα δ' ἀργοὺς ἀπεργάσηται. Ἵνα οὖν οἱ τὴν χάριν δεξάμενοι καὶ δωρεὰν τοῦ φιλοδώρου Θεοῦ τὰ τῆς ἀγάπης ἐνεργῶμεν, συναγόμεθά που τινὲς ἐπὶ ῥηταῖς τισι συνθήκαις οὐκ ἀπαγούσαις τῶν θείων ἐντολῶν, ἀλλὰ τοῖς θείοις συντελούσαις προστάγμασι· καὶ τοῦτό ἐστι τὸ τῆς ἀδελφότητος σύστημα, αὕτη ἐστὶν ἡ ἀδελφότης, συλλογή τις φιλοθέων ἀνδρῶν ἐπὶ συνθήκαις τισὶ συμφωνησάντων, ὥστε φυλάττεσθαι τὰς τοῦ Κυρίου ἐντολὰς καὶ τὸ κοινὸν ὠφελεῖσθαι τῆς ἀνθρωπότητος, ὥσπερ δὴ καὶ ἡ λεγομένη τοῦ ἁγίου Σπυρίδωνος, περὶ ἧς καὶ γράφετε, οὐχ ὅτι τὸν ἅγιον Σπυρίδωνα ἤ τινα τῶν ἁγίων (ὃν ἐπιγράφεται) κέκτηται σωτῆρα ἢ πατέρα οὕτως ἁπλῶς, ἀλλ' ὅτι πρὸς τὴν ἐκείνου μίμησιν ἀφορῶντες σὺν τῷ τῆς πίστεως εἰλικρινεῖ καὶ ζέοντι τὸ πρὸς τὸν πλησίον φίλτρον ἐνδείκνυσθαι τῶν πτωχῶν ἐπιμελεῖσθαι συνεφώνησαν καὶ τῶν ξένων καὶ ἀστέγων, συνεισφρέοντες ἕκαστος κατ' ἔτος ὃ καὶ συνωμολόγησεν· ἅπερ τῆς εὐαγγελικῆς ἤρτηται διδασκαλίας. Ταῦτα δὲ ἐκφέρεται σαφέστερον ἐν οἷς συνεγράψαμεν, ὅτε τὴν ἀρχὴν ἡ τοῦ ἁγίου Σπυρίδωνος συνεκροτεῖτο Ἀδελφότης, τὴν παρ' ἡμῶν παρηγμένην εἰς εὐπρεπεστάτην μόρφωσιν.

Τὸ δὲ τέταρτον τῆς ἀπορίας, μάλιστα τῆς ἀτοπίας, οὐδὲ ἐρωτᾶν ἔδει, εἰ δεῖ ἄνθρωπον κοσμικὸν τὸ τοῦ διδάσκειν ἀναλαμβάνειν ἀξίωμα, οὐδὲ ἐκ τῆς ἡλικίας ἢ πολιτείας κεκτημένον τὸ ἀξιόπιστον· σκεπτέον γὰρ οἷος ἦν Ἰωάννης ἀρξάμενος τοῦ κηρύγματος, ὃς ἦν ἐν ταῖς ἐρήμοις ἄχρι τῆς ἀναδείξεως αὐτοῦ πρὸς Ἰσραὴλ ἐκ κοιλίας μητρὸς χάριν (οἷον κεχειροτονημένος) πλουτήσας τοῦ πνεύματος, ὡς καὶ πρόπαλαι Ἱερεμίας. Ὁ δὲ Ἡσαΐας καὶ οἱ λοιποὶ ἐκεῖθεν ἄρχονται, ἐκ τῶν θείων ἐμφάσεων, «Ὅρασις» λέγοντες, ἢ «Λόγοι Κυρίου» καὶ τὰ ἑξῆς. Οἷόν τι παρέδειξεν ὁ Σωτήρ, οὐδ' αὐτὸς τὸ κηρύττειν ἐπιχειρήσας πρὸ τελείας πολιτείας καὶ ἡλικίας, ἄκραν ἄσκησιν ἐν τῇ ἐρήμῳ καὶ ἀγῶνας ἀντλήσας οἵους τε ὄντας ἀνθρωπίνην φύσιν ἐλέγξαι καὶ τελειῶσαι. Σκόπει δὲ ποταποὺς ἀποστέλλει τοὺς μαθητὰς εἰς τὸ κήρυγμα, λαβόντας πνεῦμα ἅγιον διὰ τοῦ φυσήματος καὶ τέλος πυρίνων γλωσσῶν μεμοιρασμένους· ἀλλὰ καὶ συνελόντα εἰπεῖν οἱ προβάτων ἐπέχοντες τόπον, πῶς ποιμένων εὐαρμόστως ἀναπληρώσωσι τάξιν, μάλιστά γε ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις ταῖς πονηραῖς, ὅτι μόλις ἡλικίᾳ καὶ πολιτείᾳ καὶ σοφίᾳ διαπρεπόντων ἀκούομεν ἡδέως; «Μὴ πολλοί», φησὶν ἡ θεία Γραφή, «μὴ πολλοὶ διδάσκαλοι γίνεσθε»· μὴ πάντες τῷ ἑτοιμοτάτῳ χρώμεθα ὀργάνῳ, τῇ γλώττῃ δηλαδή, ὥς που ἡ γρήγορος ἠγανάκτησε φωνή[1]. Εἰ δὲ καὶ ἱερέων ἢ καὶ ἀρχιερέων καθάπτεται, ἐντεῦθέν ἐστιν ἰδεῖν τὸ ἐκμελὲς τοῦ πράγματος· μὴ γὰρ μέμφεσθαι τοῖς ἀμελῶς περιπατοῦσιν (ἵνα μή τι σκληρότερον εἴπω) θέμις οὐδαμῶς· πράττειν δὲ τοῦτο τοὺς λαϊκοὺς ἴσον ἐστὶ τῇ κεφαλῇ, καίπερ ἀλγούσῃ, οἱ πόδες ἀντεπαιρόμενοι ἢ τὴν ἀσθένειαν ἐλέγχωσιν, ἢ περὶ θεραπείας φιλοσοφῶσι· πρὸς γὰρ τῷ τῆς κεφαλῆς ἄλγει καὶ τῷ ἀταξίας περιπλεκόμεθα ἐγκλήματι, μοῖραν ἔχοντι κακίας οὐ τὴν ἐσχάτην.

Ἕνα δὲ μητροπολίτην, ὅπερ ἐστὶ τὸ πέμπτον τῶν ἀπορουμένων, δύο μητροπόλεων ἐξουσιάζειν καὶ ἄθεσμον καὶ ἀπάνθρωπον· εἰ γὰρ δόξης ὀρέγεται, δυσκόλως κατορθωθήσεται αὐτῷ πλείστοις ὑπηρετοῦντι καὶ εἰς πολλὰ καὶ μεγάλα μὴ παρατραπῆναι τοῦ δέοντος καὶ προσκρούειν πολλοῖς καὶ δὴ καὶ Θεῷ· εἰ δὲ κέρδους καὶ εὐπαθείας, ἐλεεινόν· ψυχὴ τηλικοῦτον ἀκόρεστος!

---

[1]) Νοεῖται Γρηγόριος ὁ Θεολόγος.

www.dacoromanica.ro

Εἰ δὲ κατὰ Θεὸν βούλεται πράττειν, κίνδυνος πολύς. Ὁ δὲ νόμος ῥητῶς ἀπείργει τῆς τοιαύτης ἐπιχειρήσεως ἅπαντας, παλλαχοῦ ἀπαγορεύων δυσὶ καθίστασθαι ἕνα τινὰ ἐκκλησίαις, ἢ ἐπιπηδᾶν ἀφ' ἑτέρας εἰς ἑτέραν, κἂν καὶ ὑπὸ πολλῶν παρακαλούμενον· μόλις γὰρ καὶ ἐπὶ μεγάλῳ τῷ τῆς Ἐκκλησίας χρησίμῳ τότε εἴκειν προσήκει καὶ ταῖς κοιναῖς παρακλήσεσιν. Εἰ δὲ ἑτέρα ἡ μητρόπολις Κυέβου, ἑτέρα δὲ Γαλίτζης, ὑποτοπάζω ὑμᾶς εἰδέναι σαφέστερον, τῶν προαγόντων μεμνημένους καιρῶν καὶ πῶς πρόπαλαι διῳκοῦντο αἱ τοιαῦται ἐπαρχίαι· ταῦτα γὰρ παρ' ὑμῖν τὰ τῆς καθ' ὑμᾶς Ἐκκλησίας τακτικὰ περιέχειν ἀνάγκη πᾶσα, ἑκάστης τε ἐνορίας τοὺς ὅρους καὶ τὰ προνόμια.

Τὸ δὲ περὶ σταυροπηγίου, τὸ ἔσχατον δηλαδὴ τῶν ἀπορουμένων, φανερὸν ὡς ἔστι τῆς Ἐκκλησίας παράδοσις· εἰ δὲ παράδοσις, ἀρκεῖ τοῦτο ὅτι παράδοσις καὶ μὴ πολυπραγμονῶμεν. Ἓν καὶ τοῦτο ἀποστολικὸν κατόρθωμα, τὸ αἰχμαλωτίζειν ἑαυτῶν τὰ νοήματα πρὸς καθαίρεσιν ὀχυρωμάτων λογομαχίας ἁπάσης, οὐ σαρκικοῖς ὅπλοις, ἀλλὰ ταῖς τοῦ πνεύματος ἐνεργείαις, οὐ τῇ ἡμετέρᾳ συνέσει τε καὶ σοφίᾳ, ἀλλὰ τῇ τοῦ πνεύματος κρατοῦντες τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Φυλάξωμεν πρόσταγμα θεολογικόν· «πνεύματα», φησί, «προφητῶν προφήταις ὑποτάττεται». Ταῖς τῶν πατέρων παραδόσεσιν ὑποτάξωμεν τὸ καθ' ἡμᾶς φρόνημα, ὅπου γε μάλιστα τὰ τῆς εὐσεβείας δόγματα ἥκιστα παραλυποῦμεν καὶ τὴν εἰς ἀλλήλους ἀγάπην διαφυλάττομεν· ἧς κρατούσης, τὸ τῆς ἀνθρωπίνης φιλονεικίας περίεργον ἀφανίζεται, τὸ τὰς Ἐκκλησίας Χριστοῦ σκανδαλίζον. Εὗρον οὖν τὸ σταυροπήγιον οἱ πατέρες οὐκ εἰς στάσιν ἀλλ' εἰς σύστασιν τῶν Ἐκκλησιῶν· ἵνα γὰρ ἡ Ἐκκλησία ἡ Μεγάλη ἐν ἐπαρχίᾳ ἢ παροικίᾳ τῇ δεῖνι ἔχῃ τὸ μνημόσυνον ἄσβεστον, ἢ καὶ μικράν τινα βοήθειαν (ὅπερ σύνδεσμός ἐστι πρὸς τὴν μητέρα τῶν θυγατέρων), ἐπενοήθη τὰ σταυροπήγια, οὐκ εἰς ἀναίρεσιν ἢ ὅλως βλάβην ἢ καὶ ἀτιμίαν τοῦ κατὰ χώραν ἐπισκόπου, οὐ τῆς ἐξουσίας ἐξῄρηται τὸ σταυροπήγιον, ἀλλ' εἰς ἀνάῤῥυσιν καὶ βοήθειαν τοῦ πατριαρχικοῦ θρόνου, ὅθεν καὶ ὁ ἐπίσκοπος πέμπεται καὶ ὅθεν ἔχει λαβὼν καὶ τὴν ἀξίαν καὶ τὴν ἐξουσίαν τῆς ἐπαρχίας. Ἀλλὰ ταῦτα πάντα οἰκοδομεῖ μὲν ἀγάπη, συγχέει δὲ καὶ ἀνακυκᾷ φιλοδοξία καὶ φιλοκέρδεια. Τὴν οὖν ἀγάπην ἀνακαλέσαντες ἐγκομβώσωμεν τὴν πάντα (κατὰ τὸν ἀπόστολον)[1] στέγουσαν, πάντα ὑπομένουσαν καὶ μὴ ἀσχημονοῦσαν· τὴν δὲ αἰσχροκέρδειαν καὶ κενοδοξίαν, τὰς τῶν σκανδάλων μητέρας, τῶν ἱερῶν ἀποδιοπομπήσωμεν συλλόγων ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν πατρὶ καὶ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐν Κωνσταντινουπόλει, ͵ζρε' (=1597).

## 16.

*Γεδεὼν ἐπισκόπῳ Λεοντοπόλεως.*

† Γεδεὼν τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Λεοντοπόλεως καὶ συνεπισκόπῳ σὺν τοῖς λοιποῖς εὐλαβεστάτοις ἱερεῦσι καὶ λαμπροτάτοις ἄρχουσι μετὰ πάντων τῶν ὀρθοδόξων τῆς Μικρᾶς Ῥωσίας λαῶν, ἀνδρῶν καὶ γυναικῶν, γερόντων τε καὶ παιδίων, τοῖς ἐν Χριστῷ Ἰησοῦ ἀγαπητοῖς, χάριν, ἔλεος, εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ πάντας ὑμᾶς, τοὺς μὲν ὡς ποιμένας καλούς, ἀδελφοὺς καὶ συλλειτουργοὺς ἐν πνεύματι ἁγίῳ, τοὺς δὲ ὡς ἐκλεκτὰ πρόβατα τῆς ἀληθινῆς αὐλῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, περὶ ὧν Χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ τὴν ἑαυτοῦ ψυχὴν ἔθηκεν, οἷς πᾶσιν ὡς γνησίοις παρήγγειλεν ὁ οὐράνιος πατὴρ περὶ τοῦ υἱοῦ αὐτοῦ λέγων· «αὐτοῦ ἀκούετε»· οὐ γὰρ ἑτέρων, ἀλλ' αὐτοῦ τοῦ Σωτῆρος ἀκούειν βούλεται τοὺς οἰκείους· καὶ περὶ ὧν ἔλεγεν ὁ Σωτήρ, ὅτι «τῆς φωνῆς μου ἀκούσουσι, τοῦ ποιμένος, καὶ ἀκολουθήσουσιν· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύγονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τὴν φωνὴν τῶν ἀλλοτρίων»[2]. Εἰσὶ δὲ ἀλλότριοι, ὅσοι ἄλλο τι διδάσκουσι παρ' ὃ ἐδίδαξεν ὁ Σωτήρ, οἱ ἀπόστολοι, οἱ πατέρες, οἱ ἐν ἑπτὰ συνόδοις οἰκουμενικαῖς διαπρέψαντες. Ὑμᾶς, ὦ φιλόθεοι ψυχαί,

---

[1]) Πρβλ. Κορινθ. 1, ιγ', 4—8.

[2]) Πρβλ. Ἰωάν. ι', 4—5.

www.dacoromanica.ro

ὑμᾶς ἠσφαλίσατο ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος διὰ τοῦ προφήτου λέγων· «μὴ μέταιρε ὅρια ἃ ἔθεντο οἱ πατέρες σου»[1]. Ὑμᾶς περιέφραξεν ὁ διὰ Παύλου λαλῶν Χριστὸς λέγων· «κἂν ἄγγελος ᾖ»· ὅπερ ἐστὶν ἀδύνατον· ἀλλὰ κἂν καὶ τὸ ἀδύνατόν τις δῷ ἄγγελον ἐξ οὐρανοῦ ἄλλο τι παρ' ὃ παρελάβετε εὐαγγελίζοντα εἶναι ἀνάθεμα[2]. Τέκνα ἐστὲ γνήσια τῆς Καθολικῆς τῷόντι (λέγεται γάρ τις καθολική, μὴ οὖσα καθολική), τῆς οὖν τῷόντι Καθολικῆς Ἐκκλησίας καὶ ὀρθοδόξου ὑμεῖς ἐστε γνήσια τέκνα τοῖς ὅροις ἐμμένοντα τῶν πατέρων, οἳ τὸ ἱερὸν συμπληρώσαντες σύμβολον. Ἐκεῖθεν γάρ, ἐκ τῆς δευτέρας οἰκουμενικῆς, ἐπάγη τὰ τοῦ ὅρου τούτου· αὕτη γὰρ τὸ τοῦ πνεύματος τοῦ ἁγίου ἀναπτύξασα κεφάλαιον κατὰ Μακεδονίου τοῦ πνευματομάχου καὶ πᾶσαν ἐμφήνασα τὴν τοῦ πνεύματος θεολογίαν ὅρον ἔθετο τοῖς προσθεῖναι ἢ ἀφελεῖν τι τολμήσουσιν εἶναι ἀνάθεμα. Τούτοις ὑμεῖς ἠσφαλίσθητε. Ὑμῶν εἰσιν αἱ σφραγῖδες αὗται, τὰ τοῦ θείου πνεύματος χαράγματα. Τοῦτό ἐστι τὸ φῶς τῆς θεογνωσίας, ὅπερ ἐσημειώθη ἐφ' ὑμᾶς· τὸ γὰρ φῶς τοῦ κόσμου, ὁ Σωτήρ, «ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον»[3] διὰ τῶν ὀργάνων ἐκείνων, τῶν ἱερῶν καὶ φωτεινοτάτων πατέρων, τὸ φῶς τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἀπήστραψεν εἰς ὑμᾶς. Συνέζωσε καὶ συνέσφιγξεν ὑμᾶς περιβολαῖς ἐνθέοις καὶ ἀποδιοπομπούσαις πᾶσαν παράβασιν καὶ παρακοήν, ἃς γεννᾶν εἰώθασιν οἱ νεωτερισμοί, οὐδὲν ἄλλο καὶ αὐτοὶ τυγχάνοντες οἱ νεωτερισμοί, εἰ μὴ παραβάσεις καὶ παρακοαί· περὶ ὧν γέγραπται, ὅτι ἔλαβον ἔνδικον μισθαποδοσίαν ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὴν φύσιν πᾶσαν. Τοῦτο τὸ πατρικὸν τῆς εὐσεβείας φυλακτήριον ἐφυλάξατε μέχρι τοῦ νῦν χάριτι Θεοῦ ῥωσθέντες τῷ πνεύματι τοῦ Χριστοῦ· «ἐν αὐτῷ γὰρ πάντα ἰσχύομεν» (Παύλου φωνή)[4]. Ὑμῖν ὀφείλονται ὡς ἀπαραίτητον χρέος, ὡς κληρονομία πατρική, αἱ εὐχαὶ καὶ εὐλογίαι αἱ πατρικαὶ καὶ αἱ ἐν ἐπαγγελίαις ἀποκείμεναι δωρεαί τε καὶ χάριτες, ἡ δόξα ἡ ἰσάγγελος, ἣν ἀποδώσει ὑμῖν ὁ δίκαιος κριτὴς ἐν καιρῷ ἐπισκοπῆς· τότε γὰρ ἀναλάμψετε ὡς ὁ ἥλιος καὶ ὡς σπινθῆρες διαδραμεῖτε. Τότε ἐρεῖ πρὸς ὑμᾶς ὁ καλὸς διδάσκαλος, ὃν οὐ παρῃτήσασθε διὰ τὰς διδασκαλίας τῶν ἀνθρώπων, διὰ τὴν ψευδώνυμον σοφίαν καὶ κενὴν ἀπάτην, ὥς φησι Παῦλος[5], διὰ τοὺς νεωτερισμούς, οὓς οὐκ οἴδασιν οἱ πατέρες ἡμῶν (ὃν γὰρ ἐκεῖνοι καὶ ἡμεῖς κηρύττομεν Χριστόν, αὐτὸς καὶ χθὲς καὶ σήμερον καὶ εἰς τοὺς αἰῶνας· ὃν δὲ οἱ νεωτερισμοί, οὓς εἰσάγουσιν εἰς τὴν οἰκουμένην οἱ τἀναντία φρονοῦντες ἡμῖν, ἐκεῖνοι οἱ νεωτερισμοὶ ἄλλον τινὰ σήμερον κηρύττουσι παρ' ὃν ἐκήρυττον χθές· πρὸς γὰρ τὸν Σωτῆρα τὰ τοῦ Σωτῆρος ἀνατρέχουσιν· οὐ γὰρ ἐπὶ τῇ ἀρραγεῖ πέτρᾳ θεμελιῶσαι γνόντες, ἀλλ' ἐν τῇ σοφίᾳ τοῦ κόσμου τὰ καθ' αὐτοὺς στῆναι ἐπ' ἀσφαλοῦς οὐ δύναται)· «Εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοί»[6], οἱ συμπάσχειν Χριστῷ προελόμενοι, ἵνα καὶ συνδοξασθῆτε, ἐκεῖνο λογιζόμενοι εὐσεβέστατα, «ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν αἰῶνος πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς»[7]. Ταῦτά ἐστιν ὑμῶν τὰ γέρα, οἱ στέφανοι, αἱ τῶν καμάτων ἀμοιβαί, τὰ ὑπὲρ τῆς ὀρθοδοξίας διαδήματα, ἡ τῆς εὐσεβείας δόξα τε καὶ λαμπρότης, ἧς ὑμᾶς μετὰ τῶν πατέρων τῶν ἁγίων ὡς ὁμόφρονας τῶν πατέρων τῶν ἁγίων ὁ τῶν ἁγίων πατέρων Θεὸς ἀξιώσειε δι' ἰδίαν φιλανθρωπίαν καὶ χάριν, ἣν ἀπέθετο ταμιευσάμενος τοῖς ἀγαπῶσιν αὐτόν. Οἱ δὲ καταλιπόντες τὴν ἰδίαν στάσιν τε καὶ τάξιν καὶ ἀποστατήσαντες τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἐν ᾗ ἐβαπτίσθησαν, ἐν ᾗ ἐτράφησαν, ἐν ᾗ ἐδιδάχθησαν, ἐν ᾗ ἐχειροτονήθησαν (ὢ τῆς ἀγνωμοσύνης καὶ τῆς ὠμότητος· ὢ τῆς τόλμης, ἣν κατὰ τῆς ἰδίας μητρὸς οἱ τῆς ἰδίας μητρὸς ἀνάξιοι παῖδες ἐτόλμησαν), αὐτοὶ τοίνυν, εἰ ἐμμένωσι τῇ ἀποστασίᾳ, ἔστωσαν οὐ μόνον καθῃρημένοι ἢ τῆς ἱερᾶς ἢ ἀρχιερατικῆς τάξεως, ἀλλὰ καὶ ἀφωρισμένοι καὶ ἀσυγχώρητοι καὶ ἔξω τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ αὐτοὶ καὶ οἱ συνακολουθοῦντες αὐτοῖς καὶ συγκοινωνοῦντες· θεσμὸς γὰρ οὗτός ἐστι τῆς Ἐκκλησίας δικαιότατος, τὸν κοινωνοῦντα τῷ ἀκοινωνήτῳ εἶναι ἀκοινώνητον.

---

[1]) Παροιμ. κβ', 28.
[2]) Πρβλ. Γαλ. α', 8.
[3]) Ἰωάν. α', 9.
[4]) Πρβλ. Φιλ. δ', 13.
[5]) Πρβλ. Κολ. β', 8.
[6]) Πρβλ. Ματθ. κε', 21—23.
[7]) Ῥωμ. η', 18.

www.dacoromanica.ro

Δίκαιον δὲ αὐτοὺς οὐ τῆς καθαιρέσεως μόνον ἧς κατεκρίθησαν καὶ παρ' ὑμῶν συνοδικῶς, ἀλλὰ καὶ ἀρῶν καὶ κατάρας παραπολαῦσαι, ἐπειδὴ μεμενήκασι τῇ ἀποστασίᾳ. Λεγέτωσαν γὰρ οἱ ἀσυνείδητοι, τίνος οὐκ ἄξιοι τιμωρίας μετὰ τηλικούτων θορύβων καὶ κινδύνων τῶν πολιτειῶν ἀφεστηκότες τῆς Ἐκκλησίας, ἐν ᾗ καὶ τὸ βάπτισμα ἔλαβον, ἐχρημάτισάν τε χριστιανοὶ καὶ τὸ ἱερὸν χρίσμα τὸ τοῦ πνεύματος, τῆς ἀρχιερωσύνης, ἀξιωθέντες. Τί γὰρ ἐροῦσι πρὸς τὸν διαγορεύοντα κανόνα, τὸν τῆς δευτέρας οἰκουμενικῆς τρίτον, ὑποκεῖσθαι τῷ Κωνσταντινουπόλεως θρόνῳ τοὺς τῆς Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θρᾳκικῆς διοικήσεως, ἔτι καὶ τοὺς ἐν τοῖς Βαρβαρικοῖς; οὕτω γὰρ τὰ Σαυροματῶν καὶ ὑπερβόρεια ἢ καὶ βόρεια πάντα μέρη ὠνόμασται. Τί φήσουσι τοσούτων χρόνων περιόδους ὑποκείμενοι τῷ Κωνσταντινουπόλεως θρόνῳ, νῦν αἰφνίδιον μεταβαλλόμενοι καὶ ἀποσεισάμενοι τὸν χρηστὸν ζυγὸν διὰ τὸ ἐπ' ἐγκλήμασί τισιν ἐξετάζεσθαι, τὴν Ἐκκλησίαν, τὴν πνευματικὴν μητέρα, καταλιπόντες καὶ εἰς τὴν τῆς πρεσβυτέρας Ῥώμης ἀποπηδήσαντες μάνδραν; τί δὲ ἐροῦσιν ἐγκαλούμενοι ὑπὲρ τῆς εὐσεβείας, ἣν προδεδώκασι; Τὰ γὰρ δόγματα τῆς Ἐκκλησίας τῆς Ἀνατολικῆς εὖ οἴδασι πάντες εὐαγγελικὴν εἶναι καὶ πατρικὴν διδασκαλίαν· προσθήκην δὲ μόνοι φέρουσιν οἱ τῆς πρεσβυτέρας Ῥώμης παῖδες· ἣν προσθήκην, κἂν ὑγιαίνουσαν εἴπωσιν, εὐλόγως ἀποστρεφόμεθα, τοῖς πατράσιν Ἀνατολικοῖς τε καὶ Δυτικοῖς (οὗτοι γὰρ τὰς οἰκουμενικὰς συνόδους ἀπαρτίζουσιν ἑκάτεροι) ἑπόμενοι, οἳ τὰς προσθήκας πάσας καὶ ἀφαιρέσεις ἐπ' ἀναθέματι τῆς τῶν πιστῶν Ἐκκλησίας περιορίζουσι. Δὶς οὖν πταίουσιν οἱ τάλανες, καὶ τῆς Ἐκκλησίας, τῆς μητρὸς αὐτῶν, καὶ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἀποπεσόντες· διὸ καὶ ταῖς ἐσχάταις εὐθύναις παρὰ τῶν πατέρων καθυποβάλλονται. Ἐπειδὴ δὲ οὐ μόνον ἐπαινετέον τὰς ἀρετάς, οὐδὲ μόνον ψεκτέον τὰς κακίας, ἀλλὰ προνοητέον ὅπως προκόψοι μὲν τὸ καλόν, τὸ δὲ κακὸν ἀφανισθῇ, δεῖ καὶ ἡμᾶς ἐπίσκεψίν τινα ποιήσασθαι, τὴν ἱερὰν χορείαν τῶν ἀποστόλων μιμουμένους. Μετὰ γὰρ τὸ τὸν Ἰούδαν τοῦ κύκλου ἐκπεσεῖν τοῦ εὐαγοῦς καὶ πορευθῆναι εἰς τὴν ὁδὸν αὐτοῦ ὡς υἱὸν τῆς ἀπωλείας, περὶ ἑτέρου ἐσκόπησαν ψηφίσαντες ὁμοθυμαδόν, τοῦ ἀναπληρώσοντος τὸν χορὸν ἐκεῖνον τὸν ὑπερφυᾶ. Διὸ καὶ ἡμεῖς ἀντεπεισάγοντες τοῖς λιποτάκτοις ἄλλους ἀγαθοὺς (ἐκεῖνοι γὰρ ἑαυτοῖς ἐπεσπάσαντο τὰς τῶν πατέρων ἀγανακτήσεις· οἱ πατέρες γάρ εἰσιν οἱ τὸ ἀνάθεμα ὅρον θέντες τοῖς τὰ ὁρισθέντα παρὰ αὐτῶν τῶν πατέρων ἀθετοῦσι καὶ κιβδηλεύουσι),

α'. Ὁρίζομεν σύνοδον γίνεσθαι ἐπισκόπων οὐ περὶ δογμάτων ἢ τι τῶν τῆς Ἐκκλησίας παλαιτάτων ἐθῶν (ταῦτα γαρ πάντα τοσύνολον παρασαλευθῆναι οὐκ ἀνεχόμεθα οὔτε συνοδικῶς, οὔτε κατ' ἰδίαν), ἀλλ' ὡς χρυσίον ἑπταπλασίως δοκιμασθὲν τὰ δι' ἑπτὰ συνόδων εἰς ἡμᾶς παραπεμφθέντα μένειν ἀναμφισβήτητα διοριζόμεθα. Συναχθέντων οὖν ἐπισκόπων ὀρθοδόξων πολλῶν, εἰ δυνατόν, εἰ δ' οὔ, τριῶν τοὐλάττον κατὰ τὰς νομοθεσίας τῶν πατέρων, ὡς ἐν δ$^{\omega}$ τῶν ἐν Νικαίᾳ τιη' κανόνι, θ$^{\omega}$ τῶν ἐν Ἀντιοχείᾳ, ιγ$^{\omega}$ καὶ νδ$^{\omega}$ τῶν ἐν Καρθαγένῃ ἐμφέρεται, καὶ ψήφων γενομένων, μητροπολίτης πρῶτον μὲν χειροτονηθήτω, ἢ καὶ τῶν μεμενηκότων ἐν εὐσεβείᾳ ἐπισκόπων εἰς μετατεθείτω εἰς μητροπολίτην· ἔπειτα καὶ ἐπίσκοποι ψηφιζέσθωσαν καὶ χειροτονείσθωσαν, ἄξιοι ὄντες τηλικούτου ἔργου· ἔργον γὰρ ἡ ἐπισκοπὴ καὶ ἔργον ἀγαθόν. Καὶ δεῖ τὸν ἐπίσκοπον εἶναι οἷον παρὰ τῷ ἀποστόλῳ ἀναγέγραπται, νηφάλεον, διδακτικόν, σώφρονα, μὴ πλεονέκτην, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, διδακτικὸν δέ· καὶ ἡ πεῖρα αὕτη διδάσκει ἡμᾶς <οὕτω> δεῖν εἶναι τοὺς καθ' ἡμᾶς.

β'. Ἐπείπερ ἡ τῶν γραμμάτων στέρησις πολλὰ τῶν ἀτόπων οἶδε προξενοῦν, ἀντεχόμενοι τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου ὁρίζομεν καὶ ἐν ἁγίῳ παρακελευόμεθα πνεύματι ἀκαδημίαν εἴτουν διδασκαλεῖα συστῆναι παρὰ πάσῃ τῇ ἐπαρχίᾳ, ἐξόχως ἐν Λεοντοπόλει διὰ τὸ ἐμπόριον οὖσαν τὴν πόλιν καὶ δεχομένην ἐπιμιξίαν πολλῶν καὶ διαφόρων δεῖσθαι καὶ ἐπιστημόνων ἀνδρῶν καὶ τὴν ἑλληνικὴν ἐπισταμένων, ὥστε καὶ ῥᾷον πρὸς τὸν Οἰκουμενικὸν Θρόνον ἀναγράφειν καὶ μηνύειν τὰ συμβαίνοντα καὶ οὕτω συμφερόντως καὶ μετὰ ῥαστώνης διοικεῖσθαι τὰ τῆς Ἐκκλησίας· αἱ γὰρ ἄλλαι χρεῖαί τε καὶ ἀνάγκαι τῆς μαθήσεως πᾶσιν εἰσὶ κοιναὶ ταῖς τῆς ἐπαρχίας πόλεσιν, ὧν τοὺς ἄρχοντας καὶ ἀρχιερεῖς ἐν πνεύματι ἁγίῳ προστάσσομεν μηδεμιᾶς φείδεσθαι δαπάνης εἰς τὰ τῶν καλῶν σπουδαστηρίων ἀναστήματά τε καὶ συστήματα.

www.dacoromanica.ro

γ'. Ὁρίζομεν ἕκαστον τῶν ἀρχιερέων, τόν τε μητροπολίτην τὸν μέλλοντα καθίστασθαι, καὶ τοὺς ἐπισκόπους ἐν ταῖς ἰδίαις ἐπισκοπαῖς τοὺς κληρικοὺς ἔχειν, μεθ' ὧν τὰς κρίσεις καὶ σκέψεις ποιεῖσθαι τὰς δημοσίας καὶ τῶν ἐκκλησιῶν ἐπιμελεῖσθαι πατρικῶς. αὐτὸν μὲν ὡς πατέρα καὶ ἀγαπώμενον καὶ τιμώμενον καὶ διὰ πειθοῦς ὄντα καὶ κληρικοῖς καὶ πᾶσι καὶ παρ' αὐτῶν στεφόμενον πανταχοῦ καὶ παραπεμπόμενον, ἔχοντα δὲ καὶ αὐτὸν τοὺς πάντας ὡς υἱοὺς ἐν ἀγάπῃ καὶ νουθεσίᾳ Κυρίου, μάλιστα δὲ τοὺς κληρικούς, οὓς οἷον μάρτυρας τῆς αὐτοῦ βιοτῆς καὶ συνέδρους ἔχει τῶν πρακτέων καὶ κοινωνοὺς φροντίδων.

δ'. Ὁρίζομεν κατὰ μηδένα τρόπον δι' ἐκκλησιαστικὰς ὑποθέσεις συγκροτεῖσθαι σύνοδον μετὰ τῶν τῆς πρεσβυτέρας Ῥώμης· ὄντων γὰρ τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας δογμάτων τε καὶ ἐθῶν δι' οἰκουμενικῶν συνόδων κεκηρυγμένων, καὶ τῶν ἐθῶν δὲ πάντων πατρικῶν ὄντων παραδόσεων, οὐ φέρομεν ὅλως ἀνακριθῆναι αὐτά· ἀλλὰ τοῦτο καθάπαξ ἐκρίναμεν, τοῖς πατρῴοις δόγμασί τε καὶ ἔθεσιν ἐμμένειν, εἰδότες ὅτι ἅπερ δι' ἑπτὰ οἰκουμενικῶν συνόδων τῇ Ἐκκλησίᾳ παρεδόθησαν, ἐν αἷς καὶ Ἀνατολικοὶ καὶ Δυτικοὶ πατέρες παρῆσαν κατὰ καιροὺς βίῳ καὶ σοφίᾳ διαπρεπεῖς καὶ περίφημοι, ταῦτα λόγια εἶναι Θεοῦ παντοκράτορος· αὐτὸς γὰρ εἶπεν· «ὅπου ἂν ὦσι δύο ἢ τρεῖς ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ ἔσομαι ἐν μέσῳ αὐτῶν». Ἡμεῖς δὲ οὐ δύο, οὐ τρεῖς, ἀλλὰ πολλὰς πολλῶν πατέρων συνόδους τῶν ἡμετέρων δογμάτων καὶ ἐθῶν ἔχομεν προστάτας καὶ διδασκάλους καὶ τηλικούτων χρόνων περίοδον, ὥστε ἐκζητεῖν καὶ ἀμφισβητεῖν περὶ τῶν αὐτῶν μανίαν εἶναι σαφεστάτην. Ἀλλὰ καὶ τὸ ἀνάθεμα φοβούμεθα τοῖς ἀφαίρεσιν ἢ προσθήκην τολμῶσιν ἐπινοεῖν ἐπικρεμάμενον, καὶ τὴν ἀγανάκτησιν τῆς θείας φωνῆς, μὴ μεταίρειν κελευούσης ὅρια, ἃ ἔθεντο οἱ πατέρες.

ε'. Ὁρίζομεν εἶναι ἐξάρχους τοῦ Θρόνου τοῦ Οἰκουμενικοῦ, Κωνσταντινουπόλεως, τρεῖς. τὸν θεοφιλέστατον ἐπίσκοπον Λεοντοπόλεως Γεδεών, τὸν διαμείναντα ἐν τῇ ὀρθοδοξίᾳ καὶ φυλάξαντα τὰ τῶν πατέρων, εἰς φύλαξιν τῶν αὐτῶν δογμάτων τε καὶ ἐθῶν· δεύτερον τὸν ὁσιώτατον ἐν πνευματικοῖς Κύριλλον τὸν πρωτοσύγκελλον καὶ ἀρχιμανδρίτην τοῦ εὐαγγελικοῦ καὶ ἀποστολικοῦ θρόνου τῆς μεγάλης ἐκκλησίας Ἀλεξανδρέων· ἐπὶ τούτοις τὸν ἐκλαμπρότατον κνέζην Βασίλειον· οἷς πᾶσιν ἐξουσίαν διδόαμεν ἄχρις ἀποκαταστάσεως τοῦ τε μητροπολίτου καὶ τῶν ἐπισκόπων.

Παραγγέλλομεν δὲ τῶν διδασκάλων τῆς Ἐκκλησίας ὑπερασπίζεσθαι πάντας ὑμᾶς καὶ βοηθεῖν αὐτοῖς παντὶ σθένει· γέγραπται γάρ· «πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ»[1]. Ἀξιοῦμεν καὶ τῶν ἡμετέρων μεμνῆσθαι δεσμῶν· ἐσμὲν γὰρ αἰχμάλωτοι, οὐκ οἶδ' ὅπως. Παραγγέλλομεν τοῖς ἡμετέροις αὐτοῖς ἐξάρχοις ἱκεσίαν ποιῆσαι πρὸς τὸν γαληνότατον κράλην καὶ τὴν ὑπερφυᾶ σύγκλητον ὑπὲρ τῆς Ἀνατολικῆς Ἐκκλησίας, πρῶτον μὲν ἵνα ἐξῇ κατὰ τὰ πάτρια δόγματά τε καὶ ἔθη πολιτεύεσθαι· τοῦτο γὰρ καὶ παρὰ τοῖς δικαιοτάτοις τῶν Ἑνετῶν ἄρχουσιν ἔξεστι τοῖς Ἀνατολικοῖς· ἔστι δ' ὅπου οὐ μόνον ἀφιᾶσι τοῖς ἡμετέροις ζῆν κατὰ τὸ παλαιόν, ἀλλὰ καὶ αὐτοὶ οἱ ἐκλαμπρότατοι ἄρχοντες κατ' αὐτὸ πολιτεύονται· τὸ γὰρ καλανδάριον τὸ Γρηγοριανὸν οὐ μόνον ἀδιόρθωτόν ἐστι καὶ ἔξω τῶν κανόνων τῶν πατέρων, ἀλλὰ καὶ συγχύσεις καὶ σκάνδαλα γεννᾷ καὶ τὰς πολιτείας εἰς στάσιν ἐγείρει. Ἐξέστω οὖν καὶ παρὰ τῇ τῆς Πολωνίας ὑψηλοτάτῃ ἀρχῇ τοῖς Ἀνατολικοῖς ἀνατολικῶς βιοτεύειν, καθὼς εἰσὶ τῆς τῶν ὑπηκόων ἐξουσίας καὶ τῶν προνομίων καὶ πριβιλεγίων ὑπερασπισταί· ἐφ' ᾧ καὶ τὸν τῆς βασιλείας ἐπιλαβέσθαι μέλλοντα ὅρκῳ συνδέουσιν, ὥστε τὰ τῶν ὑπηκόων φυλάττειν προνόμια. Ἔστι δὲ πέρα παντὸς δικαίου μόνους ἡμᾶς τῶν ἀρχαίων δογμάτων καὶ τῶν πατρικῶν παραδόσεων πρεσβευτὰς τῆς τε ἀληθινῆς πίστεως ἐν μέσῳ τῶν τῆς ἀσεβείας κυμάτων κήρυκας καὶ πρέσβεις τῶν προνομίων ἡμῶν ἀποστερεῖσθαι παρὰ κριταῖς κατὰ πᾶσαν τὴν ὑφήλιον ἐπὶ δικαιοσύνῃ καὶ τῇ ἄλλῃ ἀρετῇ βεβοημένοις, λέγω δὴ τὸν γαληνότατον ῥῆγα καὶ τὴν ὑπερφυᾶ σύγκλητον τῆς Πολωνείας κορώνας· ἀλλὰ καὶ τοῦτο ξένον καὶ παράδοξον ἐξεῖναι ἡμῖν παρὰ τοῖς τῆς εὐσεβείας ἀντιμάχοις βιοτεύειν κατὰ τὰ πάτρια δόγματά τε καὶ ἔθη, παρὰ δὲ χριστιανοῖς βιάζεσθαι ἐξομνύειν τὰ πάτρια, ὅπου γε οὐδ' αὐτὸς ὁ Σωτήρ, ὃν

---

[1]) Τιμοθ. 1, ε', 17.

www.dacoromanica.ro

πιστεύομεν βιάζεσθαι προτρέπει, ἀλλὰ καλεῖν ἀξιοῖ τοὺς βουλομένους πιστεύειν καὶ βαπτίζεσθαι. Δεύτερον· ἱκεσίαν ποιείτωσαν, ὥστε ἐξεῖναι τοῖς ἡμετέροις ἐξάρχοις ταῖς κανονικαῖς εὐθύναις ὑποβάλλειν τοὺς παρ' ἡμῶν ἢ τῶν πρὸ ἡμῶν λαβόντας τὰς μητροπόλεις καὶ ἐπισκοπάς, ἀθετήσαντας τὸν θρόνον, ᾧ ὑπόκεινται, καὶ ταράξαντας καὶ στάσιν δεινὴν πεποιηκότας κατὰ τηλικαύτην εὐδαιμονοῦσαν ἀρχήν, μὴ λογισαμένους τοὺς χρόνους τούτους καὶ τὰς καθ' ἡμᾶς ἡμέρας τὰς πονηράς, μὴ ἐγχωρούσας στασιάζειν τὰ τῶν πόλεων· ἡλίκος γὰρ ὁ κίνδυνος τὸ στασιάζειν καὶ ὁποίας παρέχουσιν ἀφορμὰς τοῖς ὑπεναντίοις οἱ στασιάζοντες, ἀφίημι σκοπεῖν τῷ κράτει τοῦ γαληνοτάτου βασιλέως καὶ τῇ τῆς ὑπερφυοῦς συγκλήτου συνέσει. Τρίτον· ζητηθήτω ἄδεια παραγενέσθαι ὅταν ἐξέσται (νῦν γὰρ τῶν δυσκόλων ἐστίν) ἡμετέρους ἐξάρχους, ὡς δὴ καὶ πρότερον εἰώθει.

Ταῦτα μὲν ὡς ἐνδέχεται νυνὶ γράφομεν στενοχωρούμενοι πανταχόθεν καὶ κινδύνους ὑφιστάμενοι μεγίστους, δι' ἣν αἰτίαν καὶ παραγενέσθαι αὐτοὺς ἡμᾶς ἐστὶν ἀδύνατον, εἰ καὶ κατὰ θυμὸν ἦν καὶ ἔστιν. Ὑμεῖς δέ, ἀγαπητοί, στήκετε ἑδραῖοι καὶ μὴ μετακινεῖσθε ὡς ἐκεῖνοι οἱ ἀστατοῦντες, οἳ δίκην καλάμων ὑπὸ ἀνέμων σαλευομένων κλονοῦνται· περὶ ὧν φησιν ὁ Σωτήρ, ὅτι ῥίζαν μὴ ἔχοντες, καύσωνος ἐπερχομένου, τῶν δηλονότι πειρασμῶν, σκανδαλίζονται καὶ οὐ τελεσφοροῦσιν[1]. Ἐστὲ πιστοὶ μέχρι τέλους· Θεὸς κελεύει καὶ δώσει ὑμῖν τὸν στέφανον τῆς ζωῆς, ἧς ἀξιώσειε καὶ ἡμᾶς ὁ δίκαιος καὶ φιλάνθρωπος Θεὸς σὺν ὑμῖν. Ἀμήν.

Ἐν Κωνσταντινουπόλει, ͵ζρε' (=1597).

## 17.

*Γεδεὼν[2] ἐπισκόπῳ.*

† Τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Λεοντοπόλεως, τῷ Παλαπάνῳ, ἐν Κυρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ περιποθήτῳ χάριν κτλ.

Περὶ μὲν τῶν τῆς καθ' ὑμᾶς ἐπαρχίας ἐγράψαμεν πρότερον καὶ πολλὰ καὶ πολλάκις· καὶ πάλιν νῦν πρὸς ἃ ζητοῦσι παρ' ἡμῶν κατὰ τὸ ἐγχωροῦν ἀποκριθέντες πέμπομεν τὰς λύσεις, παρακαλοῦντες πάντας, ἵνα καταλείψαντας τὰς λογομαχίας καὶ ζητήσεις τὴν ἁπλότητα τῆς ὀρθοδόξου πίστεως σπουδάζωσιν ἔχειν ὡσεὶ Χριστοῦ περιστεραί. Δεῖ δὲ καὶ σοῦ τὴν ἀρχιερωσύνην πᾶσαν σπουδὴν ποιήσασθαι, ὥστε μετὰ τῶν ἀδελφῶν εἰρηνεύειν ὡς μαθητὴς τοῦ σωτῆρος Χριστοῦ, μάλιστα δὲ καὶ ποιμὴν ὀρθόδοξος καὶ ἄξιος, πάντα ὑποφέρων διὰ τὴν εἰς Χριστὸν ἀγάπην (κατὰ τὸν ἱερὸν ἀπόστολον) καὶ πολλὰ χαριζόμενος οἷον πατὴρ τέκνοις. Ἀλλὰ ταῦτα μὲν περὶ τούτων· παρακαλοῦμεν δὲ τὴν σὴν ἀρχιερωσύνην καὶ τοὺς λοιποὺς ὀρθοδόξους ἀρχιερεῖς, ἱερεῖς, ἄρχοντας καὶ πάντα τὸν χριστώνυμον λαόν, ἵνα μετὰ πάσης προθυμίας βοηθήσητε ταῖς ἀνάγκαις τῆς Ἀνατολικῆς Ἐκκλησίας· ἐν γὰρ τῇ χαλεπῇ ταύτῃ αἰχμαλωσίᾳ πρὸς τοῖς κόποις πόνοις μόχθοις παντοίοις καὶ κινδύνοις ἔχομεν καὶ δαπάνης μεγάλης χρείαν, καὶ ὁ κόσμος ὅλος παρ' ἡμῖν διὰ τὴν βίαν τῶν δυναστῶν ἔπεσεν εἰς πτωχείαν καὶ οὐ δύναται ταῖς ἰδίαις χρείαις καὶ ἀνάγκαις ἀρκέσαι καὶ βοηθῆσαι ἀρκούντως καὶ ταῖς ἀνάγκαις τῆς Ἐκκλησίας τῆς Μεγάλης καὶ τῶν ἐκκλησιῶν, αἳ καθ' ἡμέραν λεηλατοῦνται, κλείονται, βίαν πᾶσαν πάσχουσι. Διὸ παρακαλοῦμεν καὶ ὑμᾶς ἵνα βοηθήσητε, ἐλεημοσύνην ἕκαστος παρέχοντες κατὰ τὴν ἰδίαν δύναμιν καὶ ἀγαθὴν προαίρεσιν· καὶ πρῶτοι μὲν οἱ θεοφιλέστατοι ἀρχιερεῖς σὺν τοῖς εὐλαβεστάτοις ἱερεῦσιν, ἔπειτα δὲ καὶ οἱ εὐγενέστατοι καὶ ὑπερφυεῖς ἄρχοντες σὺν τῷ θεοφιλεῖ λαῷ. Τοῦτον γὰρ τὸν τρόπον καὶ ἡμεῖς δυνησόμεθα ἀντιστῆναι μικρὸν πρὸς τοὺς μεγάλους πειρασμοὺς καὶ μὴ εἰς τέλος ἀφανισθῆναι καταποντούμενοι τούτῳ τῷ μεγάλῳ κλύδωνι, καὶ ὑμεῖς ἕξετε ἑκατονταπλασίονα τὸν μισθὸν καὶ τὴν οὐράνιον βασιλείαν κατὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπαγγελίαν· οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος μετὰ πάντων ὑμῶν.

Ἐν Κωνσταντινουπόλει, ͵ζρς' (=1598)*.

[1] Προβλ. Λουκ. η', 13—14.

[2] Ἐν τῷ κώδικι *Συμεών*.

*) Ἡ ἐπιστολὴ αὕτη εὑρίσκεται μεταξὺ γραμμάτων συντεταγμένων ἀπὸ 19 Δεκεμβρίου 1597 μέχρι 11 Ἰανουαρίου 1598.



www.dacoromanica.ro

18.

*Μελέτιος ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας καὶ κριτὴς τῆς οἰκουμένης, ἐπιτηρητὴς τοῦ Οἰκουμενικοῦ Θρόνου Κωνσταντινουπόλεως.*

† Τῷ λαμπροτάτῳ ἄρχοντι καὶ μέγα καγγελλαρίῳ Ἰωάννῃ Ζαμοσκήνῳ σὺν τοῖς μεγαλοπρεπεστάτοις ἄρχουσι τῆς ὑπερφυοῦς συγκλήτου τῆς ὑψηλοτάτης κορώνας Πολωνίας, υἱοῖς ἐν Κυρίῳ περιποθήτοις χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ποιμαίνειν ἐτάχθημεν παρὰ τοῦ σωτῆρος ἡμῶν Θεοῦ οἱ ἁμαρτωλοὶ ἡμεῖς, καὶ δὴ καὶ ποιμαίνομεν τὰ τοῦ Χριστοῦ πρόβατα κατὰ τὴν παρ᾽ αὐτοῦ τοῦ Σωτῆρος χορηγηθεῖσαν ἡμῖν καὶ ἰσχὺν καὶ σύνεσιν εἰς σωτηρίαν κοινὴν τῶν ψυχῶν ἡμῶν, εἰς εὐστάθειαν τῶν Ἐκκλησιῶν, εἰς εἰρήνην τοῦ σύμπαντος κόσμου. Διὸ καὶ πρὸς ὑμᾶς ἐπιστέλλομεν, ἐκλαμπρότατοι ἄρχοντες καὶ πᾶσα ἡ ὑπερφυὴς σύγκλητος, καθὰ δὴ καὶ πρὸς τὸν γαληνότατον βασιλέα. ὦ τέκνα τῆς ἡμῶν μετριότητος ἐν Χριστῷ Ἰησοῦ περιπόθητα, οἱ τὴν τρισόλβιον κατακοσμοῦντες ἀρχὴν τῆς εὐδαιμονεστάτης Πολωνίας δικαιοσύνῃ τε καὶ τῇ ἄλλῃ ἀρετῇ. Τῶν δὲ ἡμετέρων γραμμάτων ἡ ταραχὴ καὶ στάσις ἡ κατὰ τὴν ὑμετέραν ἀρχὴν πρὸ πολλοῦ μὲν ἠργμένη, νῦν δ᾽ εἰς ὕψος ἠρμένη γέγονεν ὑπόθεσις· ἐξ οὗ γὰρ ἐξεδόθη τὸ Καλανδάριον τὸ Γρηγοριανὸν ἄλλο οἷον μῆλον ἔριδος τὴν οἰκουμένην ἐτάραξε καὶ χειμών τις αἰφνίδιος κατέλαβε τὴν ὑπ᾽ οὐρανόν· φθάσαν καὶ εἰς Σαυρομάτας τὸ κακὸν τὴν τῆς ὑψηλοτάτης κορώνας ἀρχὴν οὐ μετρίως παρενώχλησε καὶ παρενοχλεῖ. Τῆς γὰρ Ἀνατολικῆς Ἐκκλησίας τοὺς μαθητάς, τοὺς Γραικούς φημι τοὺς ὑπὸ τὸ ὑμέτερον διαιτωμένους κράτος, παρ᾽ οἷς αἱ τῶν πατέρων Ἀνατολικῶν τε καὶ Δυτικῶν παραδόσεις καὶ δόγματα οὕτω κρατεῖται ὁλοψύχως, ὥστε μηδένα νεωτερισμόν, οὐδεμίαν καινοτομίαν ὅλως ἀνέχεσθαι τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ παρ᾽ οὑτινοσοῦν εἰσαχθῆναι· λύμη γὰρ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ νεωτερισμοὶ καὶ καινοτομίαι τυγχάνουσιν οὖσαι· δικαίως καὶ τοῖς πατράσιν ἐπ᾽ ἀναθέματι συνοδικῶς ἀπαγορεύεται καὶ τοῖς ἡμετέροις εὐσεβῶς μάλα ἀποδιοπομποῦνται. Τούτους ἐκβιάζοντές τινες τῶν πατρῴων ἐκστῆναι δογμάτων τε καὶ παραδόσεων τὴν ὑμετέραν χειμάζουσιν ἀρχήν· τοῦτο γάρ ἐστιν ὅπερ διώκουσιν οἱ τῆς πρεσβυτέρας Ῥώμης, τοῦτό ἐστι δι᾽ ὃ καὶ τὴν ὑμετέραν ἀρχὴν ἐκκινοῦσι κατὰ τῶν ἡμετέρων, ἀνατρέψαι τὰ τῆς ἐλευθερίας τῶν ὑπηκόων φιλοτιμούμενοι παρὰ θεσμὸν εὐαγγελικόν, ὃς ἑκουσίως οὐκ ἀκουσίως βούλεται κηρύττεσθαι, καὶ παρὰ θεσμὸν τῆς ὑμετέρας βασιλείας, ἥτις ὅρκῳ πιστοῦται φυλάττειν τὰ τῶν ὑπηκόων προνόμια. Τρισσῶς οὖν ἡμᾶς (λέγω γὰρ ἡμᾶς τοὺς ἡμετέρους ἀδελφούς, τοὺς ὑπὸ τὸ κράτος τῆς ὑμῶν βασιλείας διάγοντας), τρισσῶς οὖν ἡμᾶς ἀδικοῦσιν οἱ καθ᾽ ἡμῶν τὴν ὑμετέραν ἐκκινοῦντες εὐστάθειαν· τὸ μέν, ὅτι διδασκαλίας ἀπάγειν εὐαγγελικῆς ἀγωνίζονται, μὴ προσιεμένης τὸ βίαιον· τὸ δέ, ὅτι πατρικῆς νομοθεσίας καὶ ὅρων πατρῴων φιλονεικοῦσιν ἀποσπάσασθαι, κολαζόντων τὴν ἀποστασίαν ἀναθέματι· τρίτον, ὅτι καὶ προνομίων τὴν καθαίρεσιν οἰκοδομοῦσι παρ᾽ ὑμῖν καὶ τῷ γαληνοτάτῳ βασιλεῖ τὰ προνόμια τῶν ὑπηκόων ἀπαρασάλευτα φυλάττειν μεθ᾽ ὅρκων ὑπισχνουμένοις. Περὶ τούτου οὖν ὑμῶν τὴν λαμπρότητα διὰ γραμμάτων ἠξιώσαμεν, ὥστε μὴ ἀποτυχεῖν ἡμᾶς ἢ φιλανθρωπίας παρὰ ἀρχουσιν ἐπιεικείας ἀντεχομένοις, ἢ δικαιοσύνης πρὸς κριτῶν δικαιοτάτων· ἐπιστέλλομεν δὲ λατινιστί· χάριτι γὰρ Θεοῦ τὰ τῆς γλώττης ἐπιστάμεθα τῆς λατινικῆς· ἀλλὰ καὶ τοὺς ἡμετέρους λόγους καὶ τὴν καθ᾽ ἡμᾶς ἀξίωσιν βουλόμεθα χωρὶς ἑρμηνέως, αὐτηκόους δ᾽ ὑμᾶς καὶ δεχομένους καὶ ἀκούοντας μὴ ἄπρακτον ἐκπέμπειν, πραῦναι δὲ μᾶλλον τὰς καθ᾽ ἡμῶν ἐπηρείας, ἐᾶσαί τε τοῖς κόλποις ἡμᾶς τοῖς τῶν πατέρων ἐφησυχάζειν, ἡμᾶς τοὺς παντοδαπὰς ὑφισταμένους ταλαιπωρίας τῆς τοῦ σωτῆρος Χριστοῦ ὀρθοδόξου πίστεως ἕνεκεν· πατέρες γὰρ ἡμῖν καὶ τὰ δόγματα ἃ πιστεύομεν καὶ τὰς παραδόσεις ἃς κατέχομεν ἐδογμάτισάν τε καὶ παρέδωκαν ἐν ἑπτὰ οἰκουμενικαῖς συνόδοις, ἐξ Ἑῴας τε καὶ Δυσμῶν διαπρέψαντες· ὧν ταῖς εὐπροσδέκτοις ἐντεύξεσι Χριστὸς ὁ Θεὸς φυλάττειεν ὑμῶν τρισόλβιον καὶ πάντοτε θριαμβεύουσαν τὴν ἀρχὴν ἀεὶ βασιλεύουσαν. ,Ζρς´ (= 1598).

www.dacoromanica.ro

19.

*Γεδεὼν ἐπισκόπῳ Λεοντοπόλεως.*

† Πρὸς τὰ γράμματα καὶ αἰτήσεις τῆς σῆς θεοφιλίας, ἅπερ ὁ κῦρ Συμεὼν ὁ ὑμέτερος καὶ ἡμέτερος υἱὸς ἧκε φέρων παρ' ὑμῶν, ἀπεκρίθημεν κατὰ πλάτος, καίπερ πολλάκις καὶ μετὰ τοῦ ἀρχιδιακόνου Κυπριανοῦ καὶ πρότερον καὶ μετέπειτα γεγραφότες ἐς κόρον περὶ τῶν αὐτόθι ἀμφισβητήσεων. Ἔχετε οὖν τὰ γράμματα· μεταγλωττίσατε εἰς τὴν ὑμετέραν Ῥωσαϊκὴν διάλεκτον, ὁμοῦ τε σὺν τοῖς ἑλληνικοῖς ἐκτυπώσατε πάντα ὁμοῦ τὰ γράμματα, ὥστε διὰ γοῦν τῶν γραμμάτων ἡ τοῦ Χριστοῦ Ἐκκλησία παράκλησιν ἔχῃ τὴν ὑμῖν γε δυνατήν· παραγενέσθαι γὰρ ἡμᾶς, καθὼς καὶ ἡμεῖς ἐπιθυμοῦμεν, ἔστιν ἀδύνατον, τό γε νῦν ἔχον· ἀποστεῖλαι δέ τινας ἀρχιερεῖς ἐξάρχους, ἱκανοὺς πρὸς τὴν ἀνάγκην, τῆς καθ' ἡμᾶς ζάλης <ἕνεκεν> οὐκ εὐποροῦμεν. Καὶ τούτου πέρι λόγον δώσουσι τῷ Θεῷ οἱ πλούτη κεκτημένοι πολλά, ἔπειτα μὴ βοηθοῦντες τῇ Ἐκκλησίᾳ τῇ Ἀνατολικῇ ἐν τῇ δεινῇ αἰχμαλωσίᾳ, ὥστε δύνασθαι καὶ τὰς ἀνάγκας τῶν ἀσεβῶν ἐκκρούειν ἐκ μέρους καὶ τρέφειν ψυχὰς ἐν καιρῷ βοηθείας οὔσας σοφίᾳ καὶ συνέσει καὶ γραμμάτων ἱερῶν πείρᾳ καὶ πάσῃ ἄλλῃ παιδείᾳ ταῖς ὑπηρεσίαις τῆς Ἐκκλησίας· πόνους γὰρ καὶ κινδύνους φέρειν ἡμεῖς σὺν Θεῷ δυνάμεθα, καὶ δὴ καὶ φέρομεν σὺν Θεῷ· δαπάνης δὲ πόρος παρ' ἡμῖν οὐδείς, τῶν λαῶν καταγωνισθέντων παρὰ τῶν ἐξουσιαστῶν καὶ μὴ δυναμένων ἑαυτοῖς καὶ τοῖς τέκνοις αὐτῶν εἰς τὰ ἀναγκαιότατα ἐπαρκέσαι. Τούτων δὲ πάντων μελήσεται Θεῷ· ὑμεῖς δὲ εἰρηνεύοιτε, τῶν πατρικῶν δογμάτων καὶ παραδόσεων μὴ ἀφιστάμενοι τὸ σύνολον, εἰδότες ὅτι καὶ πολλαὶ σύνοδοι, καὶ οἰκουμενικαὶ καὶ τῷ ἱερῷ κοσμούμεναι ἀριθμῷ τῶν ἑπτὰ (καὶ τοῦτο γὰρ οὐκ ἀθεεί) καὶ πολλῶν ἐτῶν περιόδοις κεκυρωμέναι, τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ δόγματα παρέδωκαν καὶ παραδόσεις κατέχετε πατρικὰς Ἀνατολικῶν καὶ Δυτικῶν πατέρων· ὧν ἐξ οὗπερ ἠβουλήθη ἐξίστασθαι ἡ τῆς πρεσβυτέρας Ῥώμης Ἐκκλησία διεῖλέ τε τὴν οἰκουμένην καὶ μέχρι σήμερον ταράττει σὺν πολλῷ τῷ σάλῳ καὶ ψυχῶν ἀπωλείᾳ πάνυ πολλῶν. Ὁ Κύριος μεθ' ὑμῶν.

Κ̄Ϛ̄ Αὐγούστου, ἐν Κωνσταντινουπόλει ,ζρε' (=1597).

20.

*Ῥαδούλφῳ αὐτοκράτορι.*

† Ἀξιώσεις πρὸς σὲ συγγράψαντες λατινιστὶ πεπόμφαμεν, καῖσαρ ἀήττητε, δέσποτα καὶ υἱὲ ἐν Κυρίῳ περιπόθητε· καὶ παρακαλοῦμεν τὴν σὴν φιλανθρωπίαν ἀναγνῶναί τε εὐμενῶς καὶ νεῦσαι φιλανθρώπως καὶ φιλευσπλάγχνως ταῖς τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀξιώσεσιν. Οἶδας Ἐκκλησίαν οὖσαν τεθεμελιωμένην τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου Χριστοῦ, νεωτερισμοὺς ἅπαντας ἀποστρεφομένην καὶ τοῦτο μόνον παρέχουσαν καθ' ἑαυτῆς τοῖς ἐθέλουσιν ἀφορμήν, ὅτι τῶν πατρῴων οὐκ ἐξίσταται ὅρων, πρᾶγμα πράττουσαν πάσης ἀποδοχῆς ἄξιον. Εἴθε καὶ ἡ πρεσβυτέρα Ῥώμη τοῦτο διετέλει μέχρι τέλους πράττουσα· τὴν οἰκουμένην ἂν εἶδες γαληνιῶσαν, ἣν οἱ νεωτερισμοὶ καὶ καινοτομίαι πυρπολοῦσιν. Ἀλλ' ἕκαστος ἣν ἂν βούληται πορευέσθω· ἡμεῖς τοῖς πατράσιν ἑπόμεθα, Ἀνατολικοῖς τε καὶ Δυτικοῖς· διὰ ἑπτὰ οἰκουμενικῶν συνόδων (τὰς γὰρ τοπικὰς σιωπῶ) παρειλήφαμεν ἃ κρατοῦμεν, καὶ τούτοις ἀρκούμεθα. Παρενοχλοῦμεν ἴσως σου τὰς ὑπερφυεῖς ἀκοὰς ἐν οὗ καιρῷ· ἀσχολουμένην γὰρ γινώσκομεν περὶ πολέμους, ὧν ἐλπίζομεν καὶ ἀκοιμήτως παρακαλοῦμεν τὸν φιλάνθρωπον δεσπότην εἰς βαθεῖαν καὶ ψυχωφελῆ καὶ εὐκλεῆ μεταμεῖψαι ὅσον τάχος εἰρήνην. Ἀλλὰ καὶ εἰς τοῦτο ἡμεῖς (Θεὸς οἶδεν) οὐκ ἀμογητὶ κοπιῶμεν· τὴν γὰρ ἡμετέραν πρὸς τὴν ὑμετέραν δόξαν εὐμενεστάτην καὶ πατρικὴν διάθεσιν ἴσασι καὶ τῶν ὑμετέρων οὐκ ὀλίγοι, καὶ σου ἡ φιλανθρωπία μαθήσεται λαμπρότερον, ἐπὰν συναιρομένου τοῦ Θεοῦ ἐς πέρας ἔλθωσιν αἱ ἡμέτεραι ἐφέσεις, δεήσεις, κόποι, φροντίδες καὶ συμβουλαὶ πρὸς τοὺς κρατοῦντας ὑπὲρ τῆς εἰρήνης τοῦ κόσμου· ὑπὲρ ἧς καί σου τὴν φιλανθρωπίαν παρακαλοῦμεν, γινώσκουσαν πολλῷ τὴν εἰρήνην εἶναι τῶν πολεμικῶν ταλαιπωριῶν κρείττονα καὶ θυμηρεστέραν· ἣν κύριος ὁ Θεὸς βραβεύσειε τῇ οἰκουμένῃ, σοῦ, καῖσαρ, συναγωνιζομένου τῇ θείᾳ χάριτι. Ὁ Κύριος σοῦ τὸ κράτος διαφυλάττειεν ἀήττητον καὶ τροπαιοῦχον. Ἀμήν.

www.dacoromanica.ro

www.dacoromanica.ro

ΙΘ΄.

ΑΘΑΝΑΣΙΟΥ ΠΑΤΕΛΛΑΡΟΥ

# ΣΤΙΧΟΙ ΗΡΩΕΛΕΓΕΙΟΙ

ΒΑΣΙΛΕΙῼ ΒΟΕΒΟΔᾼ ΜΟΛΔΟΒΛΑΧΙΑΣ.

1643.

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΑΘΑΝΑΣΙΟΥ ΠΑΤΕΛΛΑΡΟΥ

## ΣΤΙΧΟΙ ΗΡΩΕΛΕΓΕΙΟΙ ΒΑΣΙΛΕΙῼ ΒΟΪΒΟΔᾼ ΜΟΛΔΟΒΛΑΧΙΑΣ.

### ΕΠΙΓΡΑΜΜΑ

*τοῦ σοφωτάτου ἐν διδασκάλοις κυρίου Γαβριὴλ τοῦ Βλασίου, τοῦ Κερκυραίου.*

Ὄλβιον Αἰακίδην κλεινὸς πάις ηὔδα Φιλίππου,
δῖον Ὅμηρον ἐπεὶ λάχ' ἑὸν ὑμνοπόλον·
τοῦ δ' ἀποτεύξας ἄθλιος ἔμμεναι ᾤετο κεῖνος·
τὺ δέ, κύδιστε, πέλεις, ὄρχαμε, κοδαλίμου
Δακίας ὀλβιότητος ὑπέρτερος, ἔξοχα πάντων
ἄρτι κορήσας ἄδην ἀρχιθότου ζαθέου.

---

*Τῷ εὐλαβεστάτῳ, ἐκλαμπροτάτῳ τε καὶ μεγαλοπρεπεστάτῳ δουκὶ καὶ αὐθέντῃ πάσης Μολδοβλαχίας, κυρίῳ κυρίῳ Ἰωάννῃ Βασιλείῳ βοϊβόνδα, Ἀθανάσιος ὁ πρώην οἰκουμενικὸς πατριάρχης χάριν, εἰρήνην καὶ ἔλεος ἀπὸ τοῦ τῶν ὅλων Θεοῦ, παρὰ δὲ τῆς ἡμῶν μετριότητος εὐχή, εὐλογία καὶ συγχώρησις εἴη τῶν πλημμελημάτων.*

Μεγαλοπρεπέστατον καὶ γενναιότατον ἥρωα γνωρίζοντας τὴν εὐσεβεστάτην σου καὶ θεσπεσίαν κεφαλήν, ἐκλαμπρότατε καὶ γαληνότατε δοὺξ καὶ αὐθέντα, καθὼς καὶ ἡ κοινὴ καὶ ἀψευδεστάτη φήμη εἰς ὅλην τὴν ὑφήλιον δικαίως σε κηρύττει, ἐνόμισα διὰ δίκαιον δῶρον καὶ ἄξιον τοῦ χριστομιμήτου σου φρονήματος ὄχι χαμερπὲς καὶ ὠκύμορον, εἰς τὸ ὁποῖον οἱ μικροπρεπεῖς χαίρονται καὶ οἱ φιλάργυροι δοξάζονται, ἀλλ' ἐκεῖνο ὁποῦ οἱ μεγαλόψυχοι μεγαλύνονται καὶ οἱ ἡμίθεοι εὐφραίνονται, ὁποῦ εἶναι τὸ ἐξαίρετον ἔργον τῆς σοφίας καὶ μάλιστα τῆς ποιητικῆς, ὁποῦ δίδει τέρψιν καὶ ἡδονὴν τοῖς φιλοκάλοις. Δέξαι λοιπὸν εὐμενῶς, χαριέστατε αὐθέντα, τοὺς ἡρωελεγείους τούτους στίχους, ἁρμοδίους εἰς τὴν ἡρωϊκήν σου μεγαλειότητα· ὁποῦ δὲν περιέχουσι κολακείας μυθολογήματα, ἀλλ' ἀληθείας προτερήματα καὶ ὅσας τῆς πλουσιοδώρου σου χειρὸς εὐποιίας κατειπεῖν ἐδυνήθημεν. Καὶ εἰ μὲν τὸ δῶρον πτωχὸν νομίζεται, ἀλλ' ἀπὸ εὐλαβητικὴν καὶ πλουσίαν διάθεσιν καμωμένον λογίζεται· ἡ δὲ ὀξυτάτη σου ἀγχίνοια τοιοῦτον θέλει τὸ συλλογίζεται, ὡς καὶ ὁ Κύριος τὰ δύο τῆς χήρας λεπτὰ καὶ αὐτὸς ὁ Ξέρξης τὸ ἐν τῇ παλάμῃ προσφερόμενον ὕδωρ τοῦ Συνέτου πένητος ὡς πολυτάλαντον πλοῦτον ἐδέξατο. Ὁ δὲ πανοικτίρμων Κύριος νὰ τὴν διαφυλάττῃ ἀνωτέραν παντὸς ἀνιαροῦ καὶ ἀπευκταίου σὺν τῇ εὐσεβεστάτῃ κυρίᾳ δόμνᾳ καὶ ἐκλαμπροτάτοις υἱοῖς αὐτῆς, Στεφάνῳ καὶ Ἰὼν βοϊβόνδᾳ, σὺν παντὶ τῷ παλατίῳ καὶ στρατοπέδῳ ἐν πολυαρίθμοις τοῦ ἡλίου κύκλοις. Ἀμήν.

Ἐν Γιασίῳ ,α, χ, μ, γ'. Μαρτίῳ ιε'. Ἔτος σωτήριον

---

www.dacoromanica.ro

*Εἰς τὸν εὐσεβέστατον, μεγαλοπρεπέστατον καὶ ἐκλαμπρότατον δοῦκα καὶ αὐθέντην πάσης Μολδοβλαχίας, κύριον κύριον Βασίλειον βοϊβόνδα, Ἀθανασίου τοῦ πρώην οἰκουμενικοῦ πατριάρχου.*

Ποῦ ποτε δῖος Ὅμηρος, ἀρήιος Ἡσίοδός τε,
ἤ τις μουσοπόλων ἡδυτάτοις ἐπέων;
ποῦ δὲ καὶ ἡδύλαλοι Σειρῆναι νῦν κελαδῆσαι,
ἢ Μῶσαι λιγυραὶ θελγόμεναι χθονίους
ἄνθεσιν ὀσμητάτοις Βασίλειον ἄριστον ἀπ' ἄλλων,
Μολδοβίης τὸ κράτος, στεψέμεναι κροτάφοις,
ᾄσμασιν ἢ γλυκεροῖς προτερήματα τοῦδε μελίσδειν,
τέρμασιν δὲ προχέειν κόσμου ἀπειροτάτου;
Αἰνέσαι οὐ γὰρ ἔχουσιν ἐρεισμένα τείχεα Τροίης,
ἢ Ἑλένης γλαφυρῆς εἶδος ἀριπρεπέον,
Ἕκτορά τ' ἢ Μενέλαον, ἀρήιον ἢ Ἀχιλλῆα,
Τυδέα, Δηίφοβον, τὸν Πάριν ἢ Πρίαμον,
Εὐρύπυλον, Σθένελον, Πύρον καὶ σθεναρὸν Διομήδην,
Πουλυδάμαντα, Θόαντ' ἠὲ Λαερτιάδην,
οὐδὲ γεωργωσύνης πολυείδεα ὄργανα τέχνης,
ἢ καιροὺς σπορέως, ἢ καὶ ἀμητοῦ ἄκρον,
ἀλλ' ἥρωος ἀλίγκιον ἔξοχον ἡμίθεόν τε,
ἀντιπάλοις στιβαρόν, μειλίχιον δ' ἑτάροις·
οὗ ἀρεταὶ χαρίεσσαι ἀκήρατον οὔνομα θῆκαν
κἄφθιτον ὄσσαν ἔχει οὔασι γηγενέων·
καὶ ἀίοντες ἅπαντες ἐπῆλθεν ἕκαστος ἀλίτης
εὔδιον ἐς λιμένα, σπευδόμενοι δρομέως·
οἷα μέλισσαι ἄρισται ἐχέφρονες, ἠῦτε θυέλλη
ἢ ζοφερὴ ὀμίχλη πᾶσι φόβον παρέχει,
ᾧ κατεπασσύτεραι τανυσίπτεραι ἄμμιγα σίμβλα
ἐμβαίνουσι τροφῆς δεύμεναι γλυκερῆς,
τῶς ἀπὸ χειμερινῆς ὀμοκλῆς πολυώδυνοι ἧκον
ἐς γλυκερὸν σὸν ἕδος καὶ σκεδάσαι τὸ δέος.
Ὡς δὲ βροτοὶ μὲν ἅπαντες ὕφαρ Σολομῶντος ἀκοῦσαι
καὶ κλέος εἰσοράειν ἔστιχον ἀλλαχόθεν

*Οἱ ἡρωελεγεῖοι στίχοι ἀντικρὺ γεγραμμένοι κατὰ λέξιν μεταγλωττισμένοι εἰς εὐκολωτέραν κατανόησιν εἰς ἐκείνους ὁποῦ τοὺς ἀναγινώσκουν.*

Ποῦ νὰ εἶναι τάχα ὁ εὐγενικὸς καὶ θεῖος Ὅμηρος, ἢ ὁ καλώτατος
Ἡσίοδος, ἢ ἄλλος τις μουσικὸς μὲ τοὺς γλυκυτάτους του στίχους;
καὶ ποῦ νὰ εἶναι αἱ γλυκόλαλοι Σειρῆναι τώρα νὰ κελαδήσουν;
ἢ ποῦ εἶναι αἱ εὔλαλαι Μοῦσαι, ὁποῦ μὲ τὴν τέρψιν σύρνουσι τοὺς ἀνθρώπους πρὸς αὐτάς,
διὰ νὰ στεφανώσουσι τὸν Βασίλειον, τὸν καλλιώτερον ἀπ' ὅλους εἰς τὸ κεφάλι
μὲ ἄνθη μυρωδᾶτα, ὁποῦ εἶναι τὸ κράτος καὶ ἡ δόξα τῆς Μολδοβίας,
ἢ μὲ ψάλματα ἁρμονίας νὰ μελῳδήσουσι τὰ μεγαλεῖά του καὶ νὰ τὰ
κηρύξουσιν εἰς τὰ ἄκρα τοῦ μεγάλου καὶ ἀπείρου κόσμου;
Διότι δὲν ἔχουσι τώρα νὰ ἐπαινέσουσι τὰ στερεωμένα τείχη τῆς Τροίας,
ἢ τῆς πλουμισμένης Ἑλένης τὸ εὐμορφότατον εἶδος,
ἢ τὸν Ἕκτορα, ἢ τὸν Μενέλαον, ἢ τὸν ἀξιώτατον Ἀχιλλέα,
τὸν Τυδέα ἢ τὸν Δηίφοβον, τὸν Πάριν ἢ τὸν Πρίαμον,
τὸν Εὐρύπυλον, τὸν Σθένελον, τὸν Πύρον καὶ τὸν δυνατὸν Διομήδην,
τὸν Πολυδάμαντα, τὸν Θόαντα, υἱὸν τοῦ Λαέρτου τὸν Ὀδυσσέα·
οὔτε ἔχουσι νὰ ἐπαινέσουσι τῆς γεωργικῆς τέχνης τὰ πολύλογα ὄργανα,
ἢ τοὺς καιροὺς τοῦ σπέρματος, ἢ νὰ γνωρίσουν ποτὲ νὰ θερίσουν·
ἀλλ' ἔχουσι νὰ ἐπαινέσουν ἕνα ὅμοιον ἑνὸς ἥρωος, ἢ ἕνα ἐξαίρετον ἡμίθεον,
ὁποῦ εἶναι εἰς τοὺς ἐχθροὺς του φοβερὸς καὶ γλυκὺς εἰς τοὺς φίλους,
τοῦ ὁποίου αἱ χαριτωμέναι ἀρεταὶ τὸν ἔδωκαν ἕνα ἀθάνατον ὄνομα
καὶ ἔχει μίαν φήμην ἀχάλαστην εἰς τὰς ἀκοὰς τῶν ἀνθρώπων·
καὶ ἀκούοντες ὅλοι τὴν φήμην ἦλθασιν ἀπὸ τόπον εἰς τόπον,
σπουδάζοντες μὲ πολὺν κόπον νὰ φθάσουσιν εἰς τὸν εὔδιον λιμένα.
Ὡσὰν αἱ καλλίσταται καὶ φρόνιμαι μέλισσαι, ὅταν ἡ καταχνιὰ
ἢ σκοτεινὴ ὀμίχλη τὲς πλακώσῃ καὶ τῶς δίδῃ μεγάλον φόβον
καὶ παρευθὺς ὅλαι περιμαζωμέναι ἀντάμα ξαπλώνουσαι τὰς πτέρυγάς τως
σεβαίνουσιν εἰς τὸ κοφίνι, ὁποῦ χρειάζονται νὰ φάγουν τὴν γλυκέαν τροφήν,
οὕτως ἀπὸ τὴν χειμερινὴν ταραχὴν τῶν δυστυχιῶν ἦλθασι πικραμέναι
εἰς τὸ ἐδικόν σου γλυκὺ φαγὶ καὶ νὰ ἀποδιώξουσι τὸν φόβον τως.
Καὶ καθὼς ὅλοι οἱ ἄνθρωποι παρευθὺς ἦλθασι ἀπὸ παντοῦ νἀκούσουσι
τὴν σοφίαν τοῦ Σολομῶντος καὶ νὰ ἴδουσι τὴν μεγάλην του δόξαν

www.dacoromanica.ro

καὶ βασίλισσα Νότου πολυποίκιλα δῶρα προσῆξε
θαύμασέ τ' ὀξὺ νοός, κοιρανίης τε κλέος,
τῇδε λίθοιο δίκην μαγνήτου ταχυνῶς μὲν ἐφέλκεις
8. Ἡ φυλακὴ τοῦ ἀξιώματος ἀναγκαία. Ἡ ὑποταγή, καθὼς ἐκ μέρους σου εἰς τὴν βασιλείαν καὶ εἰς τὰς πατρικὰς νουθεσίας καὶ πρὸ πάντων καὶ ἐπὶ πᾶσιν εἰς τὰς ἐντολὰς τοῦ μεγάλου Θεοῦ, οὕτως εἶναι ἀναγκαία καὶ ἐκ μέρους τοῦ ὑπηκόου πρὸς τὸν ἡγεμόνα. Χωρὶς τὴν ὑποταγὴν ὅλα εἶναι νεκρά· ὅμως πρέπει νὰ προστάζῃς τὰ κατὰ δύναμιν, διὰ νὰ σὲ ὑποτάσσωνται.

9. Νὰ μὴν ὑπόσχεσαι· ἀγκαλά, ἀφοῦ ὑποσχεθῇς, νὰ μὴ παραβαίνῃς τὴν ὑπόσχεσιν· νὰ μὴν ἀθετήσῃς τὸν λόγον σου ὁποῦ ἔδωκες, κατ' οὐδένα τρόπον, ἂν καὶ χωρὶς ὅρκον ὑποσχέθης.

10. Νὰ μὴ δανείζεσαι ἀστόχαστα, μήτε μὲ ὑπέρογκα διάφορα· καὶ ὅταν ἐξ ἀνάγκης δανεισθῇς, κἂν τε ἀπὸ χριστιανούς, κἂν τε ἀπὸ ἄλλας φυλάς, νὰ ἔχῃς ἀπόφασιν νὰ τὰ ξεπληρώσῃς· ἀλλέως, ἂν διακρατῇς ξένου δίκαιον, ἁμαρτάνεις θανάσιμα, καὶ ἂν μετανοήσῃς, δὲν ἔχεις συγχώρησιν, ἂν δὲν ἀποδώσῃς τὸ ξένον δίκαιον· πρόσεχε, πρόσεχε.

11. Μὴν εἶσαι σκορπαλέος, ἀλλὰ φειδωλός· μὴ πλεονέκτης, ἀλλὰ οἰκονομικός. Κατὰ τὸ πάπλωμά σου ἅπλωνε τὰ ποδάρια σου.

12. Ἡ μάταιαις μεγαλοπρέπειαις, τὰ πολλὰ ροῦχα, τὰ πολλὰ στολίδια, τὰ πολλὰ ἄλογα, τὰ οἰκοδομήματα νὰ λείπουν. Τὰ ἄμετρα χαρίσματα, κἂν τε εἰς ξένους, κἂν τε εἰς οἰκείους, προξενοῦν κακὸν ὄνομα· εἶναι εἰς τοὺς ἐντοπίους ἀφόρητα· φέρνουν ὅλον τὸ ὑπήκοον εἰς ἀδημονίαν. Ἂν ἔσφαλεν ὁ πατέρας σου εἰς τοῦτο τὸ μέρος, ἂς εἶναι εἰς ἐσένα τὰ παθήματά του μαθήματα.

13. Πρόσεχε, λεῖπε ἀπὸ οἰκοδομάς· ἐν ὅσῳ εἶσαι αὐθέντης, ἔχεις παλάτια· ὅταν εἶσαι εἰς τὴν Πόλιν, ἀρκεῖ ἡ προγονικὴ ἑστία. Ἂν μὲ δανεικὰ οἰκοδομήσῃς, πολλὰ κακοπαθεῖς, καὶ ψυχικὰ καὶ σωματικά· πρόσεχε.

14. Νὰ λείπῃς ἀπὸ νεωτερισμούς· νὰ βαδίζῃς τὴν πεπατημένην ὁδόν· νὰ μὴ χαλάσῃς τὸ ὄνομά σου μὲ δόλιαις συμβουλαῖς, μὲ νέα δοσίματα, μὲ νέας συνήθειαις, ὅτι κερδαίνεις κακὸν ὄνομα· ὃ μὴ γένοιτο.

www.dacoromanica.ro

15. Ἔχε κρυπτὰς προσευχάς· συχνὰ μυστικὰ ἐπικαλοῦ τὴν θείαν βοήθειαν. Ἀγρύπνει, μερίμνα· τῷ μεριμνῶντι ἔνεστι περισσόν. Ἐρώτα, συμβουλεύου, μάνθανε· ἔχε μὲ ἀδιάκοπον ἔρευναν εἴδησιν καὶ κατάληψιν πραγμάτων, προσώπων, μεγιστάνων, φίλων, ἐχθρῶν, ἀδιαφόρων. Ἤξευρε καὶ τὰ προτερήματα καὶ τὰ ἐλαττώματα ἐκείνων, μὲ τοὺς ὁποίους ἔχεις νὰ κυβερνηθῇς, μάλιστα τῶν αὐθέντων, τῶν μεγιστάνων, τῶν ἐντοπίων ἀρχόντων, τῶν γειτόνων. Ἤξευρε τὰς ἱστορίας, ἤξευρε τὰς παρούσας ὑποθέσεις, μάλιστα μὲ ὅλα τους τὰ περιστατικά. Στοχάζου τὰ μέλλοντα· ἀπὸ πρακτικοὺς ἐρεύνα νὰ μάθῃς ἐκεῖνα ὁποῦ ἴδαν καὶ ἔπραξαν καὶ ἠξεύρουν. Οἱ σύμβουλοί σου πρόσεχε νὰ μὴν εἶναι πλεονέκται, ἀπατεῶνες, κόλακες, ἄπρακτοι, ἀμαθεῖς φιλέκδικοι, ἀθυρόστομοι, ὑπερήφανοι, ψεῦσται.

16. Τὰ ἐλαττώματα τῶν ἐντοπίων ἀρχόντων ἤξευρέ τα, φυλάγου τα· ὅμως παράβλεπέ τα διὰ τὸ εἰρηνικόν· τῶν δὲ οἰκείων σου μὴν τὰ ὑποφέρῃς. Μὴ δώσῃς ἑτέρῳ τὴν δόξαν σου, μὴ τοὺς δίδῃς πρόσωπον, νὰ μὴ καταφρονήσουν τὴν νεότητά σου· ὅρκιζέ τους εἰς τὸν Θεὸν νὰ εἶναι φιλαλήθεις, ἐπιμεληταὶ τῶν δεόντων, φίλοι τοῦ δικαίου ἄγρυπνοι, ἀδωροδόκητοι, ταπεινοί, ὀλιγαρκεῖς. Ἔχε κατάσκοπον φιλαλήθη ἀπάνω τους καὶ χαλίνωνέ τους, ὅτι πολλοὶ ἡγεμόνες ἀφανίσθηκαν ἀπὸ ταῖς ἀταξίαις τῶν οἰκείων τους. Σέβεται ἡ γῆ, ὅταν οἰκέτης βασιλεύσῃ· «οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω»[1]. Τῶν ἄλλων τὰ παθήματα ἂς εἶναι μαθήματα. Τὰ μυστήρια τῆς αὐθεντίας εἶναι ἢ δύο ἢ τρεῖς νὰ τὰ ἠξεύρουν, οἱ ἀδιστάκτως πιστότατοι, καὶ ὄχι ὅλα· τὰ ἀναγκαιότατα μόνος σου καὶ μόνος σου γράφε.

17. Νὰ ἠξεύρῃς τὰ καδηλίκια, τὴν δύναμίν τους εἰς κάθε καιρόν, μὲ ποῖα μέρη συνορίζονται καὶ ποῖοι ἄρχοντες καὶ μαζήλιδες κατοικοῦν εἰς κάθε καδηλίκι· τὰ πρὸς τὴν βασιλείαν τῆς ὑποταγῆς καθήκοντα, τὰ πρὸς τὸν χάνην δέοντα, τὴν κυβέρνησιν πρὸς τοὺς πέριξ πασάδες καὶ καδῆδες, τὰ πρὸς τοὺς Λέχους, τὰ πρὸς τοὺς Γερμανούς. Δευτέρι καθαρὸν τῶν εἰσοδημάτων· φεργιάδι καὶ ἐλεεινολογία διὰ τὴν ἀδυναμίαν τοῦ τόπου· μεγαλοψυχία, ὅταν δὲν τρέχουν τὰ πράγματα κατὰ τὴν θέλησίν σου. Διβάνια συχνά, τραπέζια ὀλίγα, περιδιάβασες ὀλίγαις. Μὴ σπατάλαις, μὴ μέθαις. Κυνήγια ὀλίγα, ὄχι εἰς μακρυνοὺς τόπους. Περιδιάβασες νὰ εἶναι ἡ δουλειαῖς, ἡ τελείωσις τῶν βασιλικῶν προσταγμάτων, ἡ ἔρευνα τῶν εἰσοδημάτων καὶ ἐξόδων, ἡ μετὰ φρονήσεως κοινολογία τῶν προκειμένων ὑποθέσεων ἀναγκαίων μετὰ τῶν ἐντοπίων καὶ οἰκείων ἀρχόντων, ἡ ἀνάγνωσις τῶν ῥαβασιῶν, ἡ ἀντάμωσις τῶν μουσαφήριδων, ἡ ἀπόκρισις τῶν γραμμάτων.

18. Νὰ φυλάξῃς τάξιν εἰς ταῖς δουλειαῖς σου· νὰ μὴν ἀνακατώνῃς μίαν μὲ τὴν ἄλλην, εἰς τὸν καθένα νὰ ταῖς μοιράζῃς κατὰ τὸ ὀφφίκιόν τους· ὅμως νὰ μὴν ἀφίνεσαι ἀμέριμνος, ἀλλὰ νὰ ἐξετάζῃς, ἂν ἐτελειώθησαν.

19. Νὰ λέγῃς τοὺς ἄρχοντας νὰ σὲ δίδουν εἴδησιν, ἂν ἀτακτοῦν οἱ οἰκεῖοί σου καὶ νὰ τοὺς ἔχῃς εἰς μεγάλον ζάπτι.

20. Νὰ ἔχῃς ὀλίγον τεβαπί, ὀλίγους Φαναριώταις.

21. Νὰ κάμῃς ὅτι κάμῃς, νὰ σὲ ἀγαποῦν οἱ ἐντόπιοι.

22. Νὰ μὴ πιστεύῃς εὔκολα τὰς κατηγορίας τῶν τζαράννων διὰ τοὺς ἄρχοντας. καὶ ἀπὸ τὸ ἄλλο μέρος νὰ μὴ ἀφίνῃς νὰ ἐκδικοῦνται οἱ τζαράννοι.

23. Τὸ μέτριον εἶναι καλόν· νὰ μὴ δίδῃς εὔκολα πριβιλέγγια καὶ προνόμια καὶ γράμματα ἀσυδοσίας, ὅτι ἀπὸ αὐτὰ φθείρονται τὰ εἰσοδήματα.

24. Πρόσεχε νὰ μὴ βουλλώνωνται γράμματα, ἂν δὲν ἠξεύρῃς τί περιέχουν.

25. Νὰ μὴ δίδῃς ἕνα γράμμα καὶ ὕστερον τὸ ἀναιρῇς καὶ ἐξουθενεῖται ἡ τιμή σου καὶ καταφρονοῦνται τὰ γράμματά σου. Ὁ λόγος σου λόγος, ἡ ἀπόφασίς σου ἀπόφασις. Οἱ νέοι ἡγεμόνες καὶ ἂν σφάλλουν καὶ ὀλίγον ἀποκτοῦν κακὸν ὄνομα καὶ καταφρονοῦν τὴν νεότητά τους.

---

[1]) Ἰλιάδος Β, 204.

www.dacoromanica.ro

## ΚΒ΄.

ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΥΨΗΛΟΤΑΤΟΥ ΤΕ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ

ΑΥΘΕΝΤΟΥ ΚΑΙ ΗΓΕΜΟΝΟΣ ΠΑΣΗΣ ΜΟΛΔΑΒΙΑΣ ΤΕ ΚΑΙ ΟΥΓΓΡΟΒΛΑΧΙΑΣ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

ΙΩΑΝΝΟΥ ΝΙΚΟΛΑΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΒΟΕΒΟΔΑ ΜΑΥΡΟΚΟΡΔΑΤΟΥ

# ΕΓΧΕΙΡΙΔΙΟΝ

ΕΝ ᾯ ΓΝΩΜΑΙ ΚΑΙ ΦΡΟΝΤΙΣΜΑΤΑ ΠΕΡΙ ΗΘΗ ΚΑΙ ΠΟΛΙΤΕΙΑΝ.

www.dacoromanica.ro

www.dacoromanica.ro

# ΕΓΧΕΙΡΙΔΙΟΝ

## ΕΝ Ω ΓΝΩΜΑΙ ΚΑΙ ΦΡΟΝΤΙΣΜΑΤΑ ΠΕΡΙ ΗΘΗ ΚΑΙ ΠΟΛΙΤΕΙΑΝ.

1. Εὐμετάβολον, μάταιον, πολύχουν ζῷον ὁ ἄνθρωπος· ὥστε πάνυ δυσχερές ἐστι βεβαίαν περὶ τῆς αὐτοῦ διαθέσεως φέρειν κρίσιν καὶ ἀσφαλῶς φαντασθῆναι τὰ κατ' αὐτόν.

2. Πρᾶττε τὸ σὸν ἔργον καὶ γνῶθι σεαυτόν· γνῶθι τὰ σοὶ οἰκεῖα, τὰ ἁρμόζοντα καὶ ἐπιβάλλοντά σοι, μηδαμῶς μετιὼν ὡς ἴδια τὰ ἀλλότρια. Φίλει καὶ θεράπευε σεαυτὸν παρὰ πάντα τἆλλα. Ἀποποιοῦ τὰς ἀνοήτους ἀσχολίας συνειλούμενος εἰς σεαυτὸν ἀραρότως· ἀντέχου τῶν σοὶ προσηκόντων.

3. Ὅς οὐκ ἐπήξατο ἑδραῖον καὶ ἀσφαλῆ τινα ἑαυτῷ σκοπόν, πλανώμενος διαῤῥεῖ καὶ διοίχεται, πανταχοῦ εἶναι δοκῶν, μηδαμοῦ δὲ παρών.

4. Τὸ μετριόφρον τῇ τε ψυχῇ ἔνδον ἐπανθοῦν καθάπερ χαλινὸς ἀναχαιτίζει τὴν ἀλαζονείαν καὶ ὁποιανοῦν σφαλερὰν περιαιρούμενον ὑπόληψιν ἐς βεβαιοτέρας ἀρετῆς θήραν καὶ κτῆσιν ἀνεγείρει καὶ ἀκμὴν θήγει τούς γε νοῦν ἔχοντας· καὶ πρὸς τὰ ἔξω δὴ προβαῖνον οὐ μόνον τὸν φθόνον κατευνάζειν εἴωθεν, ἀλλὰ καὶ τοὺς ἀπαντῶντας ἐς εὔνοιαν ἐφελκόμενον καὶ αὐτοὺς τοὺς ἀντιπάλους μετριωτέρους παρασκευάζει τιθασεῦον καὶ ἐκμαλάσσον. Ἔχει δὲ καὶ τὸ μετριόφρον ὅρους, οὓς ἥκισθ' ὑπεράλλεσθαι προσήκει τοὺς γλιχομένους ἐν τῇ κατ' ἀρετὴν ὁδῷ πρόσω χωρῆσαι· τοῖς δ' ἐπιτηδείως ἔχουσιν ἀνακοινοῦσθαι χρεὼν τὰ ἔνδον καλά, ταύτῃ ἐκκαλουμένους καὶ τὴν ἐκείνων ἀγχίνοιαν εἰς ἀντίδοσιν ἐναμίλλων λόγων τε καὶ πράξεων.

5. Μὴ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν ἡ παροιμία φησί· δεῖ δὴ τιμᾶν τὸ μέτριον ἔν τε ὁτῳοῦν ἄλλῳ καὶ ἐν αὐτῇ τῇ ἀγχινοίᾳ καὶ ὀξύτητι τοῦ νοός· ἔνιοι δὲ ἐς τοσοῦτον λεπτουργεῖν καὶ κατατέμνειν εἰώθασι τὰ ἐς σκέψιν προκείμενα, ὥστε οὐδ' ἐπιτυγχάνουσα τοῦ σκοποῦ ἡ τοῦ νοὸς ἐπιβολὴ ἡσυχάζειν οἶδεν, ἀλλὰ τὸν μὲν παραδραμοῦσα περαιτέρω δὲ διιπταμένη ὑπ' ἀλαζονείας καὶ τύφου ἐκπίπτειν εἴωθεν ὡς τὰ πολλὰ ἐς ἀλλοκότους ἐννοίας· τὰ γὰρ ἐκτόπως λεπτυνόμενα καὶ διατεινόμενα ῥήγνυνται, τὰ δὲ καλῶς νοούμενα ὥσπερ τὰ τετράγωνα καὶ στερεὰ σώματα ἀσφαλῶς ἱδρυμένα ἐπὶ μήκιστον διαμένουσι.

6. Τοὺς τὸν τῳόντι μονήρη βίον ἀσπαζομένους καὶ μόνοις ἑαυτοῖς ζῆν ἐθέλοντας οὕτω δεῖ διατεθεῖσθαι καὶ παρεσκευάσθαι, ὥστε μόνον ἐξ ἑαυτῶν ἠρτῆσθαι τὴν κατὰ ψυχὴν γαλήνην καὶ εὐθυμίαν. Κατασκευαστέον ἄρα τοῖς τοιούτοις ἐν τῇ ἰδίᾳ καρδίᾳ εὐρύχωρον καὶ ἀνειμένον τόπον, ἐς ὃν ἀναχωροῦντες καὶ συνειλούμενοι ὅπῃ παρείκοι ἔχωσι καθ' ἑαυτοὺς ἐπ' ἀμφιλαφεῖ σχολῇ καὶ ἐλευθερίᾳ ἀφθόνῳ διαλέγεσθαι καὶ διαχεῖσθαι, πολλῆς ἐμφορουμένους ἡδονῆς ἄνευ γυναικός, ἄνευ τέκνων, δίχα πλούτου, δούλων χωρὶς καὶ τῆς ἄλλης τῆς ἀπὸ τῆς τύχης περιβολῆς· οὕτω γὰρ συγκεκροτημένοι πάνυ κούφως οἴσουσι τὴν τούτων ἀποβολήν.

7. Τῶν ὥσπερ σκιὰ τῷ σώματι παρακολουθούντων ἡμῖν δεινῶν καὶ μονονουχὶ προσπεφυκότων, καίτοι ἱκανῶν ὄντων ἄπλετον ἀθυμίας ἀχλὺν τῆς ἡμετέρας κατασκεδάσαι ψυχῆς, ἐπιφορτιζόμεθα καὶ τὰ τῶν πέλας ἀτυχήματα· γυναικὸς ἀτεκνία δάκνει, τέκνων ἀμορφία λυπεῖ, δούλων μοχθηρία ταράττει· ἀλλὰ καὶ ἔξω θυρῶν προϊόντες παρασυρόμεθα, καὶ τοῖς ἐκ γειτόνων κακοῖς σχετλίως προδιδόντες τὸ ἐξαίσιον χρῆμα τὴν ἡσυχίαν.



www.dacoromanica.ro

8. Ἱκανῶς ἕξομεν, εἰ τὰ καθ' ἡμᾶς καλῶς οἰκονομήσομεν.

9. Διττή ἐστιν ἡ ἄγνοια· ἡ μὲν προηγεῖται τῆς γνώσεως καὶ τοῖς ἀναλφαβήτοις ἐμπέφυκεν, ἡ δὲ τοῖς παιδείας ὁπωσοῦν γευσαμένοις ἐπιφύεται· καὶ τὴν μὲν πρώτην ἡ μάθησις ἀφανίζει, ἡ δὲ δευτέρα ὑπὸ τῆς μαθήσεως γεννᾶται καὶ ἀνεξάλειπτος παραμένει μέχρι τέρματος βίου, τοὺς φρονηματίας τῳόντι δὲ ἀνοήτους χαρακτηρίζουσα.

10. Ἰδίωματά ἐστι τῆς φρονήσεως τὸ προσαρμόττεσθαι τοῖς καιροῖς ἄνευ κακουργίας, γλώσσης κρατεῖν, τοῖς πταίουσι συγγνώμην ἀπονέμειν, τοῖς ὑπερέχουσιν ὑπείκειν, τοὺς εναμίλλους ταῖς εὐποιΐαις προλαμβάνειν, φιλοφρόνως ὁμιλεῖν τοῖς ὑποδεεστέροις, ἀναμηρυκᾶσθαι τοὺς λόγους, ἢ πέπειρα καὶ πέπονα φθέγγεσθαι, ἢ διὰ τῆς σιωπῆς σωτηρίαν εὑρίσκεσθαι, καὶ ἐπὶ πᾶσι γινώσκειν τὴν ἰσχὺν καὶ τὴν ἀσθένειαν τῆς ἰδίας φύσεως καὶ ἀγαπᾶν τοῖς παροῦσι.

11. Διόρθου τὰς ἀντιπαθείας.

12. Φεῦγε τὰς περιπλοκάς.

13. Ἔσο φειδωλὸς περὶ τὰς ὑποσχέσεις.

14. Μὴ ἔμπλεκε σεαυτὸν παντὶ πράγματι.

15. Ἡ ἐν διεφθαρμένῃ πολιτείᾳ ἀναστροφὴ λίαν ἐστὶν ἐπικίνδυνος· ἀνάγκη γὰρ διόλλυσθαι ἢ μιμούμενον ἢ μισοῦντα τοὺς μοχθηρούς.

16. Αἰδοῦ σεαυτόν.

17. Αἱροῦ τὰ κρείττω.

18. Μέμνησο τοῦ «τοῖς πᾶσι τὰ πάντα».

19. Χρῶ καλοῖς ὀργάνοις.

20. Φείδου σεαυτοῦ.

21. Ἔχε νοῦν ὑγιῆ καὶ γεῦσιν τρυφεράν.

22. Μέμνησο, ὅτι τὸ εὐδυσώπητον μεστὸν μυρίων κακῶν.

23. Λάμβανε καλῶς τὰ μέτρα τῶν πραγμάτων.

24. Μάθε καρτερῶς ἀνανεύειν.

25. Ἴθι κατὰ στίβον ἔν τε λόγοις καὶ ἐν πράξεσι.

26. Ἐν καιρῷ προσήκει τόν γε εὖ φρονοῦντα ἀναχωρεῖν τῆς πολιτικῆς περιπλοκῆς, ὁπηνίκα δηλαδὴ αἴσθοιτο ἐτώσιον ἄχθος ἑαυτὸν φαίνεσθαι, μὴ ἰσχύοντ' εἰσφέρειν τὸ ἐπιβάλλον ἐς τὸ κοινόν· οὐδὲ γάρ, ὥς ἔφη τις, δανείζεσθαι δεῖ τὸν ἀποτῖσαι μὴ δυνάμενον.

27. Γνῶθι τὰ σὰ ἐλαττώματα.

28. Ἔσο εὐπρόσιτος.

29. Ἐπίβαλλε σεαυτῷ ἐν τῷ κατ' ἀρετὴν δρόμῳ μήτε τὰ πάνυ δυσχερῆ καὶ τὴν σὴν ὑπερβάλλοντα δύναμιν, μήτε τὰ λίαν ταπεινὰ καὶ χαμαίζηλα· τὰ μὲν γὰρ τῷ ὑπερόγκῳ καταβάλλει τὸν φέροντα διαῤῥηγνῦντα τῆς ψυχῆς τὸν τόνον, τὰ δ' ἐς ῥαθυμίαν ἀνιέντα παντάπασιν ἐκλύουσι τὸν νοῦν τῇ κουφότητι.

30. Ἐς ὁποιανοῦν κακίαν αἰσθανόμενος σεαυτὸν ἐπιῤῥεπῶς ἔχειν μέχρις ὑπερβολῆς διατείνου ἐς τὴν ἐπίκτησιν τῆς ἀντικειμένης διαθέσεως· τῆς γὰρ ἐνδομυχούσης ῥοπῆς ἀνθισταμένης τῇ σῇ προθέσει, μόλις ἐπιτυχὴς γενήσῃ τῆς ἐν τῷ μετρίῳ ἱδρυμένης ἀρετῆς.

31. Ἄνετον καὶ ἐλεύθερον χρῆμα ἡ τοῦ ἀνθρώπου φύσις· πάντα ζυγὸν ἀποσείεται, πάντα χαλινὸν ἀποπτύει, θᾶττον ἀντιποιεῖται τῶν παρέργων, ἢ τῶν ἔργων· διὸ ῥᾷον ἴσως ἀρετῆς ἐπιτευξόμεθα μὴ βιαζόμενοι τὴν φύσιν, ἀλλ' οἷον εἰπεῖν μαλακῇ χειρὶ καταψῶντες αὐτὴν καὶ ὅπου ἂν μάλιστα ῥέπῃ ταύτῃ ἄγοντες, διά τε τῶν προσηνεστέρων ἐπὶ τὸ σκοπούμενον μάλα εὐφυῶς προάγοντες· κἀνταῦθα γὰρ τὸ σμικρῷ χεῖρον (ἥδιον δὲ τῶν βελτιόνων μέν, ἀδεεστέρων δέ) μᾶλλον αἱρετέον· τὸ γὰρ ἐν προοιμίοις ἀνειμένον τῇ μὴ διακοπτομένῃ προόδῳ θεραπεύεται· καὶ δὴ τοὺς ἰατροὺς μιμητέον, οἵ γε μὴ ἀπαναινόμενοι ὑπείκειν καὶ δουλεύειν τῇ φύσει προσφιλεστέροις ὡς τὰ πολλὰ χρῆσθαι φιλοῦσι φαρμάκοις, καὶ μάλισθ' ὁπόσοι διὰ τῆς καθ' ἡμέραν διαίτης λεληθότως τὰς θεραπείας ἐνστησάμενοι ἢ παροῦσαν φυλάττουσιν, ἢ ἀποῦσαν ἀνακαλοῦνται τὴν ὑγείαν, τῶν τοῖς σφοδροτέροις χρωμένων ἀσφαλέστεροι ἅμα καὶ εὐκλεέστεροι.

32. Ἡ συνήθεια εὐφυῶς μὲν καὶ ἐμφρόνως ἀναπλαττομένη καὶ περιαγομένη τῳόντι

www.dacoromanica.ro

δευτέρα φύσις ἐστίν, ἀπείρως δὲ καὶ ἐκ ταὐτομάτου φερομένη μιμεῖται μὲν ἐνίοθ' ὁπωσοῦν τὴν φύσιν, ἀλλὰ πάνυ σκαιῶς καὶ γελοίως, ὥσπερ ὁ πίθηκος.

33. Ἐν τῇ καθ' ἡμέραν ἀναστροφῇ λεπτουργεῖν οὐκ ἀσφαλές· ἀρκεῖ δὴ τὸ ὑγιῆ ἔχοντα νοῦν μετ' εὐταξίας ὁμιλεῖν προσώποις τε καὶ πράγμασι.

34. Τῷόντι ἄθλιος ὁ σχολὴν ἄγων, ἐπειδὰν μόνος διάγῃ.

35. Ὁ διὰ παντὸς καθ' ἑαυτὸν ζῶν κρείττων ἔμοι γε δοκεῖ ἐκείνου, ᾧ γ' οὐδέποτ' ἔξεστιν εἶναι μόνῳ.

36. Τὸ προσηνὲς καὶ γεγηθὸς παρά γε τοῖς εὖ φρονοῦσι μηδαμῶς τῆς ἀρετῆς ἀπῴκισται.

37. Τὰ μὲν ἀῤῥωστήματα τοῦ σώματος αὐξανόμενα φανερώτερα καθίσταται, τὰ δὲ τῆς ψυχῆς νοσήματα ἐς ἀκρότηθ' ἥκοντα ὅλως καταδουλοῦσι τὸν πάσχοντα καὶ ἀφαιροῦνται πᾶσαν αἴσθησιν.

38. Πικρῶς καὶ ἀποτόμως ἐξέταζε σεαυτόν.

39. Μὴ ἔσο δυσξύμβολος.

40. Ἐν καιρῷ πραγμάτων ἅπτου.

41. Μάνθανε τὰ δέοντα καὶ παρὰ τῶν ὑποδεεστέρων.

42. Ἀνανεοῦν μὴ ἀπόκνει τὰ πεπονηκότα τῆς περὶ σὲ φήμης.

43. Οἱ λεπτῶς μεριμνῶντες πένονται, ὁ Πλάτων φησίν· ἀμέλει ἐπιπολαίως ἐπίβαλλε καὶ ὄμματα καὶ νοῦν τοῖς τε εὐτυχήμασι καὶ τοῖς ἀτυχήμασι μὴ καταδυόμενος ἐς τὸ βάθος, ἵνα μὴ σκοτοδινιάσῃς ἢ ἀλαζονείας ἢ λύπης ὑπερβολῇ.

44. Βουλῆς ἡγησαμένης, τὸ παράβολον ἔξω μώμου.

45. Ὅτε οὐ καιρὸς βουλεύεσθαι, ἀλλ' ἤδη βεβουλεῦσθαι, τοῦ προῖκα θανεῖν τὸ κατατολμᾶν τῶν ἐσχάτων κινδύνων αἱρετώτερον.

46. Μάθε ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι.

47. Ἄσκει οὐ μόνον τὸ ἐν λόγοις, ἀλλὰ καὶ τὸ ἐν ἤθεσι καὶ πράξεσιν ὕφος.

48. Ἐν δέοντι ἀντιποιοῦ, προσποιοῦ, ἀποποιοῦ, περιποιοῦ.

49. Μάθε ἀποκρίνειν τὰ κελύφη τοῦ πυρῆνος, τὰ ὀστᾶ τοῦ μυελοῦ, τὰ συμβεβηκότα τῆς οὐσίας, τὴν ἐπιφάνειαν τοῦ στερεοῦ.

50. Ἔχε στόμαχον ἰσχυρόν.

51. Μὴ ἔσο διαπαντὸς σοβῶν ὡς ἐν θριάμβῳ.

52. Κάτεχε σεαυτὸν ἔνδον τῆς σῆς σφαίρας, εὐλαβούμενος τὰς ἐκκεντρικὰς καὶ παλμικὰς κινήσεις.

53. Αἱ ἐγκεντρίσεις καὶ μεταφυτεύσεις οὐδὲν μεῖον ἐν ἀνθρώποις ἢ ἐν φυτοῖς ἐπικίνδυνοι.

54. Μὴ ἔσο μεμψίμοιρος.

55. Ἔσο ἐνδελεχὴς ἐπὶ καρδιῶν θήρᾳ.

56. Μὴ σπεῖρε κατὰ πετρῶν, ἵνα μὴ γεωργήσῃς ἀνέμους.

57. Εὐτυχῶν παρασκεύαζε σεαυτόν, ὅπως γενναίως ἅμα καὶ καλῶς οἴσῃς δυστυχίαν.

58. Ὅσον ἐφικτὸν φεῦγε τὴν ἅμιλλαν, καὶ μάλιστα τὴν πρὸς τοὺς κρείττονας.

59. Πεφεισμένως φθέγγου περὶ σεαυτοῦ.

60. Πάντα κατὰ φύσιν, πάντα κατὰ ῥυθμὸν χωρείτω· μηδὲν περιττῶς ἐπιτηδευέσθω.

61. Εἰ παρὼν οὐκ ἔσῃ φορτικός, μνησθήσονταί σου πολλοὶ καὶ ἀπόντος.

62. Τὸ μὲν πταίειν παντὸς ἀνθρώπου, τὸ δὲ μὴ εἰδέναι διορθοῦν ἢ κρύπτειν τὸ πταῖσμα μόνον τῶν ἀνοήτων ἐστίν.

63. Ἔχε πλατεῖαν καρδίαν.

64. Μετὰ πάντων ἄφρων καὶ μὴ μόνος φρόνιμος.

65. Ὁ μόνος φρόνιμος μεταξὺ πάντων ἄφρων.

66. Γνῶθι καιρόν, γνῶθι τὰς ἡμέρας, ὁπότε εἰσὶ μητρυιαί.

67. Λυγκέως δίκην τὰ ἐν τῷ βάθει διάθρει.

www.dacoromanica.ro

68. Ἴσθι χρᾶσθαι φίλοις.
69. Ἴσθι φέρειν τοὺς ἄφρονας.
70. Τὸ μηδ᾽ ἅπαξ ἀποτυχεῖν τοῦ πολλάκις ἐπιτυχεῖν εὐκλεέστερον.
71. Γνῶθι τὰ ἀρέσκοντα τῶν ἐλαττωμάτων.
72. Ἐπάμυναι σεαυτῷ.
73. Μὴ ἴσθι τερατώδης.
74. Ἀντέχου τῆς τῶν προκειμένων οὐσίας, τῶν ἐπιπολαζόντων συμβεβηκότων ὀλίγον ἐπιστρεφόμενος.
75. Μὴ καταχρῶ ταῖς τῶν ἄλλων εὐνοίαις.
76. Μὴ ἔριζε μετὰ τοῦ μηδὲν ἔχοντος.
77. Οὐ δεῖ τὸν ἐχέφρονα ἐσπευσμένως βιοῦν.
78. Τίμα σιωπήν· τοῦτο γὰρ σφραγὶς φρονήσεως.
79. Πίστευε τῇ καρδίᾳ.
80. Τῶν αἰσχρῶν φεῦγε καὶ τὴν ὑπόνοιαν.
81. Πρᾶττε μεγάλα, μεγάλα μὴ ὑποσχόμενος.
82. Τῇ παῤῥησίᾳ αἰδὼς ἔστω πάρεδρος.
83. Παῤῥησιάζου μετ᾽ αἰδοῦς.
84. Ἀνόνητος ἡ μὴ ἐν καιρῷ μεταμέλεια.
85. Ἡ διὰ πάντων ἥκουσα καὶ πάντων κηδομένη πρόνοια ξυμπήγνυσι καλιὰς καὶ τοῖς ἀσθενεστέροις πτηνοῖς.
86. Πάντα τὰ μέλη ὑπὲρ κεφαλῆς ἀγωνίζονται.
87. Ὁ ἐς τὴν ὑστεραίαν ἀναβληθεὶς κίνδυνος μηδὲ λογιζέσθω κίνδυνος.
88. Μυρία ξυμπίπτει πρὶν ἀνατεῖλαι τὸν ἥλιον.
89. Καὶ ὁ μύρμηξ τὸ κατὰ δύναμιν.
90. Γεγηρακότος λύκου ψωραλέοι κατορχοῦνται κύνες.
91. Ὁ πλοῦτος τῆς καρδίας τεμάχιον.
92. Ἡ ζωὴ οὐ μόνον διὰ τοῦ στόματος ἐξέρχεται, ἀλλὰ καὶ διὰ τοῦ στόματος εἰσέρχεται.
93. Ὑγεία γλώττης σωτηρία κεφαλῆς.
94. Καὶ σμικρὰ πλεονεξία μεγάλην ἐπισύρεται ζημίαν.
95. Ὁ γυμνὸς ληστὰς οὐ φοβεῖται.
96. Ἐνίοτε ἔῤῥωται τὸ «ἢ στέφανος ἐπὶ τῇ κεφαλῇ, ἢ γύπες ἐπὶ τῷ πτώματι».
97. Κἂν λιμώττης, φύλαττε τυράννου θύραν.
98. Ὁ ἑκουσίως πίπτων οὐ δακρύει.
99. Τῷ ἀσθενεῖ καὶ κοῦφον ῥάπισμα καιρία δοκεῖ πληγή.
100. Φίλησον ἣν οὐκ ἰσχύεις ἐκκόψαι χεῖρα.
101. Εἰ ὁ καιρὸς οὐκ εἴκει σοι, εἶξαι σὺ τῷ καιρῷ.
102. Οὐ κατέχουσιν αἱ φλέβες τὸ ῥυησόμενον αἷμα.
103. Θρέψαι κορώνην, ἵνα σοι τοὺς ὀφθαλμοὺς ἐξορύξῃ.
104. Ὁ ἐπ᾽ ἀλλοτρίοις ἀτυχήμασι θρηνῶν ταχέως ἀποβαλεῖ τῶν ὀμμάτων τὸ φῶς·
105. Τὸ ἐκτοξευθὲν βέλος οὐκ ἐπανακάμπτει.
106. Ἡ τοῦ γείτονος ἀλεκτορὶς χὴν εἶναι δοκεῖ τῷ γείτονι.
107. Ἐπὶ τὴν φαινομένην κώμην οὐ χρήζομεν ὁδηγοῦ.
108. Οἱ σύες κατεσθίουσι τοὺς ὡραιοτέρους καρπούς.
109. Ὁ ἐν τῷ κήπῳ κύων οὐδ᾽ αὐτὸς ἐσθίει καὶ τοὺς ἄλλους τοῦ ἐσθίειν κωλύει.
110. Μετὰ τὴν ἧτταν πολλοὶ σύμβουλοι.
111. Οὐκ ἀποτέμνομεν τὴν κεφαλὴν τοῦ ἅπαξ προσκρούσαντος ἵππου.
112. Ἔστι καὶ καμήλου μείζων ἐλέφας.
113. Ὁ ἀνασκολοπισθησόμενος οὐ ναυαγεῖ.

www.dacoromanica.ro

114. Οὐ σπείρουσι κέγχρον οἱ τὰ στρουθία φοβούμενοι.

115. Φοβερὸν ὄναρ οὐκ ἐς φλαῦρον ἀποσκήπτει.

116. Καὶ μικρὸς λίθος κεφαλὴν τραυματίζει.

117. Οὕτω δευσοποιός ἐστιν ὁ φθόνος, ὥστε πολλάκις τῶν φθονουμένων πραγμάτων ἐξιτήλων γενομένων, ἢ τῶν προσώπων ἀπὸ τῆς πρὶν εὐτυχίας εἰς δυστυχίαν μεταπεσόντων, οὐδὲν ἧττον ἐναπομεῖναι προσπεφυκότα ταῖς μιαρωτάταις ψυχαῖς τῶν φθονούντων τῆς ἀπεχθείας τὸν ἰόν.

118. Τὸ ἐπίμονον, τὸ ὀχληρόν, τὸ φορτικὸν πολλάκις ἐπιτυχίας εἰσὶ πρόξενα.

119. Πεφεισμένως χρῶ σεαυτῷ συστελλόμενος, συνειλούμενος, ἥκιστα δὲ σκεδαννύμενος.

120. Τὸ πᾶν ἔχει ἐν ἑαυτῷ λαμπροτάτους χαρακτῆρας, τοὺς μὲν ἐξ ἀρχῆς παρὰ τοῦ κτίσαντος ἰσχυρῶς ἐγκεκολαμμένους καὶ γεγωνοτάτῃ φωνῇ τὴν αὐτοῦ δύναμιν καὶ σοφίαν κηρύττοντας, τοὺς δὲ καθ' ἡμέραν παρὰ τῆς διὰ πάντων ἡκούσης θείας προνοίας ἐγχαραττομένους, δαιμονίως ἐκπαιδεύοντας εἰς τὴν τοῦ ποιητοῦ καὶ κηδεμόνος λατρείαν τοὺς προσέχειν βουλομένους τὸν νοῦν καὶ πεφροντισμένως ἀναγινώσκειν ταυτηνὶ τὴν θαυμαστὴν βίβλον.

121. Τὸ κακῶς ἀγορεύειν ἐνίοτε ματαιοφροσύνης, ἀλλ' οὐχὶ μοχθηρίας ἐστὶ γονή.

122. Τὸ μηδὲν θαυμάζειν μεγαλοψυχίας ἐστὶ χαρακτήρ.

123. Τὸ ἀδρανὲς τῆς ἡμετέρας φύσεως ἥκιστ' ἰσχύει εἰλικρινῶς ἀντιποιεῖσθαι τῶν ὄντων· οὐκοῦν οὐ μόνον συμπέφυρται τὰ τοῦ παντὸς στοιχεῖα ἡμῖν διακονούμενα, τά τε μέταλλα ἀνακιρνάμενα τοῖς ὑποδεεστέροις ταῖς ἀνθρωπίναις ὑπηρετεῖται χρείαις καὶ ἐν τοῖς φυτοῖς τὰ ταῖς ἐγκεντρίσεσι τερατουργούμενα τὴν ἐκδεδιῃτημένην γεῦσιν μᾶλλον εὐφραίνουσιν, ἀλλὰ δὴ καὶ ἐν ἤθεσι καὶ πολιτεύμασι φιλία τ' ἄμικτος κολακείᾳ ἀηδὴς ἀποβαίνει καὶ ὀχληρὰ καὶ διοίκησις ἄνευ πανουργίας, ἣν ὑποκοριζόμενοι ἐμβριθῆ φρόνησιν οἱ πλείους καλοῦσιν, ὡς τὰ πολλὰ ἐς φλαῦρον ἀπέσκηψεν· ὃ δὲ πάντων ἀτοπώτατον, ἡ διάπυρος εὐσέβεια μὴ ὑπὸ δεισιδαιμονίας ὁπωσοῦν καταλεαινομένη παρ' ὄχλῳ ἀγνοίᾳ καὶ ἀμαθείᾳ μεθύοντι, ἀσεβείας πολλάκις φεύγει γραφήν.

124. Ἔστιν ἀκηδία σώματος καὶ ἀκηδία πνεύματος, ἀλλ' ἡ δευτέρα μᾶλλον ἐπιβλαβής, ὅτι τοῦ κρείττονος· εἴωθε γὰρ πυκνότερον τοῦ σώματος ἡ ψυχὴ ἐκλύεσθαι καὶ ἐς ἀκηδίαν ἐξολισθαίνειν.

125. Πολυειδής ἐστιν ἡ πλεονεξία· ἔννοοι γὰρ κεναῖς ἐλπίσιν ἐπικεχηνότες τὴν οὐσίαν προΐενται· ἄλλοι δὲ τοῦ ἐς τοὐπιὸν κέρδους ἥκιστα φροντίζοντες τὴν παροῦσαν ἁρπάζουσιν ὠφέλειαν.

126. Οὐ μόνον περὶ τὰ καίρια τοῦ ἡμετέρου βίου καλῶς ἢ κακῶς ἔχοντος ἐν εὐθυμίᾳ ἢ ἀθυμίᾳ διάγειν φιλοῦμεν, ἀλλὰ μᾶλλον τὰ ὁσημέραι ἡμῖν ἀπαντῶντα, εἰ καὶ καθ' ἑαυτὰ ὀλίγου λόγου ἄξια, σωρηδὸν ἐπιφοιτῶντα εἰς χαρὰν ἢ λύπην τὴν ἡμετέραν ψυχὴν διατίθησι.

127. Τὸ ἄναντες διαδέχεται κάταντες.

128. Ὁ εἰς λοετρὸν εἰσιὼν ἱδρῶτι περιρρεῖται.

129. Φοβοῦ τὸν τοῦ πράου θυμόν.

130. Χαμερπεῖς καὶ χαμαιζήλους ψυχὰς νομιστέον τὰς οὐ μόνον ἀρετῶν ἐρήμους, ἀλλὰ καὶ τῶν εἰς ἐνέργειαν ἀναγκαίων παθῶν στερομένας.

131. Παρὰ τῶν ἀναιδῶν μάνθανε τὴν αἰδῶ.

132. Τὸ πᾶν τῆς προνοίας.

122. Διὰ τῶν σκολιῶν ἐπὶ τὰ ὑψηλὰ ἡ ἄνοδος τοῖς μοχθηροῖς.

134. Ἡ θεία πρόνοια ἀνατρέπει τὴν ἀνθρωπίνην ἐπίνοιαν.

135. Πᾶς τις ὑπείκει τῇ βίᾳ.

136. Ἀπὸ τῶν φιλημάτων ἀνακύπτει τὰ δήγματα.

137. Εἰ οὐ κινεῖται τὸ ὄρος, κινηθήτω ὁ ἥρως.

138. Ἡ ἄπλετος εὐφημία πάρεδρον ἔχει τὴν ἐξώλειαν.

139. Ὥσπερ εἰς τύπον εἰς τὸ τοῦ ἄρχοντος ἦθος ἀποβλέπει τὸ ὑπήκοον.

140. Ἡ τοῦ λαοῦ γλῶσσα κάλαμός ἐστι τῆς θείας χειρός.

141. Ἡ σωτηρία ἐν τῇ εὐθύτητι.

www.dacoromanica.ro

142. Αἱ προφάσεις ἔστωσαν ὁποῖαί ποτ' ἂν εἶεν· οἱ μὴ ἐς χρείαν αὐτῶν καθιστάμενοι εὐτυχέστεροι.

143. Περὶ ὧν εὐτυχοῦντες ἐλαχίστην ποιούμεθα φροντίδα, ἅτ' ἐπ' ἔλαττον ἐνδεχομένων καὶ σχεδὸν ἠθικῶς ἀδυνάτων, ἐκείνων ἐνίοτ' ἐπισκηπτόντων, ὀλιγοφροσύνης ἡμῶν οἱ πολλοὶ καταχέουσι μομφήν, τὴν φθάσασαν περὶ τῶν δεόντων φροντίδα εἰς οὐδὲν λογιζόμενοι.

144. Κατὰ καιρὸν πολέμου οὐδὲν ἀπροσδόκητον.

145. Ἡ ὑπόνοια καὶ ἡ φυλακή, καὶ μάλιστα κατὰ καιρὸν πολέμου, εἰ καὶ ἐν τῷ ἀκροτάτῳ εἴη βαθμῷ, ἥκιστα μωμητέα.

146. Τὸ κατὰ λόγον οἴεσθαι δρᾶν τοὺς ἀνοήτους καὶ τολμητίας καὶ μοχθηροὺς πολλάκις πολλοὺς ἐμπεσεῖν ἐποίησε ταῖς ἐκείνων ἄρκυσιν.

147. Ἡ ἐπισφαλὴς ἀσφάλεια πολλάκις μεγάλους εἴωθε τίκτειν κινδύνους.

148. Τοῦ ἀνθρωπίνου βίου ἔμπλεω ὄντος μυρίων δεινῶν, ἡ φύσις κατοικτισαμένη τὴν συνήθειαν καλὸν ἡμῖν ξυνοδοιπόρον ἐχορήγησεν, ὅπως λήθην τῶν ἀνιαρῶν ἐπάγουσα ἐς τὸ κουφότερον αὐτὰ μεταφέροι.

149. Ὀλέθριοί εἰσιν ὡς τὰ πολλὰ οἱ ἀπὸ τῆς νομιζομένης ἀσφαλείας ἀναφυόμενοι κίνδυνοι.

150. Ὁ πλήττων πλήττεται, ὁ δάκνων δάκνεται.

151. Παρὰ τῇ δυσχερείᾳ ἡ εὐχέρεια.

152. Τὸ τοῦ λαοῦ στόμα μαντεῖόν ἐστιν.

153. Ὁ κεναῖς ἐς ἀγορὰν χωρῶν παλάμαις κενὸς ἀνακάμπτει.

154. Ἡ ἐλευθέρων ἀνδρῶν ὑπόσχεσις ἀπαραίτητον χρέος ἐστίν.

155. Ὁ διὰ πολλῶν ἐτῶν τῷ πυρὶ λατρεύσας, ἅπαξ ἐμπεσὼν ἐς αὐτό, αὐτίκα καταφλεγήσεται.

156. Ἡ ἀπόνοια θήγει τὴν γλῶσσαν καὶ τὴν ψυχὴν ἐς ἄμυναν ἀκμὴν συγκροτεῖ.

157. Ὁ ἐν ὁποιαοῦν ἀσχολίᾳ ἐντιμότερος τοῦ παντάπασι σχολάζοντος.

158. Ὁ ἑτέρου ἐπιτάττοντος πράσσων ἱκανὴν ἔχει τὴν ἐπὶ τοῖς πραττομένοις ἀπολογίαν.

159. Διὰ συντόνου σπουδῆς καὶ τὰ ὑψηλὰ ἀναμοχλεύεται ὄρη.

160. Ἡ εὐκαιρία μέγα τοῖς εὖ φρονοῦσιν ἕρμαιον.

161. Μὴ προΐεσο τὴν εὐκαιρίαν.

162 Ἔξεστιν ἀπαντᾶν ἐν πολέμῳ.

163. Ὁδός ἐστιν ἀπὸ καρδίας ἐς καρδίαν.

164. Ὑπὲρ τῆς νίκης τὸ νεῖκος.

165. Τὰ τραύματα τῆς γλώττης δυσίατα.

166. Τοῖς δεδογμένοις τῇ θείᾳ προνοίᾳ μεμυκόσιν ὀφθαλμοῖς προσαράσσομεν.

167. Ἡ νὺξ ἐγκύμων ἐστί.

168. Οἱ ὑπὲρ τοῦ ἄρχοντος τῆς ζωῆς μὴ φειδόμενοι πολυδάπανον τελοῦσι λειτουργίαν καὶ τῷόντι εἰσὶν ἐλεύθεροι.

169. Τὸ ῥόδον θέλγει πρῶτον ὄσφρησιν, ἔπειτα πυκάζει κεφαλήν.

170 Παρὰ τῶν μεθυόντων μάνθανε νήφειν.

171. Καὶ οἱ ἐλευθέριοι ταῖς εὐεργεσίαις καταδουλοῦνται.

172. Τῇ συντόνῳ πάνθ' ὑπείκει σπουδῇ.

173. Μὴ διύπνιζε κοιμώμενον λέοντα.

174. Μνησθήσονται πάντως οἱ οἰκοδομοῦντες τοῦ ἐς οἰκοδομὴν καλῶς ἔχοντος λίθου.

175. Ὃς προῖκα φίλος ἐστίν, ἐκεῖνος τῷόντι φίλος ἐστί.

176. Μὴ ἔγειρε κείμενον ὄφιν.

177. Μὴ φέρε ὄφιν ἐν κόλπῳ.

178. Τὸ σπάνιον ὡς οὐκ ὂν λογιζέσθω.

179. Ὁ μὲν πολλὰ δαψιλευόμενος ἐκ τοῦ περισσεύματος δίδωσιν, ὁ δ' ὀλίγα διδοὺς ἀπὸ καρδίας δίδωσιν.

www.dacoromanica.ro

180. Ἡ ὄψις ἐνίησι τὴν αἰδῶ.
181. Παρὰ τῶν καλῶν ὡς τὰ πολλὰ βλαστάνουσιν αἱ χάριτες.
182. Πόῤῥω ὀφθαλμῶν, πόῤῥω καρδίας.
183. Μηδέποτε ξυγχωρῆσαι τὸ θεῖον τὸν δεξιὸν ὀφθαλμὸν τοῦ ἀριστεροῦ ἐν ἐνδείᾳ γενέσθαι.
184. Οὐχ εὑρεθήτω ἐν τῇ ἐμῇ πήρᾳ ἄρτος παρὰ βασιλέως χορηγούμενος.
185. Εἰς τὰ κεκωλυμένα μᾶλλον διατείνεται τὸ ἀνθρώπινον.
186. Ἕκαστος φάρμακον ἐπιζητεῖ τῷ ἰδίῳ τραύματι.
187. Μήτε κατάβαλλε, μήτε καταβλήθητι.
188. Ἔστι παντὶ τραύματι φάρμακον.
189. Ἐνίοθ' ὑπὸ τριχὸς γίγας δεσμεῖται.
190. Αὐχμοῦ τὴν γῆν κατέχοντος, ἀγαπητοὶ καὶ σταγόνες ὕδατος.
191. Ὁ ξένος δῶρον ἡμῖν ἥκει παρὰ Θεοῦ.
192. Ὀφείλεται τῷ ξένῳ τὰ ξένια.
193. Ἀναιρεθέντος τοῦ ἐν μέσῳ λεπτοῦ παραπετάσματος τῆς αἰδοῦς, τὸ ἀρχόμενον ἰσχυρότερόν ἐστι τοῦ ἄρχοντος.
194. Ἑκάστῃ ἡμέρᾳ ἀπόκειται τὰ ἐπιβάλλοντα.
195. Ἡμέρα πᾶσα φέρει παντὶ τὴν ἀναγκαίαν τροφήν.
196. Ἡ σωτηρία πολλάκις ἐστὶ φόβου γονή.
197. Ὁ παρὰ Θεοῦ ζητῶν οὐδέποτ' ἀποτυγχάνει.
198. Παρὰ Θεοῦ διωκόμενος ἐς αὐτὸν πάλιν κατάφευγε· οὐδὲ γὰρ εὑρήσεις ἀσφαλέστερον ἄσυλον.
199. Περὶ τῆς παρούσης ἡμέρας ὁ λόγος.
200. Ἡ μετὰ φρονήσεως οἰκονομία ἀμφιλαφής ἐστι πρόσοδος.
201. Καὶ οὐχ ἑκούσῃ τῇ φρονήσει· οἱονεὶ σκιὰ ἡ οἴησις εἴωθε παρακολουθεῖν.
202. Λόγοι βασιλέων βασιλεῖς λόγων.
203. Οὐ πᾶς ὁ λέγων πράττει.
204. Ἐκεῖνοι τῶν λόγων ἐξαίρετοι, οἳ μετὰ βραχύτητος διατρανοῦντες τὰ νοήματα καὶ τὰ πράγματα.
205. Ὁ τῆς ὑπομονῆς ἐπίλογος εὐτυχίας προοίμιον.
206. Ἡ τῆς ὑπομονῆς κορυφὴ σωτηρίας κεφάλαιον.
207. Φεῦ, ὅσον αἷμα ἐκχέει τὸ στόμα.
208. Ἐκμείλισσαι εὐποιΐαις τὸ ἀντίπαλον.
209. Λόγων ἄριστος ὁ μὴ χρῄζων λόγου.
210. Ὁ κόσμος φόβων καὶ ἐλπίδων μεστός.
211. Παρὰ τοῦ ἄφρονος τὴν ἀλήθειαν.
212. Τὰ καρποφόρα τῶν δένδρων λίθοις βάλλεται.
213. Ὁ παρὼν καιρὸς καιρὸς οἰκουρίας καὶ σιωπῆς.
214. Ἔχις ὑπὸ τῇ πέτρᾳ κοιμᾶται.
215. Ἔχε συστηματικὸν νοῦν.
216. Ὁ παρὰ τὴν πυρὰν καθήμενος θερμαίνεται.
217. Ἔχει πᾶν δένδρον σκιάν.
218. Τὰ τῆς ἀσχολίας καὶ τῆς σχολῆς ἐν ταῖς αὐλαῖς ἐκ περιτροπῆς διαιτάσθω.
219. Οἱ ἐχθροὶ οὐ καθεύδουσι.
220. Τὰ ἐν πεδίοις ἱστάμενα τῶν ὀρνίθων τῶν ἐν τοῖς οἰκίσκοις τρεφομένων εὐτυχέστερα.
221. Ἡ ἐλπὶς ψωμίζει τοὺς ἐν περιπετείαις ὄντας.
222. Φυλακὴ τοῦ μυστηρίου ἐπιτυχία τοῦ σκοπουμένου.
223. Ἐπιτηδειότης καὶ ἐπιμέλεια πολλὰ κατορθοῖ.
224. Οὐ μόνον ἡ κακὴ φήμη, ἀλλὰ καὶ ἡ ἐπ' ἄκρον εὐφημία πολλάκις πολλοὺς ἔβλαψε.

www.dacoromanica.ro

225. Μέμνησο ἐν ὁποίῳ αἰῶνι ζῇς.

226. Μάθε τὴν τοῦ εὐδαιμονεῖν τέχνην.

227. Ἔσο ἄνευ κηλῖδος.

228. Γνῶθι σεαυτόν, γνῶθι δὲ καὶ τοὺς ἄλλους.

229. Μὴ παύου διορθοῦν τὴν σὴν φαντασίαν.

230. Προαιροῦ τῆς ἐκτάσεως τὴν ἐπίτασιν.

231. Ἀνερευνῶν μάνθανε τὴν ἑκάστου ἀσθένειαν καὶ ὅπῃ εἴη εὐκαταμάχητος καὶ εὐάλωτος.

232. Μηδὲν ἔχε δημῶδες καὶ τοῦ πολλοῦ πάτου.

233. Κρεῖττον ὀρθὸν εἶναι ἢ ὀρθοῦσθαι.

234. Μὴ ἐπιτηδεύου τὰ ἔξω συνηθείας, μήτε πίστευε χιμαίραις.

235. Εἰδέναι σε δεῖ τοὺς εὐτυχεῖς καὶ τοὺς δυστυχεῖς, ὅπως ἑκατέρᾳ τύχῃ ὡς εἰκὸς ὁμιλοίης.

236. Γίνωσκε τὴν σαυτοῦ δύναμιν καὶ ἰσχύν.

237. Εὐλαβοῦ τὰς ὑπερβολάς.

238. Ἡ ταπείνωσις ἴᾶται ὡς τὰ πολλὰ τὴν καθ' ἡμῶν τῶν ἰσχυροτέρων μῆνιν, ἀλλ' ἐνίοτε τὸ σταθηρὸν καὶ ἀκράδαντον τῆς ψυχῆς ταὐτὸ τοῦτ' ἐργάζεται.

239. Ἔξεστί σοι ἐς ἀθυμίαν κατενεχθέντι καὶ πρὸς ἅπαντα τὰ τοῦ βίου κατιῶντι ἠπιωτέροις λογισμοῖς κατακηλεῖν καὶ περιθάλπειν σεαυτόν, ἐνίοτε καὶ μέχρι θωπείας χωροῦντα· δεῖ δὲ τοῦ καιροῦ τοῦτο καλοῦντος, οὐδὲν μεῖον ἐλέγχειν καὶ διυπνίζειν τὴν ψυχὴν ἐς ἀντιποίησιν τῶν δεόντων, αἰδεῖσθαί τε καὶ φοβεῖσθαι τὸν ἡγεμόνα λόγον καὶ τὸ συνειδός· ὥστε ἐνώπιον αὐτῶν οἱονεὶ ἀρχόντων εὐσχημόνως βαίνειν, ἥκιστ' ἐν λόγοις τε καὶ ἔργοις ὑποσκάζοντα.

240. Τὸ οὐκ ἐς δέον δαπανηρὸν ὡς τὰ πολλὰ ἐς ἀσωτίαν ἡμᾶς ἐκτραχηλίζει, ἐλευθεριότητος προσχήματι παρακρουόμενον.

241. Ὁ δένδρον φυτεύων ἀποδρέπεται καρπούς· φύτευσον ἄνθρωπον καὶ ἐκριζώσει σε.

342. Ὁ σοὶ διηγούμενος τὰ τῶν ἄλλων διηγεῖται καὶ τὰ σὰ τοῖς ἄλλοις.

243. Τοῦ θυμοῦ τὸ μὲν προοίμιον μανία, ὁ δ' ἐπίλογος μεταμέλεια.

244. Φυλάττου τὸν σοὶ ἀγνῶτα.

245. Ἐνίοτε σμικρὰ ζημία μεγάλου κέρδους αἱρετωτέρα.

246. Ἄκουε καὶ μάνθανε, σιγὴν ἀσπάζου καὶ σῴζου.

247. Ἀσφαλὴς βιβλιοθήκη τὸ στῆθος.

248. Ὁ ἄφρων ἄνευ αἰτίας ὀργίζεται, ἄνευ ὠφελείας λαλεῖ, παντὶ τεθάρρηκε, κινεῖ τὰ καλῶς κείμενα, ζητεῖ τὰ αὐτῷ μὴ προσήκοντα, τοῦ ἐχθροῦ τὸν φίλον οὐ διακρίνει.

249. Πολυχρηματία καὶ πολυλογία τοὺς ἀνθρώπους διόλλυσιν.

250. Ὁ ἐπιξενούμενος ἐν τῇ ἐξουσίᾳ τελεῖ τοῦ ξενίζοντος.

251. Δυστυχὴς ἄνευ ὑπομονῆς λύχνος ἄνευ ἐλαίου.

252. Νέος ἄνευ μεταμελείας οἰκία ἄνευ στέγης.

253. Οὐ σμικρὸν ἐν τῷ βίῳ τὸ μὴ φροντίζειν περὶ τῶν σμικρῶν.

254. Ἀμώμητος ἔσο.

255. Ἐπεύχου σεαυτῷ τὰ συνοίσοντα.

256. Ἔθιζε τὴν σὴν ψυχὴν ἑπομένην Θεῷ μέγα τι περὶ ἑαυτῆς ἀναλογίζεσθαι.

257. Λόγοι νοημάτων κενοὶ ὄνειδός εἰσι μέγα.

258. Φίλει τὴν ἀλήθειαν.

259. Ἡ γενικὴ φιλαυτία ἐπαινετή, ἡ δὲ μερικὴ λίαν ἐπίψογος.

260. Ἡ ἀπιστία ἐν τοῖς πολιτεύμασι μήτηρ ἐστὶν ἀσφαλείας.

261. Οὐ τοσαῦτα δεινὰ καὶ χαλεπὰ ἀπαντᾶν ἡμῖν εἴωθε παρὰ τῶν δι' ὁποιασοῦν αἰτίας κακῶς πεπονθότων, ὅσων πεῖραν λαμβάνομεν παρὰ τῶν εὐεργετηθέντων, οἵτινες ἢ ὑπ' ἀχαριστίας ἐρεθιζόμενοι, ἢ φθόνῳ φλεγόμενοι καὶ μηδαμῶς τὰς ἀρετὰς καὶ ὑπεροχὰς φέρειν δυνάμενοι πάντα κάλων κινοῦσιν, ὅπως τὸν κρείττονα καταβάλωσι.

www.dacoromanica.ro

262. Φέρειν προσήκει τὰ τῶν ἡμῖν συμπολιτευομένων ἐλαττώματα, ὅπως κἀκείνοις φορητὰ γένοιτο τὰ ἡμέτερα προτερήματα.

263. Ἴδιον τῶν ἀξιολόγων ἀνδρῶν ἐξαισίοις ἐλαττώμασι καθάπερ ἀκάνθαις περιείργεσθαι.

264. Τὰ αἴτια τῶν ἐν τοῖς πολιτεύμασι διαχειρίσεων τὰ καίρια καὶ κύριά εἰσιν ἐνδόμυχα καὶ ἐν τῷ ἐσωτάτῳ τῆς καρδίας τῶν ἐπὶ τοῖς πράγμασιν ὄντων κεκρυμμένα· διὸ ὡς τὰ πολλὰ σφαλερὰν κρίσιν φέρομεν περὶ τῶν συμβαινόντων εἴτ' ἐγκαλοῦντες εἴτε καὶ ἐπαινοῦντες τοὺς ἐπικεχειρηκότας, ἅτε τῆς μὲν ἀρχῆς καὶ προόδου λεληθυίας, τῆς ἀποβάσεως δὲ καὶ μόνης εἴτ' εὐφήμου εἴτε καὶ σκαιᾶς ἁρπαζούσης τὴν ψῆφον· ἐκεῖνο ἄρ' ἀποκηρύττει τὴν τῶν πολλῶν προπέτειαν, ὅτι καίπερ πολυσχιδεῖς πτυχὰς ἐχούσης τῆς ἀνθρωπίνης ψυχῆς καὶ πολλῶν ὄντων τῶν ὅτι ἐνδοτάτω κειμένων καὶ ἕκαστον ἡμῶν λανθανόντων καὶ φευγόντων καὶ τὴν ἡμετέραν αἴσθησιν καὶ γνῶσιν (καὶ γὰρ καὶ ὁ προφητικῷ πνεύματι ἐλλαμπόμενος καὶ βασιλικῷ κατηγλαϊσμένος φρονήματι, ὅπως ἐκ τῶν κρυφίων αὐτοῦ καθαρισθείη, θερμῶς ἱκετεύει τὸ θεῖον), ἐς τοσαύτην ἥκουσι θρασύτητα, ὥστε μετὰ πολλῆς ἰταμότητος, καὶ ῥαστώνης καθίζειν ἑαυτοὺς δικαστὰς ἐπὶ ὁτῳοῦν ἐγχειρήματι.

265. Ἡ κακία φόρον ὑποτελεῖ τῇ ἀρετῇ τὴν ὑπόκρισιν.

266. Χρῆσις ψεύδους ὡς δηλητηρίου φαρμάκου.

267. Φθέγγου, ὁπότε κίνδυνον φέρει τὸ σιωπᾶν.

268. Ὁπόσα σοι πράττοντι ὄνειδος φέρει, ἐκεῖνα μηδὲ τοῖς ἄλλοις ἐπίταττε.

269. Ζήτει παρὰ Θεοῦ ἰσχύν, ἵνα καὶ τοὺς ἐχθροὺς εὖ ποιήσῃς.

270. Ἔστωσαν οἱ σοὶ λόγοι εὐσεβείας μεστοί.

271. Ἐν ὁτῳοῦν ἔργῳ ἔχε πρὸ ὀφθαλμῶν τὸν Θεόν.

272. Οὐκ ἀρκεῖ τὸ εὖ λέγειν, ἀλλὰ δεῖ καὶ εὖ ποιεῖν.

273. Τὸ μὲν ζῆν οὐκ ἐφ' ἡμῖν, τὸ δὲ ὀρθῶς ζῆν πάντως τῶν ἐφ' ἡμῖν.

274. Σπούδαζε κοινωφελὴς εἶναι.

275. Εἰ θέλεις εὐθύμως ζῆν, μὴ πολλὰ πράττε· ἡ γὰρ πολυπραγμοσύνη τὴν εὐθυμίαν μειοῖ.

276. Μεταδίδου παντὶ ἀνθρώπῳ.

277. Ἔλεγχε ἐν καιρῷ, ἀλλὰ σπανίως.

278. Ὁ σοὶ σοφὸς ἐκεῖνος τῳόντι σοφός.

279. Μὴ ἀνακοπτέτω σε τοῦ εὐεργετεῖν τὸ τῶν εὖ πεπονθότων ἀχάριστον.

280. Μηδὲν λέγε περὶ Θεοῦ, ὃ οὐκ ἔμαθες περὶ Θεοῦ.

281. Ὁ οὐδένα βλάπτων οὐδένα φοβεῖται.

282. Ὃ ἀνάγκη πράττειν, ἑκὼν πρᾶττε.

283. Ἡ καρδία τοῦ φοβουμένου τὸν Θεὸν ἐν τῇ τοῦ Θεοῦ παλάμῃ δορυφορεῖται.

284. Ὁ σοφὸς καὶ σιωπῶν ὑμνεῖ τὸν Θεόν.

285. Ἔθιζε σεαυτὸν διὰ παντὸς ἐς τὸν Θεὸν ἀποβλέπειν.

286. Ὁ γινώσκων ἑαυτὸν εὐτελὴς παρ' ἑαυτῷ.

287. Θέλε λανθάνειν.

288. Ἐν διηνεκεῖ πολέμῳ ἐστὶν ὁ σπεύδων νικῆσαι ἑαυτόν.

289. Ἀόκνως ἐπὶ τὸ ἐντελέστερον σπεῦδε.

290. Τῳόντι μέγας ὁ μεγάλην ἔχων ἀγάπην.

291. Τῳόντι μέγας ὁ παρ' ἑαυτῷ εὐτελής.

292. Ὁ καθαρὸς καὶ ἁπλοῦς καὶ ἀσφαλὴς νοῦς ἐς πολλὰ ἔργα οὐ διασκίδναται.

293. Μὴ πίστευε παντὶ λόγῳ, μὴ εἶκε πάσῃ ὁρμῇ, ἀλλὰ μετὰ προσοχῆς καὶ μακροθυμίας, ὡς ἀρεστὸν Θεῷ, ζυγοστάτει τὰ πράγματα.

294. Πράττε τὸ σοὶ ἐπιβάλλον, ὅσον ἐφικτόν, καὶ παρέσται σοι ἡ ἄνωθεν ἐπικουρία.

295. Τοῖς ξένοις σπανίως ὁμίλει.

296. Πρᾶττε τὰ πρὸς οἰκοδομήν.

297. Ἡ μὲν ἀγάπη πρὸς πάντας, ἡ δὲ οἰκειότης πρὸς οὓς δέον.



www.dacoromanica.ro

298. Τὸ ὑφ' ἑτέρῳ τελεῖν ἐνίοτ' εὐθυμίας χορηγόν, ἅτε τὰς φροντίδας περιτεμνόμενον.

299. Ἡ περὶ τῶν ἰδεῶν τοῦ βίου σφαλερὰ φαντασία πολλοὺς πεφενάκικεν.

300. Ὑπὲρ τῆς εἰρήνης πολλάκις γνώμην τ' ἰδίαν καὶ πρᾶξιν ἐπαινετῶς παραιτούμεθα.

301. Ῥᾷστα τῇ ματαιότητι καταῤῥυπαινόμεθα καὶ καταδουλούμεθα.

302. Γνῶθι τὸν καιρὸν τῆς ἐπωφελοῦς μεταφυτεύσεως.

303. Ὁ πάντων ἐπιτετυχηκὼς καὶ μηδενὸς ὀρεγόμενος ἐν εὐτυχίᾳ δυστυχεῖ καὶ ὑγιαίνων νοσεῖ.

304. Οὐ μόνον πάντες, ὁπόσοι δοκοῦσιν εἶναι μωροί, εἰσὶ τῷόντι μωροί, ἀλλὰ καὶ πολλοὶ τῶν μὴ δοκούντων.

305. Μάθε ἀντιλέγειν ἐν καιρῷ.

306. Μάθε ἀμάθειαν προσποιεῖσθαι.

307. Ἔθιζε σεαυτὸν ἀμνημονεῖν.

308. Ἴσθι ἀρέσκειν τοῖς κρείττοσιν.

309. Μάθε βιοῦν ὡς ὁ καιρὸς ἀπαιτεῖ.

310. Πρᾶττε ὡς ἐπὶ μαρτύρων.

311. Μέμνησο, ὅτι ἡ φαντασία χρήζει χαλινοῦ.

312. Ἄσκει τὴν μετὰ τῶν ὑπερεχόντων συμπάθειαν.

313. Οὐδεὶς ἀγαθὸς ἑαυτῷ μόνῳ ἀγαθός.

314. Ἡ προτεραία τῆς ὑστεραίας διδάσκαλος.

315. Τὸν κίνδυνον οὐκ ἄν ποτε ἄνευ κινδύνου διαδράσῃς.

316. Φέρε σιγῶν ἃ καὶ λαλῶν οἴσεις.

317. Τὸ ζῆν εἰς δέον λαμπρότατον καὶ κυριώτατον ἔργον ἀνθρώπῳ· τὰ δὲ λοιπά, οἷον τὸ κτᾶσθαι, τὸ οἰκοδομεῖν, τὸ νικᾶν, τὸ ἄρχειν καὶ τὰ τούτοις ἀδελφά, πάντ' ἐν προσθήκης μέρει.

318. Ὁ ἑαυτὸν ἐν τῇ νίκῃ νικῶν δὶς θριαμβεύει.

319. Μηδὲν περιορᾶν.

320. Οὐ μόνον πρὸς τὸ ἐρώμενον, ἀλλὰ καὶ πρὸς τοὺς συμπολιτευομένους εἰσί τινα φίλτρα, οἷς γ' ὁπόσοι εὐφυῶς χρῶνται, κατεργάζονται ὅ τι ἂν αὐτοῖς βουλομένοις εἴη· δαιμονίως τε κηλήσαντες καταδουλοῦνται ἑαυτοῖς τό τε εὖνουν καὶ τὸ ἀντίπαλον.

321. Οὐδ' ὅλος σεαυτοῦ, οὐδ' ὅλος τῶν ἄλλων.

322. Ἡ φιλαυτία μέγας κόλαξ.

323. Οὐ μόνον τοὺς ἐπὶ φρονήσει κομπάζοντας παρατρέπειν φιλεῖ τὰ πάθη, ἀλλ' ὃ δὴ θαυμαστόν, ἐνίοις τῶν ἀνοήτων ἐπεισφρήσαντα καὶ εἰς ἀνάγκην καταστήσαντα ἐνίοτε ἄνδρας ἀγαθοὺς ἐν τῷ ἔργῳ δόξαι παρασκεύασεν.

324. Ἡ τοῖς εὐτυχοῦσιν ἐπανθοῦσα μετριοφροσύνη ὡς τὰ πολλὰ οὐκ ἀρετῆς, ἀλλὰ τύχης εὐμενοῦς ἐστι κύημα.

325. Οὐ μόνον οἱ μυρίαις κακίαις περικυκλούμενοι ἐξουδενητέοι, ἀλλ' οὐδὲν ἧττον οὐδενὸς λογίζεσθαι δεῖ τοὺς μηδεμιᾶς νεανικῆς ἀρετῆς μετέχοντας.

326. Δεινοὶ ῥήτορές εἰσι τὰ πάθη· οὐδὲ γὰρ θύραθεν ἐπείσακτον ἔχει τὴν τέχνην, ἀλλ' ὑπὸ στρατηγῷ τῇ φύσει ἀῤῥαγέσιν ὅπλοις ἐς μέσον προϊόντα δαιμονίως τὴν νίκην αἴρουσιν· ἔνθεν τοι καὶ οἱ ἐν ἀγροῖς πάθει τινὶ κατειλημμένοι οὐδενὸς τῶν ἐν τοῖς δικαστηρίοις ῥητόρων φανεῖεν δεύτεροι, οἱ δὲ παθῶν ἔρημοι ἰδίᾳ τε καὶ δημοσίᾳ ὡς τὰ πολλὰ ψυχρῶς ἀπαλλάττουσιν.

327. Αἱ μὲν ἄλλαι κακίαι αἱ πιέζουσαι τὴν τοῦ ἀνθρώπουψ υχὴν ἐς ἐπίκτησιν ἀρετῆς ἀντιῤῥόπου, νεανιευομένου τοῦ ἐφεδρεύοντος λόγου, πολλάκις ἀπελαύνονται· τὸ δὲ ἀσθενὲς καὶ ὑπτιάζον τῆς φύσεως τοσαύτην ἰσχὺν ἔχει, ὥστε μηδεμίαν θεραπείαν ἐπιδέχεσθαι.

328. Τὸ ὑπὸ φιλαυτίας μὴ μετιέναι τὰ ὁπωσδήποτε ἅπαξ δόξαντα, εἰ καὶ μὴ ὀρθῶς ἔχοι, νοός ἐστι ἀσθένεια· καὶ τὸ μὴ ἔννοιαν λαμβάνειν τὰ κρείττω πολλάκις ἐπέκεινα ἱδρῦσθαι τῆς ἡμετέρας καταλήψεως ἐξαίσιόν ἐστι διανοίας ἀῤῥώστημα.

329. Ἡ ἐπὶ τῶν ἀπὸ φύσεως καὶ ἀρετῆς προσόντων ἡμῖν ἐπίδειξις καὶ μεγαλαυχία ἐν μὲν τοῖς ἠθικοῖς πάντοτ' ἐπίμωμος, ἐν δὲ τοῖς πολιτικοῖς εὐφυῶς χωροῦσα ἐνίοτε ξυγχωρητέα.

www.dacoromanica.ro

330. Ὥσπερ οἱ βασκαίνοντες τῶν πρὸ ὀφθαλμῶν ὄντων καθικνοῦνται ἐνιέντες αὐτοῖς τὴν ἰώδη ποιότητα, οὕτω καὶ οἱ φθονοῦντες ὡς τὰ πολλὰ ὑπὸ τῆς κατ' ὄψιν θέας ἀναῤῥιπιζομένου τοῦ πάθους καὶ μισοῦσι καὶ διασύρουσι καὶ διαβάλλουσι, ναὶ μὴν καὶ καταβάλλουσι τοὺς φθονουμένους· καὶ διὰ ταῦθ', ὁπόσοι καὶ μάλιστα ἐν τοῖς πολιτεύμασιν αἰσθάνονται ἤδη ἀφόρητον εἶναι τὴν ἀρετὴν ἢ τὴν τύχην αὐτῶν, ὑπεξίστανται βασκαίνουσιν ὀφθαλμοῖς καὶ χαίρειν φράσαντες τῇ ἐξώλειαν ἐπαπειλούσῃ ἐν αὐλαῖς ἀναστροφῇ ἔν τινι ἀγρῷ πόῤῥω Διὸς καὶ κεραυνοῦ[1] διατρίβουσιν· ἔσθ' ὅτε δὲ τὰ τοῦ φθόνου βέλη τῷ Ἀβάριδος ὀϊστῷ[2] ξυμφερόμενα καὶ τοὺς πόῤῥω ποι ἀπεσχοινισμένους καιρίᾳ καταβάλλουσι τῇ πληγῇ· ἐς τοσοῦτον γὰρ ἥκει μοχθηρίας ἐνίοτε τὸ ἀνθρώπινον.

331. Οὐ σμικρᾶς ἐπιτρίβεται ζημίας τῷ εὐεργετοῦντι τὸ ἀχάριστον· ἀλλὰ καὶ τοῦτ' ἐξαίσιος λογιζέσθω ζημία, τὸ μειοῦν καὶ ἀμβλύνειν τὸ ἐς εὐποιΐαν αὐτοῦ πρόθυμον.

332. Ὥσπερ τὰ παρορώμενα τῶν νοσημάτων τῇ προόδῳ τοῦ χρόνου ἐς τὸ ἀνίατον εἴωθε προϊέναι, οὕτω ξυμβαίνει καὶ τὰς ἀπεχθείας μὴ καταπραϋνομένας ὅτι τάχιστα ἐς ἐξώλειαν ἀποσκήπτειν ὡς τὰ πολλά.

333. Τῇ μόνοις τοῖς ἀχαρίστοις ὀφειλομένῃ ποινῇ πολλάκις ἀποκναίομεν τοὺς ἴσως εὐγνώμονας φανησομένους, ἀχαριστίας δήπουθεν δέει κἀκείνους ἀποστεροῦντες ὁποιασοῦν εὐποιΐας.

334. Ὁ ἀναινόμενος φίλος εἶναι σαφῆς δίδωσιν ὑπόνοιαν ὑπουλότητος.

335. Τοὺς ὁλοσχεροῦς τελειότητος ἐφιεμένους ἐν τοῖς ἐγχειρήμασι μηδ' ὁτιοῦν δεῖ τῶν κατὰ μέρος περιορᾶν ἀθεράπευτον καὶ ἀνεπίσκεπτον.

336. Τὸ εὐμετάβολον τῆς τύχης, ὅσης ἀθυμίας πρόξενόν ἐστι τοῖς εὐτυχοῦσι, τοσαύτην ἐναλλὰξ εὐθυμίαν ἀποστάζει τοῖς δυστυχοῦσι, ταῖς ἐξ ὑπογυίου ἐλπίσι τῆς εἰς τὸ κρεῖττον μεταβολῆς ἀνορθοῦν τὸ καταπεπτωκὸς τοῦ φρονήματος.

337. Τῶν προτερημάτων ὁπόσα ἐν δέοντι λίαν εὐφυῶς προβαίνουσιν ἐς τὸ τοῦ βίου θέατρον, καταπλήττει μᾶλλον τοὺς ὁρῶντας ἤπερ αἱ ἐν παραβύστῳ κείμεναι ἀρεταί, αἱ τῷόντι ἀσφαλεῖς καὶ ἀκήρατοι.

338. Τοῦ προορᾶσθαι τὰ μέλλοντα τῶν ἀτυχημάτων ῥᾷόν ἐστι τὸ γενναίως φέρειν τὰ ἤδη παρόντα.

339. Τὸ κοῦφον καὶ εὔηθες τῶν ταῖς ὑπὲρ τὸ μέτρον εὐεργεσίαις σεμνυνομένων ἐστὶν ἐν αἰτίᾳ, ὥστε πολλοὺς διὰ τῆς ἀχαριστίας ὥσπερ διά τινος κλίμακος χωροῦντας πολλάκις ἀποδρέπεσθαι προσφάτους χαρίτων καρπούς, γέλωτα πολὺν καταχέοντας τῆς ἀπλέτου σκαιότητος τῶν ἐπὶ θήρᾳ ἐξιτήλων ἐπαίνων προϊεμένων τὰ ὑπάρχοντα.

340. Ἀγάπη καὶ φθόνος δικάζουσιν ὡς τὰ πολλὰ τὴν περὶ τῶν ἀλλοτρίων πράξεων κρίσιν

341. Καὶ αἱ ἀτυχίαι φέρουσί τι καλόν.

342. Ἥκιστ' ὠφελούσης ἀθυμίας, μᾶλλον αἱρετέον τὴν κατὰ ψυχὴν ἠρεμίαν, τὴν μυρίων ὅσων ἀγαθῶν χορηγόν.

343. Ἡ ἀγαθὴ τῶν πλειόνων ὑπόληψις ἐξωνεῖται τὰ παρ' ἐνίων ὀνείδη.

344. Κτῶ ἐρύματα καὶ βοηθήματα τῷ βίῳ.

345. Ὥσπερ ἰατροῖς γνώριμα εἶναι προσήκει ἔν τε ταῖς θεραπείαις ἔν τε τῇ λοιπῇ διαίτῃ τὰ πολύχρηστα καὶ πάγχρηστα, οὕτω κἂν τοῖς πολιτεύμασιν ὁπόσοις πρόχειρα τὰ ἐν τῷ βίῳ πάγχρηστα· ἐκεῖνοι τῷόντι θᾶττον ἐπιτυχεῖς γιγνόμενοι τῶν σκοπουμένων τῇ μεγαλουργίᾳ τοὺς συμπολιτευομένους ἀκμὴν καταπλήττουσιν.

346. Οἱ ἐν δυστυχίαις ὄντες οὐδενὸς οὕτω χρήζουσιν, ὡς τοῦ ζῆν· τῆς γὰρ ζωῆς ἐκτεινομένης Θεοῦ συναιρομένου, πέρας λαμβάνουσι τὰ τῆς δυστυχίας.

347. Καθάπερ ἡμέρα καὶ νὺξ τῇ ἀλληλοδιαδόχῳ περιόδῳ παρέχουσι τούς τε πόνους ἐλαφροτέρους καὶ τὴν ἠρεμίαν ἡδίω, αἵ τε τοῦ ἔτους ὧραι νεαρώτερ' ἀποδιδόασι τὰ κηλοῦντα καὶ θέλγοντα, οὕτω καὶ αἱ μετὰ τὰς περιπετείας εὐτυχίαι πολλῷ τερπνότεραι εἰώθασιν ἀπαντᾶν τοῖς μυρίων πειραθεῖσι δεινῶν.

---

[1]) Πρβλ. Corpus paroem. τ. 2, σ. 620.

[2]) Ἴδε Σουΐδαν ἐν λ. Ἄβαρις.

www.dacoromanica.ro

348. Ἄλλοι μὲν ἐπαινοῦντες τῇ γλώσσῃ, οἱ δὲδ ἄκνοντες τοῖς ὀδοῦσι τῶν σκοπουμένων ἐπιτυγχάνουσι.

349. Τὸ εὐφυὲς ἐς εὕρεσιν διαδύσεων θᾶττον ἀπαλλάττεται τῶν ἐπηωρημένων κινδύνων.

350. Ταῖς ἀποβάσεσι χαρακτηρίζεται τὰ ἐγχειρήματα.

351. Τὸ μήπω ἀπόπειραν ποιησάμενον τῆς ἰδίας δυνάμεως ὁμολογεῖν ἑαυτὸν ἥκιστ' ἰσχύειν ἐπαμῦναι φίλῳ ἐν δεινοῖς ὄντι, τί ἂν ἄλλο εἴη ἢ σκῆψις ἀμφιλαφὴς τοῦ τὴν ὑπάρχουσαν ἄντικρυς ἐξομνυμένου φιλίαν;

352*). Εἴ γε τὸ ἀχάριστον ἰσχυρότερον ἦν τοῦ μεγαλοψύχου καὶ μεγαλόφρονος, οὐδεὶς ἂν εἶχε δὶς ἐπ' ἀχαριστίᾳ θριαμβεῦσαι.

353. Οἱ ἐπὶ τοῖς ἡμαρτημένοις μεταμελόμενοι οὐμένουν ἐξόμνυνται ὡς ἐπιτοπολὺ τὴν προτέραν ἀναστροφήν, ἀλλ' ἐπιπολαίῳ τινὶ μετανοίᾳ ἀφοσιοῦνται τοὺς ἐπικρεμαμένους κινδύνους.

354. Ἀρετῆς πρόσχημα οὐδὲν μεῖον κακίας ὑπηρετεῖ ταῖς τῶν ἀνθρώπων ὁρμαῖς.

355. Τὸ πολυτάραχον καὶ πολύμοχθον τῶν ἀνθρώπων ἥκιστα μεταβάλλει τὴν τάξιν τῆς θείας προνοίας.

356. Φιλαυτία καὶ ῥαθυμία πολλῶν εἰσι γόνιμοι προφάσεων· ἐς τοῦτο δ' ἐνίοτε σκαιότητος χωροῦσιν, ὥστε καὶ τῇ ἐπιπλάστῳ τῶν μὴ προσόντων ἐλαττωμάτων προσποιήσει ἐξωνεῖσθαι πολλάκις τὴν ἐπιφυομένην αὐταῖς ἀδοξίαν.

357. Ἀσφαλὴς φιλία κτῆμα παμφορώτατον, γονιμώτατον, πολυτελέστατον.

358. Ὅ τι ἂν πράττῃς μὴ ἀργῶς καὶ ἀνειμένως πρᾶττε.

359. Κυριώτατον ἔργον ἀνθρώπου δῆθεν ἐν τῷ παρόντι βίῳ τὸ ζῆν.

360. Ἔθιζε σεαυτὸν ὁμιλεῖν μετ' εὐθυμίας καὶ τοῖς ὑποδεεστέροις.

361. Ἔλπιζε τὰ κρείττω.

362. Ἡ τοῦ νοὸς ἰσχὺς ὑπείκει ὡς ἐπιτοπολὺ ταῖς τῆς καρδίας κινήσεσι.

363. Τὸ παραδιδόναι τὴν ναῦν τοῖς κύμασι καὶ τοῖς ἀνέμοις τὰ ἱστία δεῖγμ' ἐστὶν ἐνίοτε ἀγαθοῦ κυβερνήτου.

364. Ὁ διαπαντὸς ἐν προχείρῳ ἔχων τὴν σαγήνην πάντως ἐπιτυγχάνει τῆς ἄγρας.

365. Ἐν τῇ κατὰ ψυχὴν ἠρεμίᾳ ὑφίσταται ἡ τῶν ἀνθρώπων εὐδαιμονία καὶ διὰ τοῦτο πάντες ἐφικέσθαι σπεύδουσι γαλήνης καὶ εὐθυμίας· οἱ μὲν πολλοὺς λόγους κυκῶσιν, οἱ δὲ διὰ τῆς συντομωτέρας ἰόντες ὁδοῦ μονονουχὶ μεμυκόσιν ὀφθαλμοῖς ὑπείκουσι τοῖς ἐπιτάγμασι τῆς προνοίας· καὶ οἱ μὲν ἀραρόσι λόγοις ἐπερειδόμενοι, οἱ δὲ διὰ τῆς ἀκραιφνοῦς ὑποταγῆς χωροῦντες ἥκουσιν ἀμφότεροι ἐς τὸν τῆς ἀνεπιμώμου ἀδιαφορίας βαθμόν, ὀλίγον φροντίζοντες ὅπως ποτ' ἂν ἀποβαίη τὰ ἐν τῷ βίῳ· τῆς τοιαύτης δ' ἀδιαφορίας ἐστὶ γονὴ ἡ κατὰ ψυχὴν ἠρεμία καὶ εὐθυμία.

366. Τῶν ἐπαίνων οἱ γ' ἀπὸ τῶν ἐς φῶς προϊουσῶν ἀναφυόμενοι πράξεων τῶν διὰ τῶν ἐπιθέτων ὀνομάτων ὡς ἔθος γιγνομένων ἀληθέστεροι ἅμα καὶ ἀσφαλέστεροι

367. Αἱ ἐν τῷ μετρίῳ κείμεναι ἀρεταὶ λανθάνουσιν ὡς τὰ πολλὰ ἑκουσίως ἀποκλίνουσαι βασκαίνοντας ὀφθαλμούς· ὁρᾷ δὲ καὶ τέθηπε τὰς ὑπερβολὰς τὸ ἀνθρώπινον· ὅθεν οὐ μόνον τῷ ἐς ὑπερφυῆ βαθμὸν ἀρετῆς ἀφικομένῳ, ἀλλὰ καὶ τῷ πόῤῥω κακίας ἁπάσης ἐληλακότι ἥρωος περιτίθησιν ὄνομα.

368. Ἐχθρῶν ἢ φίλων ἡμᾶς ἀπατώντων ἐκτόπως ἀσχάλλομεν, ἡμεῖς δὲ ἡμᾶς αὐτοὺς ἀπατῶντες μηδαμῶς δυσχεραίνομεν.

369. Τὸ προσηνές, τὸ εὐξύμβολον, τὸ συγγνωμονικὸν οὐ μόνον κτᾶται καὶ φυλάττει τὰς εὐνοίας, ἀλλὰ ῥᾳδίως θεραπεύει καὶ τὴν ἀπέχθειαν.

370. Ὁ τοὺς ἄλλους οἰόμενος ἀπατᾶν ἄντικρυς ἀπατᾶται.

371. Οὐ μόνον αἱ περὶ τὸ πρόσωπον ἀμορφίαι, ἀλλὰ καὶ τὰ τοῦ νοὸς ἀῤῥωστήματα γηράσκοντ' ἀποβαίνουσι χαλεπώτερα.

372. Πρὸς τοῖς ἄλλοις καὶ τόδε βασιλεῦσι πρόσεστιν, ὁλοκλήρους ἀλλ' οὐκ ἐξ ἡμι-

---

*) Ἀπέναντι τούτου ἐν τῇ ᾤᾳ τοῦ κώδικος· «*Ἐχρ' ἡμῖν καὶ τὸ καλῶς καὶ τὸ κακῶς ἀκούειν.* Φίλ: Μακ.»

www.dacoromanica.ro

σείας ἑαυτῶν ἐθέλουσιν εἶναι τοὺς ὑπηρετουμένους αὐτοῖς· τί δ' ἐξ ἡμισείας φημί; οὔτε τοῦ πολλοστοῦ συγχωροῦσιν αὐτοῖς μεταδοῦναι γυναικί, τέκνοις, φίλοις, ἑαυτοῖς, ἀλλ' ἀνάγκη τὸν παρ' αὐτοῖς βουλόμενον ὁπωσοῦν εὐδοκιμῆσαι ἀποτάξασθαι οὐ μόνον κόσμῳ καὶ σώματι, ἀλλὰ καὶ αὐτῇ ἄντικρυς τῇ ψυχῇ· ἀπίτω ἄρα, ὁτῳοῦν εἴη βουλομένῳ, καὶ ἐπὶ τοιαύταις συνθήκαις τοῖς βασιλεῦσιν ὑπουργείτω.

373. Ἡ στάσεις κινοῦσα καὶ ἐχθροὺς γεννῶσα φιλία τῆς ἔχθρας οὐδὲν ἦτον ἐπιζήμιον.

374. Τὸ ἐρίζειν πρὸς τὰς εὐποιΐας μεγαλοψυχίας ἐπίσημός ἐστι χαρακτήρ.

375. Ὁτῳοῦν ἐξαίσιός ἐστι πρόσοδος, ἡ ἐπίκαιρος χρῆσις τῶν ἐπῳδῶν, αἷς εἴωθε κηλεῖσθαι τὸ ὁμόφυλον.

376. Τὸ μὴ ἐς τὸ μεταμελησόμενον προϊέναι μέτρον ἐστὶν οὐ μόνον ὀργῆς εὐφήμου, ἀλλὰ καὶ πραότητος.

377. Αἱ ἐλπίδες ἐγρηγορότων εἰσὶν ἐνύπνια καὶ ἀπατῶσιν ὡς τὰ πολλὰ τοὺς οὐκ ἐν δέοντι τεθαῤῥηκότας· δεινοῖς δὲ παλαίουσιν ὀνησιμώτερον τὸ εὔελπι τοῦ ἐς ἀπόνοιαν ἐκτραχηλίζεσθαι λεπτουργοῦντας τὰ περὶ αὐτοὺς χαλεπά· οὐ μόνον ἄρα τὸ διὰ προσηνεστέρων λογισμῶν χωροῦντα σῴζεσθαι ἐν εὐχῆς ἐστι μέρει, ἀλλὰ καὶ τὸ δι' ἐλπίδων, οἱονεὶ διὰ γλυκυτάτου ὕπνου, ἐπὶ τὸ τοῦ βίου τέρμα κατολισθαίνειν ἀνεπαισθήτως πολλῷ κουφότερον τοῦ ἐκ τοῦ ἀπεῤῥωγότος τραχύτητι λογισμῶν καὶ μονονουχὶ τῷ φόβῳ προαποθνήσκοντας τοῖς ἐσχάτοις προσαράσσειν κινδύνοις.

378. Ὁτῳοῦν ἀρέσκοντός σοι οὕτω παρασκεύαζε σεαυτόν, ὅπως ἀρέσῃς τῷ ἀρέσκοντι· ἅπαν γὰρ ἁλώσιμον τῇ γ' ὁμοίᾳ διαθέσει.

379. Πολλάκις, ῥαθυμίας ἢ δειλίας ἔργων λαμπρῶν ἐγχειρήσεως ἡμᾶς ἀναχαιτιζούσης, ἡ φρόνησις ἑαυτῇ τὸ πᾶν ἐπιγραφομένη εὐφυῶς καλύπτει τὴν ἡμετέραν ἀσθένειαν.

380. Μὴ ἀπείρως ἔχε ἐς θήραν ἀνθρώπων.

381. Ὁ φεύγων τὴν ἔργῳ παντὶ ἐνιζάνουσαν καὶ μονονουχὶ συμπεφυκυῖαν αἰτίαν, οὐδενὸς θ' ἁπτόμενος ἔργου, ἀξύμβολος καὶ ἀνώνυμος ἐν τῷ κοινῷ θεάτρῳ περιϊὼν εὐκλεῆ πάντως διανύσει βίον.

382. Συχνοί τινες τῶν οὐκ ἐγχειριζομένων αὐτοῖς ἀρχῶν τῇ διοικήσει ἐκ περιουσίας ἱκανοὶ εἶναι δοκοῦσιν, οἵ γ' ἴσως ἐπὶ τοῖς πράγμασι γενόμενοι ἐψεύσαντο ἂν τὴν περὶ αὐτῶν φθάσασαν ὑπόληψιν.

383. Ἐνίοτ' ἐν δέοντι χρυσὸν καταβαλόντες ἐλπίδας ὠνούμεθα.

384. Οὐδεὶς πάντοτε σοφός.

385. Οἱ γεωργοὶ δυστυχήσαντες περὶ τὸν ἀμητὸν θαῤῥαλεώτερον σπείρουσιν.

386. Εὐπλοήκασιν, ὁπόσοι μετὰ τὸ ναυάγιον τοῦ πελάγους κατατετολμήκασι.

387. Μετὰ τὴν ἀποτυχίαν ἀπόπειραν δεῖ ποιεῖσθαι τῆς τύχης.

388. Οὐδὲν ὅλως τέλειον οὐδ' ἀναίτιον οὐδ' ἀνέγκλητον ἐν τῷ βίῳ· τὸν ἐγχειροῦντα ἄρ' ὁτῳοῦν ἔργῳ δι' αὐτῶν τῶν ἐγκλημάτων δεῖ ἐς τὸ πρόσω χωρεῖν ταῖς ἀπαντώσαις εὐκλείαις πᾶσαν αἰτίαν ἐξωνούμενον.

389. Ἡ ἑκάστου περὶ τὸν πλοῦτον διάθεσις μετὰ τὴν ἀποβολὴν τοῦ πλούτου κατάδηλος γίγνεται.

390. Οὐ μόνον αἱ εὔνοιαι γεννῶσι τὰς εὐποιΐας, ἀλλὰ πολλάκις ἐξαισίου τινὸς εὐποιΐας εἰσὶν αὗται γοναί· κἀπειδὰν φθὰς εὐηργέτηκέ τις οὕτω, πρυτανευούσης τῆς τύχης, τὸν πρὶν μηδαμῶς αὐτῷ φιλίᾳ συνημμένον, τοαποτοῦδε φιλεῖ τὸν εὖ πεπονθότα καὶ ὡς ἑαυτοῦ κτῆμα περιέπει καὶ περιθάλπει· καὶ διὰ τοῦτ' ἄρα οἱ τῶν ἀρχόντων τὰς εὐνοίας θηρώμενοι δεξιῶς ὀφείλουσιν εἰς εὐποιΐαν αὐτοὺς ἀνεγείρειν, ὅπως ἐς τοὐπιὸν ἀσφαλῶς ἀπολαύειν ἔχωσι τῆς παρ' αὐτῶν εὐνοίας.

391. Τὸ πλούσιον καὶ περίδοξον ὄντα ἀνέπαφον φυλάττειν τὴν ψυχὴν καὶ μὴ προστετηκέναι μήτε πλούτῳ μήτε δόξῃ ἀληθής ἐστι πτωχεία.

392. Ἡσθείην ἢ μανείην;

393. Τοῖς μεγαλοψυχίας περιουσίᾳ μετὰ τὴν ἀποβολὴν τῶν ὑπαρχόντων εἰς ἑαυτοὺς

www.dacoromanica.ro

συνειλουμένοις καὶ φιλοσόφῳ τῳόντι φρονήματι τῆς κατὰ ψυχὴν ἀμφιλαφῶς ἀπολαύουσι γαλήνης οἱ παραμυθητικοὶ λόγοι ἀηδεῖς ἀπαντῶσι καὶ φορτικοί, ὥσπερ ἡ τῶν φαρμάκων ὑπόμνησις ναυτιᾶν ποιεῖ τοὺς ἀσφαλῶς ὑγιαίνοντας.

394. Ἀκαριαία πραότης πολυχρόνιον διεσκέδασε πολλάκις λύμην.

395. Ἐπιβάταις μὲν καὶ ναύταις ἔξεστιν ἐξ οὐρίας φερομένης τῆς νηὸς μεθύσκεσθαι καὶ ᾄδειν καὶ ῥέγχοντας καθεύδειν, κόπτεσθαι δὲ κυμαινομένης αὐτῆς· τῷ δ' ἐπειλημμένῳ τῶν οἰάκων εὐπλοοῦντι μὲν ἡ ψυχὴ κυμαίνεται τὸ μέλλον ὑφορωμένη, κυμαινομένῳ δ' ἐπανθεῖ πολὺ τὸ γενναῖον καὶ μεγαλόφρον.

396. Οὐ μόνον ἐπιτομωτέρα, ἀλλὰ καὶ ἰσχυροτέρα ἡ διὰ τῶν παραδειγμάτων ὁδός· καὶ γὰρ καὶ ἐν αὐτῇ τῇ φύσει τοσαύτην ἔχουσι δύναμιν τὰ παραδείγματα, ὥστε τοῖς ἰνδάλμασι τῶν παρακειμένων τύπων ἐνίοτ' ἀναρπαζομένην αὐτὴν καὶ τῆς εὐθείας παρεκτρεπομένην μυρί' ἀποτιτρώσκειν ἔν τε ζῴοις καὶ φυτοῖς τέρατα· καὶ τὸ ἀνθρώπινον ἄρα διεγείρεται μὲν ἔσθ' ὅτε ἐς μίμησιν γειτνιαζούσης ἀρετῆς, ἐκπομπεύει δὲ πολλάκις καὶ τὰς ἐνδομυχούσας κακίας, τὰς ἐπιπολαζούσας τοῖς ὁμιλοῦσι μοχθηρίας ἀπερικαλύπτῳ κεφαλῇ, καὶ μέχρι αὐχήματος μιμούμενον.

397. Θεία ῥώννυσι χεὶρ τὸ ἀνειμένον τῆς πραότητος.

398. Οἱ μὲν μὴ ἐμβαθύνοντες ἐς τὴν τῶν ἀρετῶν οὐσίαν τὴν ἀμιγῆ παντάπασιν ὀργῆς διάθεσιν καλοῦσι πραότητα, οἱ δ' ὀρθῶς αὐτὴν ὁριζόμενοι τὴν ἐν δέοντι ὀργὴν τῷ τῆς πραότητος κοσμοῦσιν ὀνόματι.

399. Κόσμος εὐσεβείας πραότης.

400. Σμικρὰ παράβλεψις μεγάλας ἐρύκει βλάβας.

401. Τοῖς γε εὖ φρονοῦσι παχύτερόν πως δεῖ ξυνυφάνθαι τὸν τῆς τιμῆς χιτῶνα, ἵνα μὴ ὁτουοῦν ἐμπίπτοντος ζωϋφίου διαῤῥήγνυται.

402. Ἔνεστι παντὶ ἀνθρώπῳ σπινθὴρ ἀρετῆς.

403. Ἡ τῳόντι γενναία καὶ ἀσφαλὴς νίκη τῆς ἥττης οὐδὲν ἧττον ἀποποιεῖται τὴν ἐκδίκησιν.

404. Τὸ καὶ μετὰ τὸν θρίαμβον ἐπεμβαίνειν τῷ πτώματι τοῦ ἐχθροῦ ὑπερπαίει πᾶσαν ὠμότητα.

405. Ἀκροχορδὼν ἐστιν ἐπὶ τῷ παγκάλῳ τῆς νίκης προσώπῳ ἡ ἐκδίκησις.

406. Ἀκοσμία νίκης τὸ μετὰ τὴν νίκην φιλέκδικον τοῦ νικήσαντος.

407. Ἡ δίδυμος νίκη ἀκήρατος τῷ νικήσαντι στέφανος.

408. Ἡ ἐν ἀσφαλείᾳ τῶν πραγμάτων ὄντων τιμωρία ἀποτρόπαιος ἄντικρύς ἐστιν ἐκδίκησις.

409. Ἡ τοῖς ἡττηθεῖσι νεμομένη συγγνώμη οἱονεὶ ἀποδεκάτωσις προσφέρεται τῷ χορηγῷ τῆς νίκης Θεῷ.

410. Ὁ μετὰ τὴν νίκην τὴν συγγνώμην ὑπερτιθέμενος διαῤῥήδην ἱερόσυλός ἐστι νοσφιζόμενος τὰς ὀφειλομένας τῷ χορηγῷ καὶ ταμίᾳ τῆς νίκης δεκάτας.

411. Ὁ ὑπὸ τῆς νίκης νικώμενος ἐξ ἡμισείας νενίκηκε.

412. Φείδου τῶν σῶν φίλων.

413. Καπηλικὴ ἄντικρύς ἐστι καὶ βάναυσος φρόνησις ἡ ὅρον ἔχουσα τὸ οἰκεῖον μόνον συμφέρον καὶ ἀπὸ παντὸς κερδαίνειν ἐθέλουσα, ἀμιγὴς μεγαλοπρεπείας, ἀμιγὴς μεγαλοψυχίας καὶ ἐς χαμαίζηλον τάξιν τοὺς μετιόντας αὐτὴν οἰκτρῶς κατασπῶσα καὶ καταβιβάζουσα.

414. Ἡ φύσις ὑπουργεῖ πολλάκις τῇ τύχῃ· ὃν γὰρ ἡ τύχη καταβαλεῖν ἐθέλει, τοῦτον καὶ ἡ φύσις αὐτὴ μονονουχὶ χαριζομένη τῇ τύχῃ μυρίαις αἰκίζει ποιναῖς· Ἐκπέπτωκέ τις, τερατευομένης τῆς τύχης, τῆς βασιλέως εὐνοίας· αὐχμῷ καταξηραίνει τὰς ἀρούρας αὐτῷ ἡ φύσις, ἐρυσίβη φθείρει τὰ λήϊα, ἐπινέμεται λοιμὸς τὰς ἀγέλας, θάνατος ἀφαρπάζει τὰ τέκνα· ἀλλὰ καὶ ἡ τύχη ἀμοιβαίως ὑπηρετεῖ τῇ φύσει πολλάκις· εἰ γὰρ ὁποιαισοῦν ἀρεταῖς ἐπικοσμήσοι τοὺς αὐτῆς ἥρωας ἡ φύσις, ἄνευ τῆς ἀπὸ τῆς τύχης συμμαχίας οὐδὲν ἀξιάγαστον ἔχουσιν ἐπιδείξασθαι ἐν τῷ τοῦ βίου θεάτρῳ.

415. Οὐαὶ ἐκείνῳ, ὃν τύχη καὶ φύσις ξυνομωμοκυῖαι διώκουσιν.

www.dacoromanica.ro

416. Οὐ μόνον ἐν τοῖς θείοις ἡ τῶν πεπλημμελημένων ἐξομολόγησις συγγνώμης ἐστὶ ποριστική, ἀλλὰ κἀν τοῖς πολιτεύμασι, μηδεμιᾶς ἄλλης ἀναφαινομένης ἐπὶ τοῖς ἐπταισμένοις θεραπείας, ἡ ὁμολογία τοῦ ὀλισθήματος οὐ μόνον μυρίων ἐξείλετο κινδύνων τοὺς ὡς ἐς ἄσυλον εἰς αὐτὴν καταπεφευγότας, ἀλλὰ δὴ καὶ τὰ ἀνιάτως ἔχειν δοκοῦντα αὐτίκα καίριον εἴληφε τὴν θεραπείαν παρὰ τοῦ ἄρχοντος.

417. Οἱ εὖ φρονοῦντες καὶ ἀπὸ τῶν δεινῶν ὠφελοῦνται· πολλοὶ ἄρα καὶ ταῖς νόσοις ἐς δέον ἐχρήσαντο οὐ μόνον πεπονηκὸς ἀνακτησάμενοι τὸ συνειδός, ἀλλὰ καὶ ὑγείας πάλιν ἐπανελθούσης ἐπιμελέστεροι γενόμενοι περὶ τὴν ἐκείνης φυλακήν· πολλοὶ δὲ καὶ ὑγιαίνοντες μόνῃ τῇ τοῦ νοσηλεύεσθαι προσποιήσει ἐν τοῖς πολιτεύμασιν ἐνίοτε μεγάλως ἀπώναντο· πολύχρηστος ἄρα τοῖς νουνεχεστέροις ἡ τοῦ νοσεῖν πρόφασις.

418. Ἡ τῶν ἀπὸ τύχης ἀγαθῶν περιβολὴ καλὴ τῷ εὖ φρονοῦντι θεραπαινίς, ἀπηνεστάτη δὲ δέσποινα τοῖς ἄφροσιν.

419. Ὁπόσοι αὐλικαῖς ἀρεταῖς μὴ συγκεκροτημένοι ἐν ταῖς αὐλαῖς βιοῦσι, καταγελῶνται καθάπερ οἱ πίθηκοι.

420. Τοὺς ἐπὶ γῆς βασιλεῖς πρὸς τοὺς μεγίστους τῶν ἀστέρων οὐκ ἀφυῶς ἀπεικάσαιμεν· αἱ γὰρ παρ᾽ αὐτῶν ἐπιῤῥοαὶ οὐ μόνον τοὺς κατὰ μέρος ἀνθρώπους, ἀλλὰ καὶ ὁλόκληρα φῦλα καὶ ζωογονοῦσι καὶ φθείρουσιν.

421. Ὥσπερ ἡ τύχη κατά τε φύσεως καὶ ἀρετῆς θριαμβεύουσα ἀπλέτῳ πλούτῳ καὶ δόξῃ πολλάκις περιβάλλει τοὺς καὶ σῶμα καὶ ψυχὴν μοχθηρούς, οὕτως ἀπ᾽ ἐναντίας ἀρετὴ καὶ φύσις ἐνίοτε καὶ κάλλει καὶ ὑγείᾳ καὶ ῥώμῃ καὶ πολυτελεστάταις ἀρεταῖς κοσμοῦσιν οὓς ἡ τυφλώττουσα τύχη ἐν ἐσχατιᾷ τινι ἀπεῤῥιμμένους καταλέλοιπε.

422. Ἡ φήμη ποταμοῦ δίκην αἴρουσα τὰ κοῦφα καταβυθίζει τὰ στερεά.

423. Ὁ συρφετώδης ὄχλος ἐπαινεῖ τὰς χαμαιζήλους ἀρετάς, τέθηπε τὰς μετρίως ἐξεχούσας, οὐδεμίαν δ᾽ αἴσθησιν ἔχει λαβεῖν κορυφαίων ἀρετῶν.

424. Τύραννός ἐστιν ἡ συνήθεια ἀντιμαχομένη τῇ φύσει, ἀλλ᾽ ἀπὸ σμικρᾶς αἰτίας ἔσθ᾽ ὅτε καταβάλλεται.

425. Οὐκ ἀπεικότως ἔφη τις τὴν τύχην ὁμοίαν εἶναι τῷ τοῦ γάλακτος κύκλῳ· οἱονεὶ δεσμὸς γάρ ἐστι μήτε φαινομένων μήτ᾽ ὀνομάτων εὐμοιρουσῶν ἀρετῶν.

426. Ἡ ἑνός τινος ἄνοια τῆς θατέρου πολλάκις εὐτυχίας μήτηρ ἐστί.

427. Τὸ τὰ περὶ τὴν ζωὴν μᾶλλον τιμᾶν ἢ αὐτὴν τὴν ζωὴν ἀφροσύνης λαμπρόν ἐστι δεῖγμα.

428. Ὥσπερ τῷ πιθήκῳ ἡ πρὸς τὸν ἄνθρωπον ὁμοιότης προσθήκη ἀμορφίας ἐστίν, οὕτω καὶ τὸ δεισιδαιμονοῦν πρὸς εὐσέβειαν καλλωπιζόμενον καταγελαστότερον.

429. Τὸ ἐπιτετηδευμένον καὶ μὴ κατὰ φύσιν ἰὸν ἔν τε πολιτικῇ κοινωνίᾳ καὶ ἐν αὐτῇ τῇ περὶ τὸ θεῖον λατρείᾳ ἐφέλκεται τῶν ὑγιᾶ νοῦν ἐχόντων τὴν ἀπέχθειαν.

430. Ὁπόσοι τῶν ἀρχόντων οὐδενὸς φεισάμενοι πόνου ἐπὶ τῇ φυλακῇ καὶ βελτιώσει τοῦ πολιτεύματος τὸ αὐτοῖς ἐπιβάλλον ἀποπεπληρώκασι· τῶν πραγμάτων σκαιῶς ἀποβάντων, ἥκιστα μωμητέοι· «δεῖ γὰρ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρεόντας καὶ τὰ ἔξωθεν»· τοῦτο δ᾽ ὡς τὰ πολλὰ οὔτε τῆς τῶν ἰατρῶν οὔτε τῆς τῶν ἀρχόντων ἐξουσίας ἤρτηται.

431. Ἀνάπλαττε καὶ ἀνανέαζε σαυτόν, εἰ δυνατὸν ὁσημέραι.

432. Πρόσεχε, μήποτε παραῤῥυῇς.

433. Ἔχε ἀνδρεῖον λῆμα.

434. Μὴ ἔσο καπηλικὸς τὴν διάνοιαν.

435. Ἐν τοῖς πολιτεύμασι τὸ ἄκρατον ἐν ὑπονοίαις παραφερόμενον ἄντικρυς μαίνεται.

436. Ὀργὴ καὶ δειλία βιαίων βουλῶν εἰσιν ἀμορφόταται μητέρες.

437. Τὸ ἐν πολιτεύμασι βίαιον ὀργῆς καὶ δειλίας γόνος ἐστί.

438. Τὰ βίαια καὶ μὴ ἐν δέοντι διδόμενα φάρμακα ἐγκύμονά εἰσι νέων κακῶν.

439. Ἡ ἀνάγκη σύμβουλος ἅμα καὶ ἐνεργὸς φιλεῖ γίγνεσθαι βιαίων ἐγχειρημάτων.

www.dacoromanica.ro

440. Οἱ πλείους τῶν κινδύνων οὐ κρατοῦσι τῶν γενναίων, ἀλλὰ μόνῃ τῇ φήμῃ καὶ ὑπολήψει καταπλήττοντες ἀπατῶσιν αὐτούς.

431. Ἡ μὲν ποιὰ ἀλλοίωσις ἔν τε τῇ παράσκευῇ καὶ ἐν αὐτῷ τῷ ἔργῳ ἐν δέοντι διοικονομουμένη ἐς ἐπιτυχίαν συντείνει τῶν σκοπουμένων· τὸ δ᾽ ἀφ᾽ ἑτέρων εἰς ἕτερα παντάπασι διαλλάττοντα μεταπηδᾶν ἀλαζονείας μεστὸν καὶ πρόξενον ἀτυχίας.

442. Διαιτητέον ἐκ περιτροπῆς τὰ τῆς παρασκευῆς καὶ τὰ τῆς ἐγχειρήσεως.

443. Ἡ ἐν ταῖς παρασκευαῖς ἀκρασία κατασπαθᾷ πολλάκις ἐν τῇ τῶν πραγμάτων ἀκμῇ σκαιῶς προϊεμένη τὰς εὐκαιρίας.

444. Τὰ σμικρὰ πταίσματα οὐ μόνον ὀνήσιμα, ἀλλὰ καὶ ἀναγκαῖά ἐστιν ἔσθ᾽ ὅτε τοῖς πολιτευομένοις· αἱ γὰρ ἐς ἄκρον εὐεξίαι πανταχοῦ σφαλεραί.

445. Οἱ τοῖς βασιλεῦσιν ὑπουργοῦντες οἱ μὲν ἀλύουσι καὶ ἀσχάλλουσι λόγῳ ἢ σιωπῇ ἢ σχήματι ἐνίοτ᾽ ἀποκναιόμενοι, οἱ δὲ φρενῶν εὖ ἥκοντες τοὺς ἐμπείρους μιμούμενοι τῶν ἰατρῶν καὶ ἑκουσίοις ἔσθ᾽ ὅτε πταίσμασι λύουσι τὴν ἐπ᾽ ἄκρον εὐεξίαν, τὴν βασκαίνουσαν τύχην ταύτῃ πως δυσωπούμενοι.

446. Παχύτερον ὁμίλει τοῖς πράγμασιν· οὕτω γὰρ αἵ τε ἐπιτυχίαι μᾶλλον εὔωνοι καὶ αἱ ἀποτυχίαι ἧττον ἐπιζήμιοι· σφαλεραὶ δ᾽ ἐν τῷ βίῳ αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται.

447. Φύλαττε καὶ ἐν δέοντι χρῶ τῇ ἀποποιητικῇ καὶ ἀποκρουστικῇ δυνάμει· ὠφελεῖ γὰρ οὐδὲν ἧττον τῆς ἑλκυστικῆς.

448. Ἀνθρωπίνως προσήκει μετὰ τῶν ἀνθρώπων ἀναστρέφεσθαι· τοὺς γὰρ πάνυ λεπτολογουμένους καὶ διακριβωμένους λόγους τε καὶ πράξεις ἢ ὡς φωτὸς ἢ ὡς σκότους ἀγγέλους ἢ ἐκπληττόμενοι ἢ δεδιττόμενοι φεύγουσιν οἱ ἄνθρωποι.

449. Τῶν φίλων κακῶς πασχόντων ἐν αὐτοῖς προοιμίοις ἀποκρύπτεσθαι καὶ διαδύεσθαι καὶ μηδ᾽ ἀπόπειραν τῆς ἰσχύος ποιούμενον εὐφυῶς παραιτεῖσθαι τὰς ἐπικουρίας καὶ λειτουργίας, τί ἄλλο ἂν εἴη, ἢ διαῤῥήδην ἐξόμνυσθαι τὴν ὑπάρχουσαν φιλίαν;

450. Πρῶτον ἄνθρωπος, ἔπειτα τέκτων, ἢ γεωργός, ἢ ἔπαρχος, ἢ βασιλεύς.

451. Ὀφθαλμοῖς μὲν σώματος ἀπαντᾷ πρῶτα τὰ συμβεβηκότα, τὰ δὲ τοῦ νοὸς ὄμματα παραδραμόντα τὰς ἐπιφανείας ἐς τὴν οὐσίαν τῶν πραγμάτων διατείνεται.

452. Ἔνιοι τῶν μοχθηρῶν διὰ τὴν σμικρότητα παραβλεπόμενοι διαδιδράσκουσι τὰς δίκας, ἃς παρά γε τῶν ἐπισημοτέρων μέχρις ὀβολοῦ εἰσπράττεται τὸ τῶν νόμων ἀδυσώπητον.

453. Τῇ ἐν ταῖς τῶν ἄλλων ὑπολήψεσιν ὡς ἐπὶ σαθραῖς κρηπῖσιν ἱδρυμένῃ τύχῃ ἐπισφαλὲς τὸ ἀγέρωχον.

454. Ἐπὶ τοσοῦτον τὸ ἀνθρώπινον ναυτιᾷ πρὸς τὰ καθεστηκότα τῶν πραγμάτων καὶ κέχηνε ταῖς μεταβολαῖς, ὥσθ᾽, ὁπηνίκα οὐκ ἐξισχύσει μεταβαλεῖν τὰ πράγματα, κομψῶς μεταβάλλειν τὰ ὀνόματα.

455. Ὁπόσα ἡ τύχη πωλεῖν εἴωθε τοῖς ἐπισπέρχουσιν, ἐκεῖνα προῖκα δίδωσι τοῖς βραδύνουσι.

456. Καὶ μετὰ τὰς τῶν κινδύνων ἀποκλίσεις καὶ θεραπείας εἴωθε μέχρι καιροῦ παραμένειν τὰ τούτων ἴχνη, ἃ τοῖς γε εὖ φρονοῦσι φυλακτέον· καὶ γὰρ ὥσπερ τὰ ἐγκαταλιμπανόμενα μετὰ τὰς νόσους ὑποστροφὰς εἴωθε ποιέειν.

457. Οἱ νουνεχεῖς τῶν ἀνθρώπων, κυμαινομένων μὲν τῶν πραγμάτων καὶ διὰ τὸ ἀμφίκρημνον καὶ κινδύνου μεστὸν οἷον ἐπὶ ξυροῦ ἀκμῆς ἱσταμένων, μετ᾽ ἔμφρονος καὶ ἐνδελεχοῦς παρατηρήσεως ταμιεύονται τῆς ἐγχειρήσεως τὸν καιρόν· ἐς θάτερον δ᾽ ἤδη μέρος ἀποκλινόντων, ἄνευ ἀναβολῆς τὰ αὐτοῖς ἐπιβάλλοντα καὶ συνοίσοντα πράττουσιν.

458. Οἱ σχολαίῳ ποδὶ τῶν πραγμάτων ἀντιλαμβανόμενοι μόλις καταλαμβάνουσι τὰς τούτων σκιάς.

459. Τὰς μὲν ἀρχὰς τῶν ἐγχειρήσεων παραδοτέον τῷ Ἄργῳ, τὰ δὲ τέλη ἐγχειριστέον τῷ Βριάρεῳ.

460. Τὰ μὲν προοίμια τῶν μεγάλων ἔργων ὀφθαλμῶν δεῖται πολλῶν, αἱ δὲ τούτων πρόσοδοι καὶ κατορθώσεις πολυχειρίας εἰσὶ γοναί.

www.dacoromanica.ro

461. Μέγας καινοτόμος ὁ χρόνος.

462. Τὰ αὐτοφυῆ καὶ αὐτοσχέδια ἔσθ' ὅτε τῶν ἔργων τῶν πρὸς παράδειγμα καλλωπιζομένων εὐπρεπέστερα.

463. Τὸ μὲν τὰ καλῶς κείμενα κινεῖν λίαν ἐπισφαλές· τῶν δὲ πραγμάτων ἀεννάῳ τινὶ φορᾷ ἐπὶ τὸ χεῖρον χωρούντων, εἰ δέει καινοτομίας, ἔσθ' ὅτ' ἐμβριθεῖ καὶ σώφρονι κρίσει μηδαμῶς ἀνορθοῖτο τὰ ὑποῤῥέοντα· ὁσημέραι προκόπτον ποῖ στήσεται τὸ δεινόν;

464. Ἐν τῇ κατὰ τὸν βίον ἀναστροφῇ οἱ δίκην ἀνδραπόδων ἑώλῳ δουλεύοντες ἔθει ἐν τῷ ἐνεστηκότι χρόνῳ γέλωτα πλατὺν ὀφλισκάνουσιν.

465. Οὔτε τοῖς παλαιτάτοις τῶν νομισμάτων ὠνησαίμεθα τὰ πρὸς τὸν βίον, οὔτ' ἔθεσιν ἐξιτήλοις χρώμενοι τοῖς συμπολιτευομένοις ἀρέσαιμεν.

466. Ὁ παρὼν αἰὼν καταγελᾷ τῶν τοῦ παρεῤῥυηκότος ἀπρὶξ ἀντεχομένων.

467. Κοιμωμένων τῶν νόμων, ἡ ἀνάγκη ἐνίοτε ῥᾳδιουργεῖ τὴν ἐπὶ μέρους ἄμυναν.

468. Κολακείᾳ τιθασευόμενον ἐς ἀρετὴν ἐνίοτε τυποῦται τὸ ἄρχον.

469. Ἐξόν ἐστιν ἴσως καὶ διὰ κολακείας χωροῦντα παιδαγωγεῖν εἰς ἐνέργειαν τῶν δεόντων τὸ ἄρχον, τὴν ἄκρατον συμβουλὴν μειωτικὴν δῆθεν εἶναι τῆς ἀξίας ὑπονοούμενον.

470. Ἡ τῆς κολακείας ἀμορφία ἀπὸ τῆς κωμῳδίας χωρεῖ· μεγάλας δ' ἐπιτριβομένη τοῖς οἷς ὁμιλεῖ ζημίας, τραγῳδιῶν τὸν βίον ἐμπίπλησι.

471. Τοὺς μὴ κολακεύοντας ἑαυτοὺς ἡ παρὰ τῶν ἄλλων ἥκουσα κολακεία ὀλίγον λυμαίνεται.

472. Πᾶς τις εὐφυέστατος ἑαυτοῦ κόλαξ.

473. Κατὰ τὴν παροῦσαν τοῦ χρόνου φορὰν τὸ εὐφυὲς ἐπὶ κολακείᾳ καὶ γόνιμον καινῶν νοημάτων κατηκριβωμένης θωπείας ὡς ἐπ' ἄκρον ῥητορείας ἧκον καὶ τοῦ ἐν λόγοις ὕψους ἐφικνούμενον ἐξυμνεῖται καὶ ἀμοιβαίᾳ κολακείᾳ γεραίρεται.

474. Θεοῦ μέγιστον δῶρον ἀνθρώποις ἡ φρόνησις.

475. Ἕκαστος τῷ μέτρῳ τῆς φρονήσεως εὐτυχεῖ.

476. Ὁ νοῦς οὐκ ἔστιν, ὅτε οὐχ ὑπαγορεύει τὰ δέοντα.

477. Τὸ ἐν ταῖς πολιτικαῖς συνουσίαις μετὰ τῆς δεούσης οἰκονομίας ἀναμὶξ εἰδέναι χρῆσθαι σπουδῇ τε καὶ παιδιᾷ ἐς ἐπιτυχίαν τῶν σπουδαζομένων οὐκ ἐλαχίστην ἔχει ῥοπήν.

478. Τὸ μὲν ἀλησμένον βίον βιοῦν ἐπίμωμον· τὸ δ' ἀλησμένους λόγους φθέγγεσθαι οὐ μόνον οὐκ ἐπίμωμον, ἀλλ' εὐδοξίας, πολλάκις δὲ καὶ σωτηρίας πρόξενον.

479. Ἄνθρωπος ἄνευ φρονήσεως ἵππος ἄνευ χαλινοῦ.

480. Τὰ ὀνείδη τῆς νόθου φρονήσεως τῇ ἐντελεστάτῃ πολλάκις ἀναγράφουσι φρονήσει, ὁπόσοι ἐπὶ τῇ ἀληθεῖ τῶν πραγμάτων κρίσει τυφλώττουσι.

481. Κρηπὶς φρονήσεως ἡ εὐσέβεια.

482. Φρόνησις ἔρημος εὐσεβείας ἀμενηνὴ σκιὰ φρονήσεως.

483. Ἐκείνη τῷ ὄντι ἀκήρατος ἡδονή, ἡ μηδέποτε τίκτουσα κόρον.

484. Ὁ περὶ τὸ τοῦ παντὸς κέντρον εἰλούμενος ἐκεῖνος καὶ ἄνθρωπος καὶ πολίτης ἄριστος.

485. Ἐκεῖνος εὖ φρονεῖ, ὁ καὶ ἐν τοῖς παρέργοις φρονῶν.

486. Ἡ πίστις κυριώτατον ἔργον ἐπὶ ὁτουοῦν ἔργου κατορθώσει· οἱ οὐκ ἐν δέοντι ἄρα προσποιούμενοι καὶ μυρίοις καλλωπισμοῖς φενακίζοντες τὸ ὁμόφυλον, ἅτε πίστεως ἔρημοι, ἐκπίπτουσιν ὡς τὰ πολλὰ τῆς τῶν ἐγχειρημάτων ἐπιτυχίας.

487. Ἀμοιβαία προσποίησις δικαία ποινὴ προσποιήσεως· πάτταλοι γὰρ παττάλοις ἐκκρούονται.

488. Ὁ ὑγιὴς ἐν τῷ βίῳ σκοπὸς Ἀμαλθείας κέρας ἐστί, πᾶσαν ἀρετὴν φέρων ἐν ἑαυτῷ.

489. Ἡ φρόνησις χαλινὸς κακίας, κέντρον ἀρετῆς, ἐπὶ τοῖς ὑπ' ὄψιν Ἄργος, ἐπὶ τοῖς μὴ φαινομένοις Λυγκεύς· διαιτᾷ τοῖς παροῦσι, προνοεῖται τοῦ μέλλοντος, ἐπικαλύπτει πᾶσαν ἀμορφίαν, κόσμον περιτίθησι τῷ κάλλει.

490. Ὑπὸ δικαιοφροσύνης καταθολούμενον τὸ τοῦ νοὸς ἔσοπτρον οὐκ ἀποδίδωσι τοὺς



www.dacoromanica.ro

ἀληθεῖς τῶν πραγμάτων τύπους, ἀλλ' ἀπατᾷ τοὺς φρονηματίας τοῖς ὑπὸ σφαλερᾶς φαντασίας αὐτοσχεδιαζομένοις ἰνδάλμασι.

491. Τῆς ἐπὶ κατορθώσει ὁτουοῦν ἔργου ὁμιλίας ὁ τόνος ἀστειότητι λόγων ἔσθ' ὅτ' ἀνιέμενος θᾶττον διατίθησι τὴν τοῦ ἀκροωμένου ψυχήν, ὑποκλέπτων τὴν ἐπὶ τῷ σπουδαζομένῳ κατάνευσιν.

492. Ὀλίγοι ἐπιτηδείως ἔχουσι διαιτᾶν σπουδῇ καὶ παιδιᾷ, ὥστε κεράσαντες[1] θατέραν θατέρᾳ ἀμφοτέραις ἐν δέοντι χρῆσθαι μετ' εὐφημίας.

493. Τῇ εὐτραπελίᾳ ἐνίοθ' οἷον ὀχήματι χρώμενον τὸ ἀποστῦφον τῆς ἀληθείας ῥᾷον εἰσδύει εἰς τὰς τῶν ἀκροωμένων ψυχάς.

494. Ὁ τοῦ προσώπου σχηματισμὸς καὶ τὰ σώφρονα κινήματα, ἅπερ ἀκμὴν ἀρκοῦντες καὶ ἐξυμνοῦντες ὑπόκρισιν καλοῦσιν οἱ ῥήτορες, οἱονεὶ ἅλας εἰσὶ καὶ ἀνεπίμωμος καρυκεία τῶν τε ἐν λόγοις ἀρετῶν καὶ αὐτῶν δὴ τῶν περὶ τὰ ἤθη.

495. Τὸ ἐν τοῖς πολιτεύμασι παρορᾶν ὀλιγωροῦντα τὸν εἰθισμένον ἐν συνουσίᾳ καὶ ἀναστροφῇ τύπον τοῦ ἐκφύλῳ καὶ οὐ συνετῇ διαλέκτῳ τοῖς συμπολιτευομένοις ὁμιλεῖν οὐ διενήνοχεν.

496. Οἱ ἐν δέοντι προσποιούμενοι ἐν ἐπιτομῇ σοφοί.

497. Ἐπίτομος σοφία ἐπίκαιρος εἰρωνεία.

498. Ὥσπερ γυμνὸν σῶμα, οὕτως ἀνακεκαλυμμένη ψυχὴ καταγέλαστος.

499. Ἀσφαλὲς ἔρυμα βίου ἡ μὴ εἰς ἀπάτην ὅλως τείνουσα ἀνεπίμωμος προσποίησις.

500. Περικεφαλαία βουλῆς ἡ προσποίησις.

501. Ὁπόσοι τῶν ἐξαισίων πολιτικῶν ἀρετῶν οὐκ ἀσφαλῶς ἐφικνοῦνται, ἀσθένειαν ἑαυτοῖς συνειδότες κατακόρως χρῶνται τῇ προσποιήσει, ὡς ἐν ἀσύλῳ ὑπ' αὐτῇ συνειλούμενοι.

502. Ὁ ὡς ἐπιτοπολὺ σιωπὴν ἀσπαζόμενος οὐκ αἴσια σύνοιδεν ἑαυτῷ.

503. Ἐπίκαιρος σιωπὴ κορωνὶς φρονήσεως, ἡ δὲ διηνεκὴς σιγὴ ὀλιγοφροσύνης ἐστὶ παραπέτασμα.

504. Καθάπερ φθοροποιὸν ἀποβαίνει τὸ μὴ κινούμενον ὕδωρ, οὕτω καὶ οἱ μὴ διὰ λόγων προχεόμενοι καὶ μετοχετευόμενοι λογισμοὶ λοιμώδεις ἀναδιδόντες αὔρας ἐς ἄπλετον ἀποσκήπτουσι λύμην.

505. Τῇ ἐκ περιτροπῆς σιωπῇ οἱονεὶ γλυκυτάτῳ ὕπνῳ καὶ νηπενθεῖ φαρμάκῳ τὸ εὖ φρονοῦν ἀνανεούμενον εὐτονώτερον ὁμιλεῖ τοῖς πράγμασιν.

506. Εὔκαιρος σιωπὴ τύπος ἀσφαλοῦς φρονήσεως.

507. Τὸ εὖ φρονοῦν πάντοτε τοῖς αὐτοῖς ἀρέσκεται προσώποις καὶ λόγοις καὶ πράγμασι· καὶ τοῦτο δὲ δεῖγμα φρονήσεως, συγκαταβαίνοντ' ἐνίοτε κἂν ἐπιπολαίως ὁμιλεῖν οἷς θέλγεται καὶ κηλεῖται τὸ ὁμόφυλον.

508. Ὁ τὸ πλῆθος δημαγωγῶν ἑαυτὸν δημαγωγεῖ.

509. Ὥσπερ τὸ ἐλατὸν εἶναι ἔνεστι τῷ χρυσῷ, οὕτω τὸ εὐμάλακτον καὶ ὑπεῖκον ἐν δέοντι χρυσῆς τῷόντι φύσεως ἐπίσημός ἐστι χαρακτήρ.

510. Μηδὲν μέγα προσδόκα παρὰ τοῦ μὴ ἐκ τοῦ παραχρῆμα φρονοῦντος τὰ δέοντα.

511. Ὁ καὶ αὐτοσχεδιάζων μετ' ἐμβριθοῦς φρονήσεως ἐκεῖνος τῷόντι ἰσχυρῶς φρονεῖ.

512. Οἱ μὲν μὴ πηξάμενοι ἀσφαλῆ τινα ἐν τῷ βίῳ σκοπόν, ἀσκοῦντες δ' ἑαυτοὺς κατὰ τὸ ἐγχωροῦν ἑκάστῃ τῶν ἀρετῶν, τοῖς ἀνδριαντοποιοῖς εἰσιν ὅμοιοι, οἵτινες γλύφουσιν ἐπὶ μέρους κεφαλήν, χεῖρα, πόδα, ἐν τῇ προόδῳ τοῦ ἔργου ἄμορφα προδεικνύντες θάτερα τῶν μερῶν· οἱ δ' ἐξαίσιόν τινα ἰδέαν αἱρησάμενοι βίου καὶ γενναίῳ χωροῦντες λήματι ἐπὶ τὸ προκείμενον τέρμα, τὴν φύσιν ἄντικρυς μιμούμενοι μιᾷ κινήσει μορφοῦσιν ἑαυτοὺς εἰς πᾶσαν ἀρετήν, μηδὲν ἐπιλείποντες ἀτημέλητον.

513. Τὸ ἐς ὑπονοίας κατωφερὲς τοῦ ἄρχοντος λίαν ἐστὶ φορτικὸν τοῖς περὶ αὐτόν. Ἀλλὰ καὶ τὸ ὁτῳοῦν πιστεύειν ὀχληρότερον· ταῖς μὲν γὰρ ὑπονοίαις φρόνησις ἐπιστατοῦσα ἀνα-

---

[1] Ἐν τῷ κειμένῳ κεράσαντας, ἀλλ' ὁ καλλιγράφος διώρθωσε τοῦτο εἰς κεράσαντες.

www.dacoromanica.ro

χαιτίζει τὴν τούτων ὁρμήν, τό τε ἀκέραιον τῆς τῶν ὑπηρετουμένων γνώμης τὸ τελευταῖον πᾶσαν ὑπονοίας πρόφασιν παραιρεῖται· τῷ δὲ παντὶ λόγῳ πιστεύοντι ὁποῖον ἐπιβαλοῦμεν φάρμακον, οὐ μόνον τὰ ὦτα νοσοῦντι, ἀλλὰ καὶ τὰς φρένας ἀνιάτως κάμνοντι;

514. Καὶ τοῦ παντὸς προνοούμενον ἑκάστου προνοεῖται τὸ θεῖον, ἀνατέλλον δικαίοις τε καὶ ἀδίκοις τὸν ἥλιον καὶ διὰ τῆς ἐπὶ μέρους προνοίας ἀνεξαντλήτῳ φιλανθρωπίᾳ πρυτανεῦον τὰ ἑκάστῳ ξυμφέροντα· ἔξεστι δέ, ἀλλὰ μᾶλλον ἐπιβάλλει ἀνθρώπων ἑκάστῳ προνοεῖσθαι ἑαυτοῦ, ψυχῇ τε καὶ σώματι περιποιούμενον ὅσα γ' ἀσφαλῆ καὶ συνοίσοντα.

515. Ἡ θεία πρόνοια καὶ τοῦ παντὸς προνοεῖται καὶ σοῦ, ἀλλὰ καὶ σὺ σαυτοῦ προνοοῦ.

516. Δικαιοσύνη καὶ φρόνησις παραιτούμεναι τὸ πρᾶον ὑπὲρ τοῦ κοινῇ συνοίσοντος τὴν φθάσασαν ἢ ὑπονοουμένην μοχθηρίαν ἐν δέοντι ἀπαραιτήτως κολάζουσι.

517. Περιουσίᾳ μεγαλοψύχου πραότητος φείδου καὶ τῶν ἐχθρῶν, ἀλλὰ μᾶλλον φείδου σεαυτοῦ.

518. Ἔνιοι ἐπὶ τοσοῦτον εἰς ἐπίμωμόν τινα πραότητα καλλωπίζονται, ὥστε φειδόμενοι τῶν ἐχθρῶν ἑαυτῶν ἀφειδοῦσι.

519. Τὸ μὲν ἐχέμυθον ἀναγκαίως ὀφείλει παρέπεσθαι[1] τοῖς κοινωνοῖς οὖσι τῶν ἀποῤῥήτων· ἀλλ' ὅμως τοῖς προσπελάζουσι τοῖς ἄρχουσι καὶ πυκνότερον αὐτοῖς ὁμιλοῦσιν ἀσφαλέστερον ἂν εἴη μηδ' ἀκροατὰς γενέσθαι τὸ παράπαν ἐκείνων, ὁπόσα κίνδυνον φέρει· ἐπειδὴ οὐ μόνον ἐκφόρων γεγονότων κινδυνεύουσιν οἱ συνειδότες, ἀλλ' ἐνίοτε, τῆς προτέρας εὐνοίας ἀποφυγείσης, ἥ γε ὑπόνοια καὶ μόνη τοῦ μὴ ἐκφοιτῆσαι ἐς τοὺς πολλοὺς τὰ ἄλλως ἐνδομυχοῦντα ἐξωλείας γέγονε τοῖς κεκοινωνηκόσι πρόξενος, καθάπερ καὶ ἔνιαι τῶν ἐπὶ ἀμορφίᾳ δυσχεραινουσῶν γυναικῶν συντρίβουσιν ὀργιζόμεναι τὸ κάτοπτρον, ὅπερ ἀσφαλῶς ὑπ' ὄψιν τίθησι τὸ αἰσχρὸν τοῦ εἴδους.

520. Καὶ ἐν τῷ πολιτικῷ σώματι ἐνίοτ' ἐπίκαιρος φλεβοτομία μεγάλην διελύσατο νόσον.

521. Οἱ πέρα τοῦ μετρίου ἀρχῆς ὀρεγόμενοι ὡς τὰ πολλὰ λοιμοὶ πολιτείας εἰσίν, ἐς θατέραν τῶν ἀκροτήτων ἐπιῤῥεπεῖς, ἄστατοι, φιλοτάραχοι, ψεῦσται καὶ ἑνὶ λόγῳ πᾶν δεινόν.

522. Ἡ δικαιοσύνη οὐ δύναται παντάπασιν ἐκ μέσου ποιήσασθαι τὴν κακίαν· ἀλλ' ὅμως ἀμβλύνει τὴν ὀξύτητα καὶ ἀφαιρεῖται αὐτῇ τὸν ἰόν, τὸν ἄλλως καὶ εἰς τοὺς πλησίον μεταχωρήσοντα.

523. Ἡ δικαιοσύνη οὐκ ἐπὶ τοσοῦτον ἰσχύει, ὥστε προθέλυμνον ἀνασπᾶσαι τὴν κακίαν ἀπὸ τῆς τοῦ ἀνθρώπου ψυχῆς, ἀλλ' ὡς ἀγαθὸς γεωργὸς ταῖς ἐγκεντρίσεσι καὶ ἀπὸ τῶν ἀγρίων δένδρων ἡμερωτέρους ἀποδρέπεται καρπούς· τῷ τε σιδήρῳ περιτέμνουσα τοὺς σφαδάζοντας καὶ ἀκολασταίνοντας κλάδους ἐμποδὼν ἵσταται τῷ γονίμῳ τῶν ἰοδεστάτων χυμῶν.

524. Τῆς δικαιοσύνης ἐν τῷ «ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς»[2] ἐχούσης τὴν ὑπόστασιν, καὶ τῶν ἐν καιρῷ συγγνώμην ἀπονέμειν δικαιοσύνης λαμπρὸν ἔργον ἐστί.

525. Εἴ γ' ἑκάστῳ ἀποδοτέον τὸ ἑαυτοῦ, τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ, ἀλλ' οὐ τῇ μοχθηρίᾳ ὥς γ' ἐπιτοπολὺ συγγνώμην ἀποδοτέον.

526. Λοιμός ἐστι διαῤῥήδην ὁ ἄρχων ἐς τοὺς παρ' ὁτουοῦν ἥκοντας λόγους ἔχων ἀναπεπταμένα τὰ ὦτα· ἐκείνου γὰρ οὕτω διακειμένου, ἡ δεινὴ αὕτη νόσος πάντας τοὺς περὶ αὐτὸν ἐπινέμεται· καὶ οἱ μὲν τῶν ὑπηρετουμένων ἀνιχνεύουσι τὸ δειλὸν καὶ κατεπτηχός, μυρίοις πεπλασμένοις λόγοις ὥσπερ ὑπεκκαύμασιν ἄπλετον ἐν τῇ ψυχῇ ἀνεγείροντες αὐτῷ φλόγα, οἱ δὲ τὸν φθόνον ἀναῤῥιπίζουσι καθάπερ μαινάδας ἐκβακχεύοντες τὰ πάθη κατὰ τῶν ἀρεταῖς σεμνυνομένων· ἕτεροι δὲ τούς γε πλείους διαβάλλοντες ἀποτρίβονται τὰς ἐπιπολαζούσας αὐτοῖς κηλῖδας· ἄλλοι δὲ δάκνοντες τοὺς ἐναμίλλους περιποιοῦνται τοῖς συνήθεσι τὴν ἀσφάλειαν, ὅ τι ἂν αὐτοῖς σπουδάζοιτο πορίζόμενοι· συχνοὶ δ' ὥσπερ ἐπὶ σκηνῇ τραγῳδίας μεστὰ κατὰ τῶν ἀντιπάλων συγκροτοῦσι δράματα· ἀλλὰ καὶ ὁπόσοι ἤθους τιμῶντες μετριότητα τὸ πρὶν διετέλουν ἐν μέσῳ πλημμυρούσης μοχθηρίας κατειλημμένοι καὶ δεδιττόμενοι τὴν ὑφέρπουσαν λύμην, ἀπο-

---

[1]) Παρέπεσθαι] οὕτως ἐν τῷ κειμένῳ, ἀλλ' ἐν τῇ ᾤᾳ διορθοῖ τὸ *παρέπεσθαι* ὁ καλλιγράφος εἰς *προσεῖναι*.

[2]) Πρβλ. Τωβ. δ', 15.

www.dacoromanica.ro

www.dacoromanica.ro



κλίνουσι κἀκεῖνοι τῆς λεωφόρου, αὐτομολοῦντες πρὸς τοὺς ἐπ' ἀμφιλαφεῖ κακίᾳ σοβοῦντας· ἐς τοῦτο ἄρα σκαιότητος τῶν πραγμάτων ἀφικομένων, κύμασι πανταχόθεν περικλυζόμενον ἐξ ὑπογυίου οἰκτρῶς ναυαγεῖ ἅμα τῷ ἄρχοντι τὸ ἀρχόμενον.

527. Ἡ μετὰ θερμότητος κατ' ἀρετὴν διηνεκὴς ἐνέργεια οὐ μόνον οὐκ ἐφικτὴ ἐν τῷ ἐπικήρῳ βίῳ τοῖς περιβεβλημένοις σαρκὸς παχύτητα, ἀλλὰ καὶ ἐπικίνδυνος ἡ ὑπὲρ τὸ μέτρον αὐτῆς διάπειρα, ἅτε τὸν τόνον χαλῶσα καὶ ἐς ἀκηδίαν τὴν ψυχὴν ἑλκύουσα· τὸ δὲ μετρίως ἀνιέμενον καὶ ἡ ἀπὸ τῶν κατ' ἀρετὴν πόνων ἠρεμία εὐτονωτέρους ἡμᾶς ποιεῖ πολλάκις εἰς τὰς κατ' ἀρετὴν πράξεις, καὶ γίγνεται ἄρα τὰ ἐναντία τῶν ἐναντίων παρασκευαστικά, τῆς ἐπιτεταμένης ἐνεργείας γεννώσης ἠρεμίαν καὶ ῥαθυμίαν, τῆς δ' ἐναλλὰξ ἐπιτηδείους παρασκευαζούσης ἡμᾶς καὶ ἀνεγειρούσης εἰς ἔργα καλὰ καὶ ἐξαίσια, ὥστε καὶ ταύτῃ κρατεῖν τὸ πολυθρύλητον «μηδὲν ἄγαν». Ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐν ἀμφιλαφεῖ τῇ ἡσυχίᾳ ὅλως εὐχῇ καὶ μελέτῃ καὶ θεωρίᾳ προσανακειμένοις συγχωρεῖ πολλάκις τὸ θεῖον ἐπιπολάζειν τὴν κατὰ ψυχὴν ἀηδίαν καὶ ξηρότητα, κολάζον δήπουθεν καὶ καταστέλλον τὴν ὑφέρπουσαν ἀλαζονείαν, τῇ θ' ὑπομνήσει τῆς οἴκοθεν ἀσθενείας θερμοτέρους αὐτοὺς ἀπεργαζόμενον εἰς ἐπίκλησιν τῆς ἄνωθεν ἀρωγῆς.

528. Τὸ εὔρυθμον καὶ ἐναρμόνιον καὶ ὁμοειδὲς μέτρῳ τε καὶ εἱρμῷ προϊὸν ἔν τε νοήμασι καὶ πάθεσι καὶ λόγοις καὶ πράξεσιν οὐράνιά εἰσιν ἀγαθὰ καὶ ἀϊδιότητος τῳόντι χαρακτῆρες.

529. Τὰ τοῦ σώματος ναρκωτικῶν φαρμάκων, τὰ δὲ τῆς ψυχῆς πάθη γενναίων λόγων ἐπιδέονται.

530. Οὐ μόνον τῶν κατὰ στέρησιν, ἀλλὰ καὶ τῶν κατ' ἐνέργειαν ἀρετῶν ἡ συνδρομὴ συγκροτοῦσα τοὺς ἀνθρώπους εἰς μεγαλουργίαν ἱκανοὺς ἀπεργάζεται· αἱ γὰρ κατὰ στέρησιν ἕξεις ἴσως ἀκεραιότητος μόνον, ἀλλ' οὐκ ἀσφαλοῦς ἀρετῆς εἰσι γόνιμοι.

531. Ὁ ἐν τῷ μεσαιτάτῳ μετ' ἀκριβείας ἱδρυμένος καὶ τὴν ἐς τὰς ἀκρότητας ἐν δέοντι ῥοπὴν δεδιττόμενος νοῦς οἱονεὶ νοσηλευόμενος καὶ μαλακιζόμενος πολιτικῶν πραγμάτων ἐγχειρήσει οὐκ ἂν εἴη πάμπαν ἐπιτήδειος.

532. Θερμουργὸς ἀρετὴ καὶ δραστήριος ἐπὶ πολιτικῶν ἐγχειρημάτων κατορθώσει μᾶλλον αἱρετέα.

533. Κρηπὶς ἀρετῶν ἡ στεῤῥότης.

534. Ἐπειδὴ τὰ περὶ τὸ ἀνθρώπινον ἐν διηνεκεῖ διατελεῖ ῥοῇ καὶ σάλῳ, κἂν ὁ φέρων αὐτὰ ἑδραῖος ἔστω καὶ ἀκίνητος, σκοπέλου μὲν δίκην τοῖς κύμασι περικλυζόμενος, ἀλλὰ μηδαμῶς καταρασσόμενος.

535. Πανταχόθεν μυρίοις ἐλαττώμασι πιεζόμεθα· ἐν ἑκάστῃ ἡλικίᾳ, ἐν ὁποιᾳοῦν ἰδέᾳ βίου οἱονεὶ νεαροῖς ἐχθροῖς προσφάτοις κακίαις περιπίπτομεν. Ἐν νεότητι κουφότης, εὐήθεια, ἀκολασία ἄγουσι καὶ φέρουσι τὰ καθ' ἡμᾶς· ἐν τῷ καθεστηκότι τοῦ βίου ἀποκναίει τὸ φιλόδοξον, λυπεῖ τὸ φιλάργυρον· τὸ δὲ γῆρας οὐ μόνον τῶν περὶ τὸ σῶμα κακῶν ἐργαστήριον, ἀλλ' ἴσως καὶ τῶν κατὰ ψυχὴν ἐς μὲν ὀργὴν εὔκολον, δύσκολον δέ, καὶ ναυτιῶν καὶ μεμψίμοιρον ὂν ἐπὶ τοῖς ἀγαθοῖς τῶν πέλας· ἐπὶ δὲ τούτοις παλινδρομεῖ τῇ φαντασίᾳ καὶ ὁπόσα σκαιὰ καὶ γελοῖα ἀπό τε νεότητος καὶ νηπιώδους ἡλικίας δανείζεται. Ὑποχορηγεῖ δὲ κακιῶν ἀφορμὰς καὶ ἡ ποικιλία τῶν βίων· τὸ μὲν γὰρ ἰδιωτεῦον δειλὸν καὶ κατεπτηχός, τὸ δὲ πολιτευόμενον ἰταμόν, ἄκρατον ἐν ἐπιθυμίαις ἅμα καὶ ὀργαῖς, ἐχθρὸν ἀληθείας, φθόνου μεστόν, αἵματος λίχνον, πᾶν κακόν· ἀλλὰ καὶ τὸ ἐν ἐρημίαις διάγον ἢ μνήμῃ τοῦ προτέρου στρεβλοῦται βίου, ἢ ὑπ' ἀκηδείας τῆς τε κατὰ τὸ σῶμα καὶ τῆς κατὰ τὸν νοῦν ἐκλέλυται, ἢ τῆς φαντασίας νοσούσης φρούδαις ὑπονοίαις καὶ ἐπινοίαις καὶ δειλίαις κατατείνεται, ἢ καὶ τὴν ἀκρώρειαν τῶν ἀρετῶν οἰόμενον ἀφικέσθαι καὶ ἤδη πάντα τὰ κάτω κείμενα ἀγερώχῳ πατοῦν φρονήματι φυσιοῦται καὶ μονονουχὶ δι' ἀέρος ἵπταται. Ἐν οὕτω δὴ πολυσάλῳ πελάγει οἱ δύστηνοι κυμαινόμενοι, τῷ τρόπῳ κἂν ὀλίγην ἑαυτοῖς ἠρεμίαν πορισαίμεθα; ἢ ἄρα διὰ τῆς ἔμφρονος ἁπλότητος ἐν τῇ ὑπομονῇ τὰς ψυχὰς ἡμῶν κτησόμεθα;

536. Οὐ μόνον ἀρετῇ, ἀλλὰ καὶ μοχθηρίᾳ γενναίᾳ κόσμον ἔσθ' ὅτε περιάπτει τὸ ἀραρὸς καὶ ἀκράδαντον.

www.dacoromanica.ro



537. Τῷ τῆς τύχης εὐμεταβόλῳ προσεπιτιθέμενον τὸ ἄστατον τοῦ ἡμετέρου φρονήματος, ὥσπερ ἐν σάλῳ διηνεκῶς κραδαινομένοις, ἀβίωτον ἡμῖν τοῦ λοιποῦ παρέχει τὸν βίον.

538. Ὑπὸ τῇ σκιᾷ τῶν ἀρετῶν τὰ ἐλαττώματα ἐνίοτε λανθάνοντα ἔλαττον ὄνειδος περιάπτουσι τοῖς ἔχουσι.

539. Τοσαύτη ἰσχὺς ἅμα καὶ κόσμος ἔνεστι ταῖς ἀρεταῖς, ὥστε καὶ τῶν παραπεφυκότων ἐλαττωμάτων ἐνίοτε παραιρεῖσθαι τὴν ἀκοσμίαν.

540. Ἐς τοσοῦτον εὐφυΐας, ἢ ἀληθέστερον εἰπεῖν ἀναιδείας ἔσθ' ὅτε ἥκει τὸ ἀνθρώπινον, ὥστε τὰ τῶν ἀρετῶν ὀνόματα περιτιθέναι ταῖς γειτνιαζούσαις κακίαις.

541. Καὶ τοῦτο πολιτικῆς ἐστι θρασύτητος ἢ περινοίας, τὸ μὴ ἐξικνουμένης τῆς δυνάμεως ἐς ἐπιτυχίαν τῇ ὀλιγωρίᾳ τῶν σπουδαζομένων ἐξωνεῖσθαι τὴν ὑπονοουμένην ἀδοξίαν.

542. Ἄνευ τῆς τῶν ἀφρόνων συνουσίας δυσκόλως οἱ εὐφρονοῦντες βιώσουσι.

543. Καὶ ἐπαινοῦντες καὶ ψέγοντες ὡς ἐπιτοπολὺ θηρώμεθα τὰ ἡμῖν συνοίσοντα.

544. Ἐπαινοῦμεν πολλάκις ἐπαινεθῆναι βουλόμενοι.

545. Οἱ τοὺς ἐπαίνους ἀποποιούμενοι δὶς ἐπαινεῖσθαι θέλουσι.

546. Καὶ τὰ μεγάλα τῶν προτερημάτων τῆς ἐν δέοντι χρήζουσιν οἰκονομίας· συστολῇ γὰρ καὶ φειδοῖ θεραπεύεται τὸ καὶ πρὸς τὰ καλὰ ναυτιῶν τῆς ψυχῆς.

547. Ἀρετὴ δόξης ὀρεγομένη διωκέτω τὰς μετὰ τῶν πολλῶν καὶ λαμπρῶν συνουσίας, τὴν ἐρημίαν καὶ ἠρεμίαν ἀποκλίνουσα.

548. Πᾶς τις ἅπερ ἔσπειρεν, ἐκεῖνα θερίσει.

549. Οἱ ἓν ἔργον μετιόντες μεγάλην τελοῦσιν λειτουργίαν τῷ κοινῷ τοῦ βίου.

450. Οἱ καινῶν καὶ μεγάλων πραγμάτων ἐφευρεταὶ ἓν καὶ μόνον ἔργον ἀσκοῦντες διετέλεσαν.

551. Μὴ μόνον βλέπε τὰ πρὸ ὀφθαλμῶν, ἀλλ' ὀσφραίνου καὶ τὰ ποῤῥωτέρω κείμενα, ὅπως παρασκευασάμενος σεαυτὸν ἐν καιρῷ τὴν λύμην ἀποκρούσαιο.

552. Ἐκεῖνα, ὧν τὰς ψήφους δεκάζοντες ἐφιέμεθα, οὐ μόνον ἀδιάφορα, ἀλλὰ (βαβαὶ τῆς ἀφροσύνης) ἀμώμητα, ἀκήρατα, ἅγια εἶναι καὶ ὑπειλήφαμεν καὶ διϊσχυρισαίμεθα.

553. Καὶ ἐν τῷ εὐφρονεῖν ἡλικία ἡλικίας κρεῖττόν ἐστιν.

554. Ἡ τύχη ἀμαυροῖ πολλὰ τῶν ἡμῖν μονονοὺκ ἐμπεφυκότων ἐλαττωμάτων, ἅ γ' οὔτε φύσις οὔτ' ἀρετὴ ἰσχύκασι διορθώσασθαι.

555. Ἔχει καιροὺς ἰδίους καὶ τὸ ἀνεπιμώμως πολυδάπανον.

556. Εὔχου καὶ σπούδαζε ὅπως εὐποροίης· σοῦ δ' ἀπορουμένου, καὶ ἡ τοῦ γείτονος εὐπορία ἐν εὐτυχίας σοι λογιζέσθω μέρει.

557. Ἀπὸ τῆς ἐμφύτου ῥαθυμίας παρεωραμένων πολλάκις τῶν ἐν τῇ κατὰ τὸν βίον συνουσίᾳ καθηκόντων, ἐπ' ἐννοίᾳ τινὶ λανθανούσῃ, δῆθεν ἐπὶ θήρᾳ συμφέροντος, ἀναγράφοντες τὴν παράβλεψιν μάτην ἑαυτοὺς ἀποκναίομεν.

558. Τὸ ἐπίμονον φύσεως μᾶλλόν ἐστιν ἢ φρονήσεως παρακολούθημα· ἡ δ' ἀνθρωπίνη φρόνησις κἀνταῦθα κομψῶς σοβοῦσα ἐπὶ ταῖς ἀκατασχέτοις τῆς φύσεως ῥοπαῖς ὡς ἐπὶ ἰδίαις γοναῖς μεγαλαυχεῖ καὶ σεμνύνεται.

559. Οὐ μόνον αἱ ἀρεταί, ἀλλὰ καὶ τὰ τῶν ἀρετῶν ὀνόματα ὑπουργοῦσι τοῖς εὐφυῶς θηρωμένοις τὰ αὐτοῖς συνοίσοντα.

560. Καὶ οἱ ἀσφαλῶς ὑγιαίνοντες ἐνίοτ' ἐκ τοῦ παραχρῆμα φθινωδεστάτοις περιπίπτουσι νοσήμασι καὶ οἱ ἐξαισίοις ἀρεταῖς κοσμιούμενοι, ἔσθ' ὅτε κύβου φασὶ μεταπεσόντος, ἐς βάραθρον κακίας ἐκτραχηλίζονται

561. Αἵ τε ἀρεταὶ καὶ αἱ κακίαι, αἵ γε σωτηρίας ἢ ἐξωλείας πρόξενοι, τῆς ἡμετέρας ἤρτηνται προαιρέσεως· ἀλλ' ἐνίοις τῶν προτερημάτων οὐδὲν μεῖον ἢ τῶν ἐλαττωμάτων οὐκ ἀπεικότως φαίημεν ἂν ἀπὸ τῆς φύσεως διωρίσθαι καὶ πεπηγέναι τοὺς ὅρους· καὶ γὰρ οὔτε πόνος, οὔτε χρόνος, οὔτε τύχη δύναται στῆσαι τοῖς μὲν τὴν φοράν, τοῖς δὲ πρυτανεῦσαι τὴν ἐπίδοσιν.

562. Πολλοὺς διὰ μακροῦ χρόνου κακίαι καὶ κῆρες ἀσκήσασαι καὶ καταδαπανήσασαι

www.dacoromanica.ro



μονονουχὶ αὔους καὶ σκελετοὺς μεθίενται· οἱ δὲ κομπάζουσι καὶ σοβοῦσιν ὡς παραιτησάμενοι καὶ δῆθεν ἀπονιψάμενοι τὰς ἐπιπολαζούσας κηλῖδας· τοιοῦτοί εἰσιν, ὁπόσοι ἤδη ἐκνενευρισμένοι καὶ ὑπὸ γήρως μόλις πνέοντες σωφρονεῖν οἴονται, οἵ τε πᾶσαν καταπροέμενοι τὴν οὐσίαν, φειδῶ δὲ καὶ οἰκονομίαν ὑποκρινόμενοι.

563. Ὥσπερ τὰ τοῦ σώματος νοσήματα, οὕτω καὶ τὰ τῆς ψυχῆς ὑποστροφὰς εἴωθε ποιεῖν· ἡ δὲ τῶν πολλῶν ἄνοια τὴν ὀλιγοχρόνιον τῶν παθῶν ἀνακωχὴν ὁλοσχερῆ ἧτταν οἰομένη ὡς ἐπὶ θριάμβῳ μεγαλαυχεῖ· ἀλλ' αὐτίκα μετὰ πλείονος ῥύμης ὥσπερ ἐξ ἐνέδρας ἐπιβαλόντι τῷ ἀντιπάλῳ χεῖρας ἐνδιδοῦσα τῆς φθασάσης ἀλαζονείας τὰς δίκας ἀποτέτικε.

564. Δειλίας ἢ φιλαυτίας ἢ καὶ ῥαθυμίας πολλάκις παραιτουμένης τὴν ἄμυναν, οἱ μὴ ἐμβαθύνοντες τοῖς πράγμασιν ἀναγράφουσι τὸ πᾶν τῇ πραότητι, οὐ κατανοοῦντες ὅτι ἐνίοις ἡ τῶν ἀδικημάτων μνήμη οὐδὲν ἔλαττόν ἐστι φορτικὴ καὶ ἀχληρά, ἢ τοῖς ἀχαρίστοις ἡ τῶν εὐποιϊῶν ἀνάμνησις.

565. Φρούδων ὄντων ὡς τὰ πολλὰ καὶ ἐξιτήλων τῶν ἡμετέρων φόβων ἅμα καὶ ἐλπίδων, ἡ θεία πρόνοια ἀῤῥήτοις λόγοις καὶ μηδ' ἐς νοῦν ἥκουσι μέσοις καὶ τρόποις τὰ πλείω τῶν ἔργων κατορθοῦσα διαῤῥήδην παραδειγματίζει τὴν ἀνθρωπίνην ἄνοιαν.

566. Ἡ κατὰ προσαγωγὴν ἐπίδοσις ἀθρόας εὐτυχίας ἀσφαλεστέρα καὶ μονιμωτέρα.

567. Ὁπόσοις ἔθος ὥσπερ ἐῤῥυπωμένον χιτῶνα ἀποτίθεσθαι παλαιὰν φιλίαν ἐπὶ θήρᾳ προσφάτου, ἐκεῖνοιπρ σφάσεις εὑρισκόμενοι καὶ σμικρολόγους τινὰς μέμψεις τοῖς φίλοις μεμφόμενοι κατὰ μικρὸν χωροῦσιν ἐς τὴν κυοφορουμένην ἀποστασίαν.

568. Ἔν τε τοῖς κατὰ μέρος καὶ ἐν τοῖς πολιτεύμασι, τῶν τραυμάτων ὁπωσοῦν θεραπευθέντων, μένουσιν αἱ οὐλαί· πρόσεχε τοίνυν, ἵνα μὴ ἀπὸ σμικρᾶς τινος ἀφορμῆς αὖθις ἀναῤῥαγῶσιν.

569. Ἔνιοι τῶν ἀνθρώπων μετριώτερόν πως δουλεύειν φαίνονται ἑνί τινι πάθει· οὐ-μενουν ἐγκρατευόμενοι καὶ τὰς ὑπερβολὰς εὐλαβούμενοι, ἀλλὰ πολλοῖς καὶ δεινοῖς πάθεσι πολιορκούμενοι κατακερματίζειν ἀναγκάζονται τὸ βραχὺ τοῦ χρόνου καὶ ὑφαιρεῖσθαι ἑαυτοὺς θατέρῳ πάθει θάτερον ἐξασκοῦντες.

570. Ῥᾳδίως τῇ λήθῃ παραδιδόαμεν ἐκεῖνα τῶν ἁμαρτημάτων, ἃ τοὺς ἄλλους λανθάνοντα μόνοις ἡμῖν εἰσι γνώριμα.

571. Εἰώθασιν ἐνίους οἱ ἄνθρωποι καὶ παρὰ τὰ ὄντα ἐπαίνοις ἐξαίρειν, ἵνα ταῖς περὶ τὸ ἐνάμιλλον εὐφημίαις τοῖς μισουμένοις μείζονα περιάψωσιν ὀνείδη.

572. Ὑπέκκαυμα ἐς ἀντιποίησιν ἀρετῆς φιλεῖ γίγνεσθαι τοῖς πολλοῖς τὸ κενόδοξον.

573. Τὸ κενόδοξον οὐκ ὀλίγους ἄλλως ὑπτιάζοντας κέντρου δίκην ἀνερεθίζει εἰς ἐπίκτησιν ἀρετῆς.

574. Ἡ ὀλιγάρκεια ἐν τῷ ἀκηράτῳ τῆς ψυχῆς πλούτῳ ἄντικρυς ἐστι κακία καὶ χαρακτὴρ νοὸς μὴ ἔχοντος νεῦρα.

575. Ὁ οἰόμενος ἱκανῶς ἔχειν βιοῦν ἄνευ τῆς πρὸς τὸ ὁμόφυλον ἐπιμιξίας οὐδὲν μεῖον ἠπάτηται τοῦ φανταζομένου κακῶς ἂν πάντως ἀπαλλάξαι τὸ πολίτευμα, τῆς ἐκείνου δῆθεν ἐπικουρίας καὶ κοινωνίας στερόμενον.

576. Ὅ γε ἐν ὑπαίθρῳ ζῶν καὶ μετὰ τῶν ἐντίμων συνδιαιτώμενος, ἐκεῖνος τῷόντι ἔντιμος· φιλεῖ δ' ἡ μοχθηρία τὸ σκότος οὐ μόνον ἐν τοῖς τῶν οἰκιῶν, ἀλλὰ καὶ ἐν τοῖς ὑπογαίοις ὡς ἔπος εἰπεῖν τῆς καρδίας λανθάνουσα.

577. Τὸ μὲν ἀνθρώπινον ἀλύει καὶ δεινοπαθεῖ ἐπὶ τοῖς ἀπαντῶσι σκαιοῖς· ἀλλ' ἐν τῷ ταμιείῳ τῆς θείας προνοίας ἥ τε τάξις καὶ ὁ ἀριθμὸς καὶ ὁ καιρὸς καὶ ἡ ποιότης καὶ ἡ ἐπίτασις τῶν συμβαινόντων ἀραρότως πεπήγασι.

578. Τριπλῆ ἐστιν, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἡ ἐν τοῖς πολιτεύμασι παρεκτρεπομένη τῆς λεωφόρου ἀπάτη· καὶ ἡ μὲν αὐτῆς ἐστιν ὑφειμένη, τῆς ἀρετῆς οὐ πόῤῥω βαίνουσα· περιῤῥαίνεται δὲ καὶ ἐπιπολαίῳ τινὶ μοχθηρίᾳ· τοιαύτη ἂν εἴη ἡ ἀπιστία, τὸ ἐν ὑπονοίαις ἄκρατον, ἡ προσποίησις καὶ αἱ τούτοις ὅμοιαι διαθέσεις καὶ τέχναι· ἡ δὲ δευτέρα περαιτέρω χωροῦσα μᾶλλον ἀποσχίζεται τῆς ἀρετῆς τῇ κακίᾳ προσελάζουσα· ἐκείνη εἴωθεν ὑποποιεῖσθαι ἀνέλκουσα

ἐς ἑαυτὴν τοὺς ἑτέροις ὑπηρετουμένους, δώροις φθείρουσα, ἐλπίσιν ἀναρτῶσα, φενακίζουσα, παράγουσα καὶ μυρία τερατευομένη ἐπὶ τῷ ἰδίῳ συμφέροντι· ὁ δὲ τελευταῖος βαθμὸς ἐς αὐτὸν τὸν κολοφῶνα τῆς κακίας ἐλάσας ἀρετῇ τε καὶ νόμοις αὐτοῖς χαίρειν φράζει, μετ᾽ ἀναιδείας ἀπλέτου νεανικὴν ἀσκεῖ κακίαν, προδότης, ἄδικος, βδελυρός, Σαλμωνεὺς ἄλλος ἢ Τάνταλος· οἱ δὴ μετριώτεροι τῶν περὶ πολιτείας διειληχότων τὸν μὲν πρῶτον βαθμὸν συγγνώμης οὐκ ἀπαξιοῦσιν, ἀνέχονται δ᾽ ἐνίοτε καὶ τοῦ δευτέρου, τὸν δὲ τελευταῖον ὡς λοιμὸν πολιτικῆς κοινωνίας ἄρδην ἐξοστρακίζουσιν.

579. Ἐνέσταξε καὶ ταῖς ἡρωϊκαῖς ψυχαῖς ἡ φύσις μωρίας ἢ ἀληθέστερον εἰπεῖν μανίας ῥανίδα.

580. Οὐδεὶς ἑαυτῷ ἐπιγράφεται τὰ σκαιῶς ἀποβαίνοντα.

581. Ἔνιοι θᾶττον ἑνί τινι ἐπισήμῳ εὐποιΐᾳ δεσμοῦνται, ταῖς δ᾽ ἀλλεπαλλήλοις εὐεργεσίαις ὥσπερ οἱ μοχθηροὶ τῶν ἀχθοφόρων ἐπὶ πρόσωπον πίπτουσι.

582. Τῶν εὐποιϊῶν ὁπόσαι τῶν ἐλπισθέντων ἥττους εἰσίν, ἀχαριστίας γίγνονται πολλάκις ὑπέκκαυμα.

583. Πλῆθος ὅλον τῶν ἐπὶ μέρους ἀνθρώπων μᾶλλόν ἐστιν ἀχάριστον, καὶ διὰ τοῦτο αἱ εἰς ὁλόκληρον ἔθνος καταβαλλόμεναι χάριτες ὡς τὰ πολλὰ οἴχονται φροῦδαι· ἀλλ᾽ εἰ τύχοι κακουχίαν τῆς φθασάσης εὐποιΐας καὶ εὐτυχίας διάδοχον κατατρίψασαν τὸ πολίτευμα τὴν μνήμην ἀναῤῥιπίσαι τοῦ πρότερον εὐηργετηκότος, τότε δὴ τότε μυρίοις ἐπαίνοις γεραίρουσιν οἱ εὖ πεπονθότες τὸν εὐεργέτην, ἀνεξαλείπτους τε θάλπουσι τὰς εὐποιΐας, νεάζουσαν καὶ ἀκήρατον τῷ παρέρποντι αἰῶνι τὴν τούτων μνήμην παραπέμποντες.

584. Ἀσεβῶν οἰκτιρμοὶ ἀνελεήμονες· οὐ γὰρ οἶκτος, ἀλλ᾽ ὠμότης ἐστὶ τὸ φείδεσθαι τῆς ἐπὶ λύμῃ τῶν τε κατὰ μέρος καὶ αὐτοῦ τοῦ κοινοῦ θριαμβευούσης μοχθηρίας.

585. Ὀλίγων λεπτῶν ἐλαττωμάτων συνδρομὴ μεγάλην ἔσθ᾽ ὅτε ἀκοσμίαν φέρει ταῖς ἀρεταῖς.

586. Ἔνιοι ἀκαίρῳ ζήλῳ μεθύοντες ἐκτιτρώσκουσι τὰς ἀξιαγάστους ἐγχειρήσεις, τὰ δὲ μὴ κυοφορούμενα μηδ᾽ ὡρισμένῳ χρόνῳ ἐς φῶς προϊόντα οὐ μόνον ὀλιγοχρόνιον ἔχει τὴν ζωήν, ἀλλὰ πολλάκις καὶ τοὺς γεννήσαντας διόλλυσιν.

587. Ἡ τῶν ἀνθρώπων ἄνοια ἐρίζουσα τῇ προνοίᾳ καὶ τῇ φρονήσει τό γε δοκοῦν ἄγει καὶ φέρει κἀκείνη τὰ ἐν τῷ βίῳ.

588. Κρυφίνουν οὐδὲν μεῖον ἢ πολύχουν τὸ φίλαυτον τὸν πλοῦτον ἀποβαλὸν μεγαλοψυχίαν ὑποκρίνεται· τῇ δ᾽ ἀληθείᾳ ἐκτόπως ἑαυτὸ φιλοῦν τῷ νηπενθεῖ τῆς ὀλιγαρκείας φαρμάκῳ θεραπεύει καὶ ἄκον τὴν φλεγμαίνουσαν ὀδύνην· τῶν τέκνων ἀποθνησκόντων[1], πάλιν ἡ φιλαυτία ἐπίσχει τὸν ῥοῦν τῶν δακρύων· ἀλλὰ πάλιν ὑποκοριζομένη σεμνύνεται καρτερίας ὀνόματι, καὶ νόσῳ παλαίουσα ὑπερφιλοῦσα ἑαυτὴν ἀνέχεται καὶ πυρὸς καὶ σιδήρου· ἀλλὰ κἀνταῦθα ἐς γενναιότητα κομψῶς καλλωπίζεται· ὑγιαίνουσα σωφρονεῖ ἑαυτήν, ἀλλ᾽ οὐ τὴν σωφροσύνην φιλοῦσα· καὶ ἐφ᾽ ὁτῳοῦν κινήματι ἑαυτῆς κηδομένη ἐπὶ τῷ ἰδίῳ συμφέροντι οὐ διαλείπει προνοεῖσθαι καὶ τῶν ἄλλων· εὐεργετεῖ, δικαιοσύνην ἀσκεῖ, μετ᾽ ἀκριβοῦς φρονήσεως λεπτολογεῖται τὰ δέοντα, λιπαρεστέραις σπουδαῖς ἀποπληροῖ τὰ πρὸς τὸ ὁμόφυλον καθήκοντα· καὶ εἰ τύχοι δι᾽ ἐρημίας ὁδεῦσαι, τῶν ἄλλων φειδομένων, τὸ φίλαυτον μόνον χρημάτων δῆθεν ὀλίγωρον ἁβροτέροις μισθοῖς εὑρίσκεται τοὺς ἀσφαλῶς τῆς πορείας ἡγησομένους· τῆς πατρίδος πολιορκουμένης, μηδαμῶς φείδεται τῶν ὑπαρχόντων, ἀλλὰ πολιτικὴν περίνοιαν ἐπονομάζον τὸ πρᾶγμα καὶ ἄδοξον σωτηρίαν ὠνούμενον τῇ πόλει ἑαυτῷ τὴν ἀσφάλειαν πραγματεύεται· καὶ ἐν πελάγει πλέον, ὑπονοουμένου ναυαγίου, τῶν ἄλλων σμικρολόγως φιλαυτούντων καὶ ἀναδυομένων δυσωπῆσασθαι τῇ ἀποβολῇ τοῦ φόρτου τὸν Ποσειδῶνα μαινόμενον, τὸ ἀκριβῶς φίλαυτον καὶ τὸν χιτωνίσκον μάλα προθύμως προήκατο, γενναιότητος δῆθεν περιουσίᾳ πλούτου περιφρονεῖν ὑποκρινόμενον· καὶ ταύτῃ πως ἐπηλυγάζον ἑαυτό, τῶν τε παχυτέραν τινὰ καὶ ἀγελαίαν φιλαυτίαν νοσούντων κοπτομένων ἐπὶ τῇ πενίᾳ καὶ αὐτὴν τὴν ψυχὴν ἀπολεγομένων, τὸ

[1]) Οὕτως ἐν τῇ ῷᾳ, ἐν δὲ τῷ κειμένῳ *τέκνων θανόντων*.

www.dacoromanica.ro

ἀσφαλῶς φίλαυτον ἐκ τοῦ παραυτίκα εὐσεβείας προσωπεῖον ὑποδυόμενος ἐς οὐρανὸν αἴρει χεῖρας καὶ ὑπὲρ τῆς κοινῆς σωτηρίας δοκοῦν ἀγωνιᾶν ἑαυτῷ μνηστεύεται τὴν ἀσφάλειαν· ἀλλὰ πάνυ δυσχερές ἐστιν ἐπὶ λεπτοῦ ἀναπτύσσοντα ἀπιέναι πᾶσαν φιλαυτίας πτυχήν· βαθὺ τὸ χρῆμα καὶ Δηλίου τῳόντι δεῖται κολυμβητοῦ.

589. Ἡ φιλαυτία ἴσως ἐστὶ τὸ αὐγοειδὲς τῆς ψυχῆς ὄχημα.

590. Οὐδὲν θαυμαστὸν ἔκφορα γίγνεσθαι τὰ τῆς ψυχῆς ἀπόῤῥητα, τῶν αἰσθήσεων οἱονεὶ κατασκόπων ἐπαγρυπνουσῶν τοῖς κινήμασιν αὐτῆς καὶ παραυτίκα προδιδουσῶν τὴν ἐνδομυχοῦσαν διάθεσιν.

591. Ὁ πολὺς ῥέων περὶ τὰς πεύσεις κατασκόπου δίδωσιν ὑπόνοιαν.

592. Τὸ ἀπατᾶν καὶ εὐφυῶς παρακρούεσθαι τὴν μοχθηρίαν ἄντικρυς φρόνησις.

593. Κεχρυσωμένους εἶναι δεῖ τοὺς προσφερομένους τοῖς ὑπερέχουσι τῶν λόγων τροχίσκους.

594. Ἡ ἀλήθεια οἱονεὶ πάγκαλος παρθένος· ὀφθαλμοὺς ἀποκλίνουσα βασκαίνοντας διὰ παραπετάσματος εἴωθεν ὁμιλεῖν.

595. Χρῶ ἐκ περιτροπῆς ἁπλότητι καὶ περινοίᾳ

596. Καὶ αἱ ἐξαίσιοι φιλίαι οὐκ ἀποποιοῦνται τὰς ἐξαιρέσεις.

597. Εἰ θέλεις φιλεῖσθαι, φίλει.

598. Αἱ φιλίαι ἀπὸ τῆς συμπαθείας οἷον ἀπὸ ῥίζης ἀναβλαστάνουσιν.

599. Ἡ αἰδὼς τῇ ἀγάπῃ οὐ συνυφίσταται.

600. Ἡ ἀγάπη θαῤῥαλεωτέρα τοῦ μίσους ἐστί.

601. Τὸ φιλεῖν οὐκ ἐλάττονος ἡδονῆς χορηγὸν ἢ τὸ φιλεῖσθαι.

602. Τὰ τῶν κακολόγων στόματα τῶν πολιτειῶν βορβορώδεις εἰσὶν ὑπόνομοι.

603. Τὸ μὲν μῖσος κατὰ μικρὸν δαπανᾷ καὶ φθείρει, ἡ δ' ἀγάπη δίκην λάβρου πυρὸς ἐπινέμεται.

604. Ἡ ἑκάστου περὶ αὑτὸν σφαλερὰ ὑπόληψις ἀνίατος νόσος ἐστίν.

605. Ὁ ἐν τοῖς ἰδίοις κριτὴν καθίσας ἑαυτόν, ὑπὸ τῶν παθῶν φθειρόμενος, δεκάζει τὰς ψήφους.

606. Ἡ φιλαυτία ἔοικε μικροσκοπείῳ, ὃ τοῖς ἐλαχίστοις περιτίθησι μέγεθος καὶ ἐγγὺς ἄγει τὰ πόῤῥω κείμενα· μεταβάλλει δὲ κατὰ τὸ δοκοῦν αὐτῇ οὐ μόνον τὴν ποσότητα, ἀλλὰ καὶ τὴν ποιότητα τῶν ἀντικειμένων πραγμάτων οὐδὲν μεῖον ἢ προσώπων.

607. Τά γε πλείω τῶν ἀτυχημάτων ἀφροσύνης ὄντα γοναὶ ἔχουσι τιθηνὸν τὴν ὀλιγοψυχίαν.

608. Ἡ εὐφυὴς ἀντιλογία δέλεαρ ἐπὶ θήρᾳ μυστηρίων.

609. Τὸ ἐν ταῖς κατ' ἰδίαν συνουσίαις φιλόνεικον πόλεμον εἴωθεν ἐν ταῖς οἰκίαις ἀναῤῥιπίζειν.

610. Ἡ προσοχὴ ἐν ταῖς ὁμιλίαις ψυχῆς λόγον ἔχει.

611. Φεῦγε τὰ ὑπερθετικὰ καὶ συγκριτικά· γεννῶσι γὰρ ἔριδας.

612. Ἡ τοῦ ἀμνημονεῖν διάθεσις ἐνίοτε μνήμης ἐστὶν αἱρετωτέρα.

613. Τὸ ὀργίζεσθαι ἐν δέοντι μεγαλοψυχίας ἐστὶ χαρακτήρ.

614. Τὸ μετὰ γλυκύτητος σοβαρὸν τοῦ ἤθους τῆς παρὰ τῶν προσπελαζόντων ὀφειλομένης ἐν ταῖς ὁμιλίαις αἰδοῦς καὶ τιμῆς ἰσχυρός ἐστι δορυφόρος.

615. Ἡ ἐν τοῖς πολιτεύμασιν ἀγαθότης ἄνευ κέντρου ἀγελαία καὶ νηπιώδης ἀρετή.

616. Τὸ δεινοπαθεῖν καὶ ἐλεεινολογεῖσθαι ἐπὶ τοῖς φθάσασι προπηλακισμοῖς οὐκ οἶκτον γεννᾷ, ἀλλὰ μᾶλλον ἐς νέας ὕβρεις ἐρεθίζει τὸν ἀντίπαλον.

617. Οἱ νουνεχεῖς ταῖς εὐποιΐαις προανακόπτουσι τὴν τῶν ἀντιπάλων ὁρμήν.

618. Ἐν τοῖς πολιτικοῖς ἔξεστιν ἐνίοτε ἀνεπιμώμως ἑαυτὸν ἐπαινέσαι· ἥ τε ἐπίκαιρος ἐπίδειξις εὐφυῶς χωροῦσα καλλονὴ καὶ κόσμος ἐστὶ τῶν ἐγχειρημάτων.

619. Ἡ ἀσφαλὴς φρόνησις ὡς ἀπὸ χαλινοῦ ἕλκει τὰ πάθη.

620. Θήρα ἡρώων ἔργον ἥρως.

www.dacoromanica.ro

621. Ἐν τῇ μετὰ τοῦ ὑπερτρέχοντος ὁμιλίᾳ ἐπανθείτω αἰδὼς ἅμα θάρσει.

622. Τῶν ἀρχόντων ὁπόσοι μᾶλλον ἐπιδείκνυνται τὸ φιλάνθρωπον ἢ τὸ δεσποτικόν, ἐκεῖνοί γέ εἰσι τῳόντι γεραρώτατοι.

623. Ὁμίλει τῷ ὑπερέχοντι ἄνευ δειλίας, ἀλλ' οὐκ ἄνευ αἰδοῦς.

624. Οἱ τῶν βασιλέων λόγοι ὥσπερ πλαξὶν ἐγκεκολαμμένοι αἰωνίως φυλάττονται ἐν τῷ τοῦ χρόνου ταμείῳ.

625. Ἐν τῷ ὑπερβάλλοντι τῆς λύπης ἡ ἐλπὶς πολυτελέστατόν ἐστιν ἀντίδοτον.

626. Μὴ ἔσο δαπανητικὸς σεαυτοῦ.

627. Θάλπε καὶ τρέφε τὸ εὔελπι ὑπέρ τε σεαυτοῦ καὶ ὑπὲρ τῶν περὶ σεαυτόν.

628. Μάθε περιφρονεῖν τῶν περιφρονούντων.

629. Ἔνιοι μὲν καὶ μετὰ τῶν ἐμπεφυκότων αὐτοῖς ἐλαττωμάτων χαρίεις φαίνονται· ἄλλοι δὲ μετὰ πολλῶν προτερημάτων ἀπαρέσκουσι, φορτικοί τινες εἶναι δοκοῦντες.

630. Ἡ θεία πρόνοια μετέβαλε πολλάκις ὡς ἀλεξιτήρια τὰ δηλητήρια.

631. Ἔχε ἐν προχείρῳ ὁμωνύμους λόγους τε καὶ πράξεις, ὅπως ἀποφεύγῃς τὴν μετὰ δόλου τῶν ἀντιπάλων καὶ ἐναμίλλων διάπειραν.

632. Ἴσθι κινεῖν τὰ πάθη.

633. Μέμνησο ἐκπληροῦν καὶ τὰ πρὸς τὸ ἀντίπαλον καθήκοντα.

634. Τὰς ὅλῳ πλήθει καταβαλλομένας χάριτας ὑπτίαις μὲν ὑποδέχεται χερσὶν ἕκαστος, ὀκνοῦσι δὲ πάντες περὶ τὴν ἀπότισιν, οἰόμενοι κατ' ἰδίαν ἀχάριστον μὴ λυμαίνεσθαι τὴν ὀφειλὴν τοῦ κοινοῦ.

635. Οὐδέποτε μείζων ἐλπὶς εἰρήνης, ὡς ὁπηνίκα τὰ περὶ τὸν πόλεμον νεανικῶς διαπράττεται.

636. Ἐν τῷ πολέμῳ οὐ μόνον ὁ φόβος, ἀλλ' ὑπόνοιά τε καὶ σκιὰ φόβου ἔφθειρε μεγάλως τὰ πράγματα.

637. Πολλοὶ ἐπὶ τοῖς ἁμαρτανομένοις κοινωνοὺς εὑρισκόμενοι ταύτῃ πως πορίζονται καὶ ἑαυτοῖς τὴν ἀσφάλειαν.

638. Ὁ τοῖς ἔργοις προσέχων συγγνώμην ἀπονέμει τῇ τῶν λόγων τόλμᾳ.

639. Θερμότερον ὑπὲρ ἑστίας ἢ ὑπὲρ βωμοῦ φιλεῖ μάχεσθαι τὸ ἀνθρώπινον.

640. Τὸ ὑπουργοῦν, ἀλλ' οὐ τὸ αὐτουργοῦν ἀρέσκει τῷ ἄρχοντι.

641. Ὀξυδερκὴς καὶ λίχνος μοχθηρία εὐφυής ἐστιν εἰς εὕρεσιν εὐκαιρίας, ὅπως ἐκτοξεύσῃ τὸν ἔνδον ἰόν.

642. Αἱ ἐξ ἁπαλῶν ὀνύχων ἀντιπάθειαι καὶ οἷον εἰπεῖν ἀκροβολισμοὶ τῶν ἀντικειμένων διαθέσεων, προϊόντος τοῦ χρόνου εἰς μέγαν ὄγκον ἀφικνούμεναι, ἐς πικρότατον ἀναῤῥήγνυνται πόλεμον.

643. Τῶν ἀτυχημάτων τὰ μὲν πολλὰ ἅμα καὶ ἀθρόα προσβάλλει δίκην σκηπτοῦ, τὰ δὲ κατὰ διαδοχὴν οἷον πῦρ λάβρον ἐπινέμεται καὶ καταναλίσκει τὸν πάσχοντα.

644. Οἱ μετὰ πολλοῦ κρότου καὶ κόμπου τὸ ἀραρὸς ἐν ταῖς ὑποσχέσεσι προτείνοντες ἔν γε τῷ ἔργῳ ἐκ τοῦ ἀπεῤῥωγότος παραχαράττουσιν ὡς τὰ πολλὰ τὰς πίστεις, ἀποχρησάμενοι τῇ τῶν πεπιστευκότων αὐτοῖς ἀφελείᾳ.

645. Τό τε πράττειν τὰ προστατττόμενα καὶ τὸ ἐπιτάττειν τὰ πρακτέα ἐπίσης εἰσὶ δυσχερῆ.

646. Οὐ δεῖ τραυματίζειν οὓς οὔτε δυνατὸν οὔτ' ἀσφαλές ἐστιν ἐκ μέσου ποιήσασθαι.

647. Οὐ δύναται ἐν ἀμφικρήμνῳ ἵστασθαι ὃν πολλοὶ πανταχόθεν περιχυθέντες ὠθοῦσιν εἰς τὸ κάταντες.

648. Τὸ ἀπότομον ἐνίοτε ἀνιεμένῳ χαλινῷ[1] εὐχερέστερον περιφέρεται ὅπῃ παρείκοι.

649. Δορυφόρος ἐστὶ τῶν νόμων ὁ φόβος.

650. Τὰ σμικρὰ τῇ ἑαυτῶν σμικρότητί εἰσιν ἀσφαλέστερα.

---

[1]) Ἐν τῇ ᾤᾳ τοῦ κώδικος· ἢ *κέντρου* ἢ *χαλινοῦ*.



www.dacoromanica.ro

651. Πολλῶν πταιόντων, ἀμηχανοῦν τὸ ἄρχον οὐδένα ποινὰς εἰσπράττεται.

652. Δοτέον τινὶ μοῖραν μεταξὺ ζωῆς καὶ θανάτου.

653. Τοσαύτη ἐστὶν ἡ τῆς ἀληθείας ἰσχύς, ὥστε καὶ τὸ ψεῦδος ποιόν τινα κόσμον ἀπ' ἐκείνης ἐρανιζόμενον ὥσπερ ἔνοπλον ἐς μέσον πρόεισι, τοιούτῳ προσχήματι τοὺς ἀπαντῶντας παρακρουόμενον.

654. Ὁπόσοι ὀλιγωροῦσι θανάτου, ὁτουοῦν ὀλιγωροῦσιν.

655. Ἡ ἀνάγκη τοῦ νικῆσαι ἰσχυρότατον νίκης ὅπλον.

656. Τοῖς γε μὴ προσιεμένοις ὁποιασοῦν λειτουργίας λιπαρῶς προσφέρουσιν οἱ ἄνθρωποι.

657. Οὐκ ἀηδῶς θάλπει καὶ τρέφει τὸ ἄρχον ἐκείνους, οἷς οἷα θυσίαις ἔχει δυσωπήσασθαι τὸ πλῆθος, εἰ τύχοι μαινόμενον.

658. Οἱ τοὺς περὶ τὸν ἄρχοντα μισοῦντες οὐκ ἔστιν ὅπως αὐτὸν ἀγαπῷεν.

659. Οἱ ἄρχοντες οὐδέποτε πταίουσι μόνοι.

660. Τὸ μεγαλόψυχον ἀποποιεῖται τὰς τῶν δώρων ὑποσχέσεις· τὸ δὲ γενναιότητος περιουσίᾳ οὐδὲ παροῦσι προσβλέψαι, ἀλλ' ἀποκρουσάμενον τὰ νῶτα δεῖξαι ἀνώνυμός τις καὶ μεγαλοψυχίας μείζων ἀρετή.

661. Τὸ ἑκουσίως κινδυνεῦσαι καὶ κατατολμῆσαι φάρμακόν ἐστι πολλάκις ἐξαίσιον τῶν ἐπικρεμαμένων κινδύνων.

662. Ὁ κοινὸς κίνδυνος ἀῤῥαγής ἐστι τῶν ἐν αὐτῷ καθισταμένων δεσμός.

663. Προδοσίαν ὠδίνουσα ψυχὴ μηδέσι δεσμοῖς χαλινοῦται· εὐεργεσιῶν προχεομένων ὀλιγωρεῖ, κινδύνων ἐπηρτημένων κατορχεῖται, ὀνείδους παρὰ πόδας ἕρποντος οὐδ' ἐπιστρέφεται· ἐπὶ δὲ τῇ κυοφορουμένῃ κακίᾳ ὡς ἐπὶ βωμῷ κατασφάττει τό τε κοινὸν καὶ τὸ ἴδιον κλέος, καὶ παντάπασι τυφλώττουσα ὥσπερ ἑκατόμβην κατακαίει καὶ ἀποτεφροῖ προφανῆ καὶ πολύχουν εὐτυχίαν.

664. Ἡ κατάχρησις οὐκ ἐμποδὼν ἵσταται τῇ χρήσει.

665. Μάνθανε διὰ παντὸς τοῦ βίου καλῶς ζῆν, μάνθανε δὲ καὶ καλῶς θανεῖν.

666. Ἐν τῷ παρόντι χρὴ ζῆν τὸν ἐχέφρονα, προνοούμενον καὶ τῆς κρείττονος ζωῆς· τὸ δὲ προϊέναι τὸ παρὸν ἐφέσει πλείονος πλούτου ἢ μείζονος ἀξίας οὐκ ἔστι ζωή, ἀλλὰ σκιὰ ζωῆς καὶ ὕπνος ἐγρηγορότος.

667. Τῶν πραγμάτων ἐν κινδύνῳ ἤδη σαλευόντων καὶ φανερῶν ἐπῃωρημένων δεινῶν, οἱ μὴ ἀποκλίνοντες ἐς θάτερον τῶν μερῶν, ἀλλ' ἐν τῷ μετρίῳ ἱδρυμένοι, ὡς τὰ πολλὰ κακῶς ἀπαλλάττουσι· τὰ γὰρ ὀξύτατα τῶν νοσημάτων ὀξυτάτας ἀπαιτεῖ θεραπείας αὐθημερὸν ῥᾳδιουργουμένας, ἀλλ' οὐχ ὑπερημέρους καὶ ἑώλους ἐπὶ κηδείᾳ καὶ ἐκφορᾷ τοῦ νοσοῦντος φοιτώσας.

668. Ζήτει βουλὴν παρὰ Θεοῦ.

669. Τοσαύτη δύναμις ἔνεστι τῇ ἀληθείᾳ, ὥστε, καίπερ μυρίοις ψεύδεσι καλυπτομένην οἱονεὶ νέφεσι παχυτάτοις, ἀναλάμπειν ὅμως ταῖς μαρμαρυγαῖς δαιμονίως καταστράπτουσαν.

670. Μέτρῳ καὶ σταθμῷ παιδεύει τὸ θεῖον.

671. Μὴ ἄκρατον ἄσκει φρόνησιν, ἀλλὰ νήφουσαν δῆθεν, ἀνακεκραμένην ἁπλότητι.

672. Νεανικὴ καὶ ἄκρατος ἀρετὴ ἀνεπιδεής ἐστι προσποιήσεως.

673. Τῆς θείας νεμέσεως ἐπιβαλλούσης ὁτῳοῦν τὰς χεῖρας, φρόνησις καὶ ἀγχίνοια μηδὲν ὠφελοῦσιν.

674. Αἱ ἀκρότητες τῶν ἀρετῶν ἐν τῇ ἀκμῇ τῆς ἀνάγκης ὡς ἀπὸ πυρίτου λίθου χάλυβι προστριβομένου ἀπαστράπτουσιν ἐκρηγνύμεναι.

675. Συγγενές ἐστι τῷ ἀθῴῳ τὸ μετὰ συστολῆς καὶ ἐρυθήματος πεπλημμεληκός.

676. Τὸ ἄρχον οὐ μόνον περὶ τῆς ἰάσεως τῶν τραυμάτων, ἀλλὰ καὶ περὶ τῆς οὐλῆς, ὅπως μὴ ἀμορφίαν περιάπτοι, τήν γε ἐφικτὴν καταβαλλέτω σπουδήν.

677. Τοῦ μιᾷ τινι νεανικῇ κακίᾳ πιεζομένου ἐνίοτε χείρων ὁ μυρίοις, εἰ καὶ κουφοτέροις, ἐλαττώμασι πιεζόμενος καὶ συμπνιγόμενος.

678. Οὔτε τοῖς ἀγρίοις τῶν θηρίων οὔτε ταῖς κακίαις ἤδη τιθασευομέναις ἔξεστι τεθαῤῥηκέναι.

www.dacoromanica.ro

www.dacoromanica.ro



679. Ἔξεστι καὶ τὰς ὑφειμένας τῆς κακίας παραφυάδας τῷ τῆς ἀρετῆς ὀνόματι κοσμεῖν λιπαρᾷ σπουδῇ ἐς ἀσφαλεῖς ἀρετὰς κατὰ μικρὸν ἐγκεντρίζοντας.

680. Καὶ οἱ γυμνοὶ ἔχουσιν ὅπλα.

681. Ἡ ἀνάγκη καὶ τοῖς γυμνοῖς δίδωσιν ὅπλα.

682. Τὰ νόμιμα τῆς ἀγάπης τῶν τοῦ νόμου κανόνων εὐρύτερα.

683. Τὸ τοῦ δούλου συμφέρον ὑπείκει τῷ τοῦ δεσπότου συμφέροντι.

684. Ἀμοιβαία ἀσφάλεια ὀφείλεται τῇ ἀσφαλείᾳ.

685. Τὸ αἰφνίδιον πολλάκις δεκάζει τὰς ψήφους.

686. Ὁποιαοῦν γωνία τοῖς χειμαζομένοις λιμήν ἐστι.

687. Τοῖς φοβουμένοις μηδὲν ἀσφαλές.

688. Ὁ φόβος οὐ μόνον μέγεθος περιτίθησι τοῖς ἀπαντῶσι χαλεποῖς, ἀλλὰ καὶ τὰ πόῤῥω ὄντα ὑπ' ὀφθαλμοὺς τίθησιν.

689. Ὁποιῳοῦν σανίδι ὑπὸ τῆς τύχης ὑποδεικνυμένῃ οἱ ναυαγοῦντες ἐπιβῆναι μηδαμῶς ἀπαναίνονται.

690. Ἡ πανουργία ἐνίοτε ἐκπέπωκε τὸ δηλητήριον, ὅ γε ἑτέροις παρεσκευάκει.

691. Μηδεὶς οὕτως ἀντίτυπος ἐς θεραπείαν καὶ δυσωπίαν, ὥστε μὴ ἐνεῖναί γε αὐτῷ λαβίδα, ἀφ' ἧς εὐάγωγος γένοιτο.

692. Ἐνίοθ' ὑπείκοντες καὶ ὑποχωροῦντες ἐς τὸ ἄναντες ἀψοφητὶ ἀναῤῥιχῶνται οἵ γε νοῦν ἔχοντες.

693. Τὰ γεννήματα τῶν ἐχιδνῶν κἂν μυρίαις εὐποιΐαις ὥσπερ γάλακτι θρέψειας, ἀλλ' ὅμως μηδαμῶς ἐστιν ἀσφαλὲς περιθάλπειν ἐν τῷ κόλπῳ φέροντα.

694. Ἡ μετὰ φρονήσεως περιφρόνησις ἐνίοτε θᾶττον ἀνατρέπει τάς γε ἀδρανεῖς τῶν ἀντιπάλων μηχανάς.

695. Τὸ κραδαινόμενον εὐόλισθον.

696. Αἱ πρὸ ὀλίγου σβεσθεῖσαι λαμπάδες καὶ ἀπὸ σπινθῆρος αὐτίκ' ἀναφλέγονται.

697. Ταχυνόντων τῶν ἐπὶ μέρους, ἡ τοῦ ὅλου κίνησις σχολαιοτέρα.

698. Ὁπόσοις ἡ τιμὴ τῆς ζωῆς προτιμοτέρα, ἐκεῖνοι βέλει λόγου τραυματισθέντες, οἷα καιρίαν κατὰ μέσην καρδίαν λαβόντες, οὐδ' ἡμιθανεῖς παραιτοῦνται τὴν ἄμυναν, ἀλλὰ τῷ περὶ τὴν τιμὴν ἐκκαιόμενοι ζήλῳ ὥσπερ οἱ μαινόμενοι καὶ διὰ πυρὸς ὁρμῶσι κατὰ τοῦ τρώσαντος.

699. Ὁπόσοι φρενῶν εὖ ἥκουσι[1], καὶ τὰ ἤδη ἐπὶ γῆς κείμενα τῶν ἀντιπάλων πτώματα οὐ περιορῶσιν, οὐδ' ἀφυλάκτως αὐτοῖς προσπελάζουσι.

700. Μηδὲν εἴωθε μόνον ἐνσκήπτειν ἀτύχημα.

701. Ὁ φθόνος ὀξυδερκὴς ὢν περὶ τὴν εὐτυχίαν τυφλώττει περὶ τὴν ἀρετήν.

702. Ἐν τῷ σκότει καὶ οἱ γυμνοὶ λευχειμονεῖν φασιν.

703. Ἡ εὐκαιρία καὶ τοῖς μικροῖς ὄγκον ἐπιτίθησιν.

704. Ἀσφαλεστέρα ἐστὶν ἐνίοτε ἡ τῶν κινδύνων ἄγνοια τὴν σωτηρίαν παρεχομένη, ἣν ὁ φόβος ἀφείλετο ἄν.

705. Ἀφοβίαν ἐνίοτε τίκτει τὸ τῶν κινδύνων ἀλλεπάλληλον.

706. Μηδὲν προσωπεῖον ἰσχύει περικαλύψαι ὅλον τὸ τοῦ ἄρχοντος πρόσωπον, ἀλλ' ὥσπερ τὸν ἥλιον ἐκλείποντα, οὕτω κἀκεῖνον προσποιούμενον περιεργότερον οἱ πολλοὶ παρατηροῦσι.

707. Δεινὸς τερατουργὸς ὁ φόβος.

708. Ὁσημέραι πολλαὶ μονομαχίαι συγκροτοῦνται ἐν τῷ τῆς καρδίας σταδίῳ.

709. Ἡ μωρία διὰ πάσης ἡλικίας καὶ ἰδέας βίου χωρεῖ· ἐπειδὰν δὲ οὐ παντάπασιν ἀπῳδὸς εἴη, ἀλλ' οἷον εἰπεῖν κατάλληλος τῇ ἡλικίᾳ καὶ τῷ βίῳ ἑκάστου, τηνικαῦτα ἢ διαφεύγει τὴν αἴσθησιν, ἢ μετριώτερα περιάπτει τὰ ὀνείδη.

710. Ὁμόψηφον τῇ τύχῃ γνώμην οἱ πλείους περὶ ἑκάστου φέρειν εἰώθασι.

---

1) Ἐν τῷ κειμένῳ· *Οἵ γε νοῦν ἔχοντες*· ἀλλ' ἄνωθεν τούτων ὁ καλλιγράφος ἔγραψεν· *Ὁπόσοι φρενῶν εὖ ἥκουσι.*

711. Καὶ ἡ ἐν πολέμῳ ἀνδρεία ὡς τὰ πολλὰ φιλαυτίας ἐστὶ γονὴ ἐπὶ τῇ φυλακῇ ζωῆς τε καὶ τιμῆς καὶ μείζονος εὐδοξίας περιποιήσει εὐφυῶς διατεινομένη.

712. Ὥσπερ οἱ δανειζόμενοι, ὅπως ἐκ ῥᾴστου πάλιν ἔχωσι δανείζεσθαι, ἡκούσης τῆς προθεσμίας ἀποδιδόασι τὸ δάνειον, οὕτω πολλοὶ εὐχάριστοι πρὸς τοὺς εὖ πεποιηκότας φαίνονται, ἵνα καὶ ἐς τοὐπιὸν εἰς τὸ εὖ ποιεῖν αὐτοὺς ἀνερεθίσωσι.

713. Τὸ ἐχέμυθον καὶ πιστὸν ἐπὶ φυλακῇ τῶν ἀνακοινουμένων λόγων ἀπὸ τῆς φιλαυτίας ὡς ἀπὸ ῥίζης πολλάκις ἀναφύεται· ἐχεμυθοῦσι γὰρ οἱ πολλοί, ἵνα καὶ τοὺς ἄλλους ἑλκύσωσιν εἰς ἀνακοίνωσιν τῶν ἀποῤῥήτων κἀντεῦθεν κλέος ἑαυτοῖς περιάψωσιν.

714. Ἡ μεγαλοψυχία πόῤῥω πάσης ῥυπαρίας οὖσα ἁπάντων καταφρονεῖ, ὅπως ἁπάντων ἐγκρατὴς γένηται.

715. Ἐπειδὴ πᾶσα ἀρχὴ παρὰ Θεοῦ καὶ σκιαὶ Θεοῦ οἱ βασιλεῖς ἐπὶ τῆς γῆς, τοὺς ἐν τοῖς πολιτεύμασιν ἀποταξαμένους μὴ μόνον οἰκίᾳ καὶ γυναικὶ καὶ τέκνοις καὶ φίλοις, ἀλλ' (ὃ δὴ πάντων δυσχερέστατον) ἀποδυσαμένους ἑαυτοὺς ἐξόν ἐστιν ἴσως ἀνεπιμώμως ἐπονομάζειν πολιτικούς τινας ἁγίους καὶ γενναίους ἀθλητὰς ἐπὶ τῇ τοῦ ὁμοφύλου σωτηρίᾳ μονονουχὶ θυσίαν γιγνομένους.

716. Ὁ μὲν εὐεργέτης ἢ ἀπλέτῳ τινὶ καὶ ἐμφύτῳ ῥοπῇ εἰς τὸ εὖ ποιεῖν ὁρμώμενος, ἢ ὑπὸ φιλοτιμίας κεντούμενος συγγνώμην ἔσθ' ὅτε ἀπονέμει τῷ ἀχαρίστῳ, μὴ κωλυόμενος δήπουθεν ὑπὸ τῶν ἀκανθῶν, ἀλλ' ἀποδρεπόμενος τὸ θυμηρέστατον τῆς εὐδοξίας ῥόδον· τὸ δ' εὐχάριστον καὶ μνημονεῦον εὐποιΐας φύσει πως καὶ ἄκον οὐδέποτε τῷ ἀχαρίστῳ διαλλάττεται.

717. Ἡ ἐμφωλεύουσα τῇ ψυχῇ φιλαυτία πηγὴ καὶ ῥίζα μυρίων ἐστὶ κακῶν, καὶ διὰ τοῦτ' ἄρα τοῖς ἀποταξαμένοις τῷ κόσμῳ ὑποτίθεται τὸ δεσποτικὸν στόμα, ὅπως ἑαυτοὺς ἀπαρνήσωνται· οἶδε γὰρ ἡ ἐνυπόστατος σοφία, ἡ ἐτάζουσα καρδίας καὶ νεφρούς, πολλοὺς ὑπὸ φιλαυτίας τὴν πρὸς τὸ ὁμόφυλον ὁμιλίαν ἀποφεύγοντας καὶ ἐν ἐρημίαις οὐδὲν ἔλαττον φιλαυτοῦντας· τὸ δὲ μήτ' ἐλπίζον μήτε φοβούμενον, ἀλλ' ἀκράτῳ καὶ ἀκηράτῳ ἀγάπῃ πυρπολούμενον τῷόντι θείας φιλοσοφίας ἀκρότης ἐστί.

718. Τὸ δραστήριον οὐκ ἀπαναίνεται τὸ πρᾷον. Ἔξεστιν ἄρα νεανικῶς ἅμα καὶ λείως ὁμιλεῖν προσώποις τε καὶ πράγμασι.

719. Κορωνὶς ἀρετῶν ἀποταγὴ φιλαυτίας.

720. Αἱ ἡδοναί, ἐφ' ᾧ τοὺς ἀπαντῶντας ῥᾷστα φενακίσωσι, κεκαλλωπισμέναι καὶ μυρίαις ἐπῳδαῖς συγκεκροτημέναι ἐς μέσον προβαίνουσι, μέχρις ὅτου καταγοητεύσωσι τοὺς ὁμιλοῦντας αὐταῖς, περικαλύπτουσαι τὰ ἐμπεφυκότα καὶ παρακολουθοῦντα δεινά· εἰ γὰρ ἡ κεφαλαλγία καὶ ἡ κραιπάλη προηγήσαιτο τῆς μέθης, οἵ γε πλείους φεύγοντες διετέλεσαν ἂν τὴν πολυποσίαν. Ἀναπεπταμέναις ἄρα χερσὶ περιπτύσσονται καὶ συσφίγγουσιν αἱ ἡδοναὶ τοὺς δειλαίους ἀνθρώπους, ὅπως αὐτοὺς ἀποπνίξωσιν.

721. Ἅπαντα ἐπέρχου ὑψηλῷ καὶ νεανικῷ πνεύματι.

722. Γενναῖος τῷόντι λογισμὸς ὅ γ' ὑπὸ τοῦ χρόνου ἡττᾶσθαι μηδαμῶς ἀνεχόμενος.

723. Ἔνιοι καὶ νήφοντες μεθύουσι.

724. Τὸ ἀμιγὲς κακίας ἀγαθὸν καὶ ἐπικρυπτόμενον ἑαυτὸ ἐν ὑπαίθρῳ διάγει.

725. Ἡ ἀχαριστία ἀπροφάσιστος καὶ ἄκρατος ἀδικία.

726. Πάντα κακίας ὅρον ὑπερβέβληκε τὸ ἀχάριστον, ὥστε, μὴ εὑρισκόντων τῶν ἀνθρωπίνων νόμων τὰς προσηκούσας τιμωρίας, ἑαυτῷ κατ' ἐξαίρεσιν φυλάττειν τὸ θεῖον καὶ τὴν κατὰ τῶν ἀχαρίστων ἐκδίκησιν.

727. Τῶν ἀνθρώπων οἱ μὲν μόνῳ Θεῷ δουλεύουσιν, οἱ δὲ μόνῳ τῷ κόσμῳ, ἕτεροι δὲ καὶ τῷ Θεῷ καὶ τῷ κόσμῳ· ἀλλ' ἐν ὁποιᾳοῦν ἰδέᾳ βίου ἔχει πολὺ μέρος ἡ φιλαυτία καὶ οὐκ ἔστιν ὅστις οὐ δουλεύει ἑαυτῷ, ὁ μὲν τῆς κατὰ ψυχὴν γαλήνης, ὁ δὲ χρημάτων, ὁ δὲ δόξης ὀρεγόμενος.

728. Ὁ ἀρετῆς ἀπρὶξ περιεχόμενος, ἀπαρεσκόμενος δ' ἑαυτῷ, ἐκεῖνος πολλοῦ ἂν εἴη τοῖς γ' εὖ φρονοῦσιν ἄξιος.

729. Τὸ μὲν ἐς ἄκρον ἀρετῆς ἐληλακότα καὶ πᾶν εἶδος φιλαυτίας ἀποδυσάμενον,

www.dacoromanica.ro

μόνῳ δὲ τῷ θείῳ ἔρωτι πυρπολούμενον ἐν τῷ θεῷ ζῆν, σπάνιον χρῆμα· οἱ δ' ἐν τῷ ἐπικήρῳ φυρόμενοι, οὐκ ἔχοντες ὁλοσχερῶς ἀποτάξασθαι τῇ φιλαυτίᾳ, τὴν μὲν μερικὴν καὶ χαμαὶ ἕρπουσαν φιλαυτίαν, τὴν περὶ τὰς ἀποπτύστους ἡδονὰς εἱλουμένην, τῇ χαμαιζήλῳ κενοδοξίᾳ καὶ ῥέοντι πλούτῳ δουλεύουσαν, τὴν περὶ τὸ σῶμα καὶ τὴν ἐφήμερον αὐτοῦ ζωὴν ὡς περὶ κέντρον δινουμένην, ὡς ἀπηνῆ δέσποιναν ὅλῳ σθένει φευγέτωσαν· ἀντ' ἐκείνης δὲ διά γε τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως, τῆς ἀμβλυωπούσης ὡς τὰ πολλὰ περὶ τὸ ἀκρότατον ἀγαθόν, τὴν γενικωτέραν φιλαυτίαν ἀνεπιμώμως αἱρείσθωσαν, τὴν ἐς τὸ κρεῖττον μέρος μεταβαίνουσαν καὶ τὴν ψυχὴν λιπαρῶς κοσμοῦσαν, ἐκτεινομένην δὲ καὶ ἐς τὸ ξυγγενὲς καὶ ὁμόφυλον, καὶ τὴν ἐπιβάλλουσαν λειτουργίαν εἰσφέρουσαν ἐς τὸ κοινὸν τοῦ βίου· συναγελαστικὸν γὰρ ζῷον ὢν ὁ ἄνθρωπος ὀφείλει μέρος ἑαυτοῦ τῇ πατρίδι τῇ τε μείζονι καὶ τῇ ἐλάττονι, μέρος ὀφείλει τοῖς ἀπογόνοις, μέρος οὐκ ἐλάχιστον τοῖς φίλοις, ὀφείλει δὲ ὅλον ἑαυτὸν τῷ Θεῷ· καὶ ἐν μὲν τῇ ἀτομικῇ ὡς ἔπος εἰπεῖν φιλαυτίᾳ κυλινδούμενος ὁ ἄνθρωπος οὐ μόνον οὐκ ἂν εἴη κοσμοπολίτης, ἀλλ' οὐδ' ἁπλῶς πολίτης οὐδ' ἄνθρωπος, μηδὲν ἔργον περαίνων, μηδὲν τῶν καθηκόντων ἐκπληρῶν[1]· εἰς δὲ θατέραν ἐγκεντρισθεὶς νουνεχῶς ἅμα καὶ ἐντίμως ἔχει διανύσαι τὸν βίον φιλῶν οὐ μόνον σῶμα, ἀλλὰ καὶ τὴν ψυχήν, ἀπολαύων μὲν νομίμως τῶν μὴ κεκωλυμένων ἡδονῶν καὶ ἀνακτώμενος ἑαυτὸν πεπονηκότα γλαφυραῖς καὶ ἀνειμέναις σπουδαῖς, ἀπολαύων δὲ μᾶλλον τῶν ἀκηράτων τῆς ψυχῆς ἀγαθῶν, ἀσκῶν ὁσημέραι τὰς ἠθικάς τε καὶ πολιτικάς τε ἀρετὰς καὶ προθύμως ἀποδιδοὺς τὰ ἐπιβάλλοντα τῷ κοινῷ τοῦ βίου· πρὸ δὲ πάντων καὶ ἐπὶ πᾶσιν ὅλον ἑαυτὸν ἀποδιδοὺς καὶ ἀνατιθεὶς τῷ χορηγῷ καὶ συνεχεῖ τῶν ὅλων Θεῷ, ὑποβάλλων τὰ ὑπάλληλα τῶν ἔργων τῇ εὐσεβείᾳ καὶ τῷ καλῷ, ἃ κυριώτατα ἀνθρώπου ἔργα· εἰ δ' ἐπ' ἐκείνοις οἷον ἐπ' ἀραρόσι θεμελίοις ἐποικοδομήσαιτο καὶ τὰ ἰδίως[2] συνοίσοντα, οὐκ ἂν εἴη μωμητέος· μιμείσθω δὴ τὰς τῶν πλανητῶν σφαίρας, τὰς μετ' ἀόκνου μὲν ὡς εἰπεῖν ὑποταγῆς καὶ μεθ' ὁρμῆς ἀπλέτου μετὰ τῆς ἀνωτάτω σφαίρας συμπεριφερομένας τὴν ταχυτάτην κίνησιν, σχολαίτερον δὲ τὸν ἑαυτῶν δρόμον ἰδίοις λόγοις ἀνυούσας.

730. Τὸ μὲν καπηλικὴν ἔχειν τὴν διάνοιαν ὀνείδου μεστόν, τὸ δ' ἐν ταῖς συνουσίαις καὶ τοῖς ἀπὸ τοῦ ἰδιωτικοῦ καὶ βαναύσου βίου παραδείγμασιν εὐφυῶς ἐνίοτε χρώμενον διατρανοῦν καὶ κρατύνειν τοὺς ἰδίους λόγους σωκρατικὸν ἄντικρυς καὶ φιλόσοφον· αἱ γὰρ τέχναι θεραπαινίδες οὖσαι φύσεως ἀπὸ τῶν ἐκείνης ταμείων ἐς τὸ κοινὸν τοῦ βίου ἀνεπαισθήτως οὐκ ὀλίγα προάγουσιν.

731. Οὐ μόνον τὰ ἐν ἡμῖν πάθη, ἀλλὰ καὶ αὐτὸς ὁ νοῦς ἀτίθασόν ἐστι χρῆμα· παχυτάταις γὰρ ἁλύσεσι δεσμούμενος πάλιν ἀποπηδᾷ, κενοδοξίας τε καὶ φιλαρχίας οἴστρῳ κεντούμενος κατὰ κρημνῶν ἑαυτὸν οἰκτρῶς ὠθεῖ· καὶ ὑπὸ μὲν τῶν νόμων ἐν στενῷ περιειργμένος συγκέκλεισται, μυρίους φορεῖ χαλινούς, ἔθεσιν ἀναστέλλεται, παραινέσεσι καὶ ἐπιτάγμασιν ἀναχαιτίζεται, ὑποσχέσεσιν, ἀμοιβαῖς ἀνθρωπίναις ἅμα καὶ θείαις κηλεῖται καὶ θέλγεται· ἀλλὰ τοσούτων καὶ τηλικούτων ἐπιστατῶν καὶ δορυφόρων καὶ φυλάκων παρόντων, πάλιν ἀκολασταίνει μαινόμενος καὶ πάντα διαῤῥήξας πολλάκις δεσμὸν διολισθαίνει καὶ διαδύεται καὶ εἰς ἐξωλείας σχετλίως ἐκτραχηλίζεται βάραθρον.

732. Νηπιάζοντι καὶ μονονουχὶ μαινομένῳ τῷ ἡμετέρῳ νοῒ ἐφεστήκασιν ὥσπερ ἐπιστάται καὶ παιδαγωγοὶ φοβεροὶ θεῖοί τε καὶ ἀνθρώπινοι νόμοι.

733. Γυμνῷ ξίφει ἔοικεν ὁ νοῦς· πάσας γὰρ τὰς περὶ αὐτὸν διαῤῥήξας ἁλύσεις πολλάκις καὶ αὐτὸν κατακτείνει τὸν βαστάζοντα.

734. Οὐ μόνον ἡ τῶν ἀνθρώπων μοχθηρία, ἀλλ' ἐνίοτε καὶ ἡ ἄνοια ὄργανον γίνεται τῇ προνοίᾳ ἐς ἀγαθὸν εἰωθυίᾳ χρῆσθαι καὶ ταῖς ἀντιπάλοις δυνάμεσι.

735. Καὶ διὰ τῆς τῶν πολλῶν ἀνοίας, τῆς θείας διηκούσης προνοίας καὶ τὰ δέοντα κατορθούσης, συρίττεται καὶ καταισχύνεται τὸ γαῦρον καὶ ἀγέρωχον τῆς φρονήσεως.

736. Ὥσπερ ἱεροὶ χῶροι ἢ τὸ παντὸς ὑπεράνω νόμου ἱδρυμένον τῆς θείας δυνάμεως

---

[1]) Ἐν τῷ κειμένῳ ἀποπληρῶν· ἀλλ' ἄνωθεν τὸ ἀπο διώρθωσεν ὁ καλλιγράφος εἰς ἐκ.

[2]) Οὕτως ἄνωθεν τοῦ ἐν τῷ κειμένῳ ἰδίᾳ.

www.dacoromanica.ro

ἐπιδεικνύμενοι, ἢ τὸ ἐπιεικὲς τοὺς νόμους διδάσκοντες, ἢ τῷ ἀσθενεῖ τῆς φύσεως ἐπικλώμενοι καὶ τὰς τῆς μετανοίας ἀναπεταννῦντες θύρας τὸ ἄσυλον τοῖς ἐπταικόσι χαρίζονται, οὕτω δὴ καὶ ἐπίσημος ἀρετή, ἱερὸν τῷόντι χρῆμα, ἀπαλλαγὴν ἐνίοτε καὶ ἀσφάλειαν παρέχεται καὶ αὐτῇ τῇ ἀντιπάλῳ κακίᾳ.

737. Οἱ ἀνθρώπινοι νόμοι οὐκ ἀνερευνῶσι τὰ ἔνδον ἐν τῇ ψυχῇ ταμεῖα.

738. Τοῖς γε καλῶς πολιτευομένοις συμβιβαστέον τὰ ἐπὶ μέρους συνοίσοντα τοῖς τοῦ κοινοῦ ξυμφέροντος λόγοις, ἑτοίμως ἔχουσι παραιτήσασθαι, ὁπότε δεήσοι, τὰ μόνοις αὐτοῖς ὀνήσιμα.

739. Ἡ φύσις αὐτὴ ξυγγνώμην ἀπονέμειν δοκεῖ τοῖς ὁτῳοῦν ἔργῳ χρωμένοις, οὗ χωρὶς οὐκ ἰσχύουσιν ἱκανοὶ γενέσθαι ἐς κατόρθωσιν τῶν παρ᾽ αὐτῆς ἐπιταττομένων.

740. Ἀλαζονεία καὶ κενοδοξία ποικίλοις τρόποις ἐπινέμεται ἅπαν τὸ ἀνθρώπινον· καὶ ὑπὸ προσωπείῳ γὰρ ταπεινώσεως πολλάκις λανθάνειν πειρᾶται. Οὐκοῦν οἱ μὲν λόγοις, οἱ δὲ σιωπῇ δόξαν θηρῶνται, καὶ ἔνιοι μὲν μεταδιδόντες καὶ ἑτέροις τῶν ὄντων ἀπὸ τῆς ἐλευθεριότητος κλέος ἑαυτοῖς μνῶνται, ἕτεροι δὲ τὸ ῥυπαρὸν ὑποκοριζόμενοι οἰκονομικὸν καλοῦσι καὶ ταύτῃ μεγαλαυχοῦσι δῆθεν ἐπὶ φρονήσει· τὸ δ᾽ ὑπέροφρυ καὶ ἀλαζονικὸν καὶ ἐς χαμαιζήλους ἐνίοτε πῖπτον ψυχὰς τοὺς γραμματοδιδασκάλους καὶ πολλοὺς τῶν τὰς βαναύσους ἀσκούντων τέχνας τοσούτου φυσήματος πληροῖ, ὥστ᾽ οὐκ ὀλίγους τῶν ἐφ᾽ ὑψηλοῦ δίφρου καθεζομένων ἀρχόντων μετριωτέρους ἐκείνων τῷόντι εἶναι, καίτοι γε διὰ τὸν ὄγκον τοῦ ἀξιώματος μὴ φαινομένους.

741. Ὁ τοῦ ἀνθρώπου νοῦς ἐν ἑαυτῷ φέρει τὰ σπέρματα τοῦ θείου νόμου, ἥ τε κατ᾽ ἀρετὴν ἀγωγὴ ἐμπέφυκέ πως αὐτῷ· πολλάκις δὲ ἢ ἐξωτερικαῖς καὶ βιαίοις τισὶ περιστάσεσιν ἢ ἀσθενείᾳ φύσεως παρεκτραπεὶς τῆς εὐθείας ὁδοῦ ὑπὸ τῆς τῶν παθῶν τυραννίδος ἐς ἐκφύλους καὶ τερατώδεις ἐκτραχηλίζεται πράξεις· ἀλλ᾽ ὥσπερ τὰ ἐν τῇ φύσει τέρατα φέρουσί τινα τοῦ πρωτοτύπου μορφήν, οὕτω καὶ αἱ ἐς μοχθηρίαν ὑποσυρεῖσαι ψυχαὶ διά τε παραμυθίαν ἐπὶ τοῖς συνθλίβουσι δεινοῖς, ἐφ᾽ ᾧ τ᾽ ἐξὸν αὐταῖς εἴη πάλιν ἀναλαβεῖν τὸ πρότερον τοῦ βίου κάλλος, οἷον ἐνεχύρου ἢ ἱερᾶς ἀγκύρας διατελοῦσι χερσί τε καὶ ὀδοῦσιν αὐτοῖς ἀπρὶξ ἀντεχόμενοι τοῦ ἐπιπολαίου σχήματος τῶν ἀρετῶν· ὅ γε προσποίησιν καὶ ὑπόκρισιν ἐκφαυλίζοντες οἱ πολλοὶ καλοῦσι· τὸ δὴ τοιοῦτον, κἂν ὑπόκρισις εἴη, ἀλλ᾽ ἴσως ἔσθ᾽ ὅτ᾽ ἔξω μώμου ἂν εἴη· ἔστι γὰρ ἀναιρετικὸν προσκόμματος, χαλινὸς κακίας καὶ μέσον ἀσφαλὲς ἐς ἀνάκτησιν τῆς προτέρας διαθέσεως.

742. Οἱ μὴ περαιτέρω τῶν ἐπιπολῶν χωροῦντες, μήθ᾽ οἷον εἰπεῖν καταδυόμενοι ἐς τὰ τῆς ψυχῆς βάθη, τὰ εἴδωλα τῶν ἀρετῶν μόλις περιδραξάμενοι καὶ περιπτύσσονται καὶ γεραίρουσι.

743. Καὶ αἱ σμικρόταται τιμωρίαι βαρύταται εἶναι δοκοῦσιν, ὁπότε τὸ ἄθῳον ἀποκναίεται·

744. Καὶ οἱ μετριώτατοι τῶν ἀνθρώπων χεῖρας ἐνδιδόντες ῥᾷστα καταλλάττονται τῇ φεύγοντας δῆθεν αὐτοὺς διωκούσῃ δόξῃ.

745. Τῶν ἀνθρώπων καὶ οἱ ἐς ἐξαίσιον μετριοφροσύνην νεανιευόμενοι ταῖς ἐν τῇ ψυχῇ θαλαμευομέναις ἀρεταῖς ξυγγνώμην ἀπονέμουσιν, ἐνίοτ᾽ ἔξω προκυπτούσαις ἐπὶ θήρᾳ σώφρονος δόξης.

746. Ἡ στεῤῥότης ὥσπερ τις θυρωρὸς δύσκολος καὶ μεμψίμοιρος πολλὰ τῶν ὀνησίμων ἀποκλείει.

747. Ὁ φθόνος οὐδέποτε σχολὴν ἄγει.

748. Ὥσπερ ἔνια τῶν δηλητηρίων ἀφανίζει τὴν ἑτέρων δύναμιν, οὕτως ἔστιν ὅτε ἡ ὑπερηφάνεια ὑπερορίζει τῆς ψυχῆς τὰς κακίας.

749. Πολλοὶ νεανικήν τινα ἀλαζονείαν νοσοῦντες, ὅπως ἐνάρετοι δόξωσιν, ἐπ᾽ ἀληθείας ἀσκοῦσι τὰς ἀρετάς.

750. Ἡ ὑπερηφανεία πανταχοῦ ἀπαναινομένη τὸ χαμερπὲς καὶ εὐόμιλον ἀποποιεῖται καὶ τὴν μετὰ τῶν ἐλαττωμάτων συνουσίαν.

751. Τὸ ἀλαζονικὸν καὶ ὑπέροφρυ ὁποιανοῦν φεῦγον κοινωνίαν καὶ μόλις τὰς ἐμπεφυκυίας αὐτῷ φέρον κακίας ἥκιστ᾽ ἀπομάττεται τὰς ἐπιπολαζούσας τοῖς ὁμιλοῦσι κῆρας.

752. Αἱ μὲν ἄλλαι κακίαι διαῤῥήδην ἀντίκεινται ταῖς ἀρεταῖς, ἡ δ᾽ ἀλαζονεία πάσαις ἀρεταῖς ἐπιφύεται.

www.dacoromanica.ro

753. Δι' ἄγνοιαν οἱ ἄνθρωποι φοβοῦνται τὸν θάνατον, ὥσπερ τὰ παιδία τὸ σκότος.

754. Ἥ τε κατὰ τοῦ θανάτου καὶ ἡ περὶ τὸν θάνατον συγκροτουμένη παρασκευὴ φοβερώτερον ποιεῖ τὸν θάνατον.

755. Ὀργῆς, οἴκτου, ἀγάπης, μίσους, λύπης, ἐλπίδος καὶ ὁτουοῦν ἑτέρου πάθους ἐπίτασις τὸν τοῦ θανάτου φόβον πολλάκις νικᾷ.

756. Αἱ μὲν φανεραὶ τῶν ἀρετῶν ἐπαίνων γόνιμοι, τῶν δ' ἀνωνύμων ἡ τύχη γονή.

757. Οἱονεὶ ἀντανακλάσεις εἰσὶ τῶν ἀπὸ τῆς ἀρετῆς αὐγαζουσῶν ἀκτίνων οἱ ἔπαινοι.

758. Ἡ φήμη ὡς ἐπιτοπολὺ οὔτε κήρυξ ἐστὶν ἀληθής, οὔτε κριτὴς ἀδέκαστος.

759. Οἱ μεγάλας ἀρχὰς διοικοῦντες ὥσπερ τὰ οὐράνια σώματα θαυμάζονται καὶ γεραίρονται, ἀλλὰ διηνεκῶς ἀγόμενοι καὶ φερόμενοι οὐδεμίαν ἔχουσι παῦλαν.

760. Ἡ πρὸς τὸ ὁμόφυλον ἀγάπη ἀφ' ἑστίας ἄρχεται.

761. Ὁ ὁμιλήσας γάμῳ καὶ τέκνων γενόμενος πατὴρ ἀσφαλῆ καὶ πολυτελῆ ἐνέχυρα ἔφθη δεδωκὼς τῇ δεσποζούσῃ τύχῃ.

762. Οἱ οἰκονομίᾳ προσανακείμενοι, τῇ τε φυλακῇ καὶ αὐξήσει τῶν ἰδίων κτημάτων προσλιπαροῦντες, μαλακῶς καὶ ἀνειμένως ὡς τὰ πολλὰ προνοοῦνται τοῦ κοινῇ ξυμφέροντος.

763. Αἱ δεύτεραί φασι φροντίδες σοφώτεραι· ἀλλὰ πολλάκις αἱ πρῶται φροντίδες παρὰ Θεοῦ.

764. Ἔσθ' ὅτε ταῖς ἀρεταῖς ἀμύνονται τὴν φύσιν ἐκεῖνοι, οἷς οὐκ ἐδωρήσατο τὸ τοῦ σώματος κάλλος.

765. Καὶ ἐν νεκροῖς καὶ ἐν ἐρειπίοις τιμῶμεν τὴν παλαιότητα· πολλῷ μᾶλλον ἄρ' ἔμπνουν αὐτὴν καὶ ζῶσαν γεραίρειν ὀφείλομεν.

766. Ὀλιγωρουμένης εὐγενείας τὰ τῶν ἀνθρώπων ἔκγονα, τῶν ἀλόγων ζῴων τίνι διοίσουσι;

767. Καὶ ἐν τοῖς σμικροῖς ἐς ὑπομονὴν μὴ διαλείπῃς ἀλείφειν σεαυτόν, ὅπως, ὡς ἔχει τὰ ἀνθρώπινα, ἐνσκήψαντα τὰ μείζονα δεινὰ ἐλαφρότερον οἴσῃς.

768. Ἡ φρόνησις καὶ τὰς σμικρὰς λεπτουργοῦσα πράξεις περιουσίᾳ προσοχῆς δεδίττεται καὶ οὐδὲ προσπελάσαι τολμᾷ τῇ ἐγχειρήσει μεγάλων ἔργων.

769. Τὰ μὴ ἐς φῶς προϊόντα τῆς ψυχῆς κινήματα οὐχ ὑποπίπτουσι ταῖς ψήφοις τῶν ἐπιγείων δικαστῶν, ἀλλ' ἐν οὐρανῷ καὶ κρίνονται καὶ κατακρίνονται.

770. Αἱ θεῖαι ποιναὶ χρόνου κιγκλῖσιν οὐ περιείργονται.

771. Τὸ φανερῶς φιλεῖν καὶ φανερῶς μισεῖν νεανικοῦ φρονήματος καὶ μεγαλοψυχίας ἐστὶ χαρακτήρ.

772. Τολμητίας ὁ φόβος, ὁπηνίκα ἐς ἄκρον ἐλάσῃ.

773. Θράσους ἀδελφός ἐστιν ὁ ἄπλετος φόβος.

774. Οἱ ἔν τε λόγοις καὶ πράξεσι διὰ τῆς πεπατημένης καὶ λεωφόρου ἰόντες τῆς κατὰ ψυχὴν ἀπολαύουσι γαλήνης.

775. Ἔνιοι τοσοῦτον εἰώθασι τιμᾶν φιλίαν, ὥστε οὐκ ἀποκάμνουσι φιλοῦντες, καίτοι τῶν φιλουμένων ἥκιστ' ἀποπληρούντων τὰ πρὸς αὐτοὺς καθήκοντα· οἱ δὲ τοιοῦτοι μηδαμῶς μωμητέοι, ἀλλὰ μᾶλλον μιμητέοι· τῶν γὰρ καλῶν καὶ ἡ ἐξ ἡμισείας ἀπόλαυσις πολλὴν ἀποστάζει γλυκύτητα· οἱ δὲ περὶ φιλίας δύσκολοι καὶ μεμψίμοιροι καὶ τὸ κύμινον διαπρίοντες, ὡς ἡ παροιμία φησίν, ἐν ἐρημίᾳ φίλων ὥσπερ ἐν νυκτὶ ἀκλεῆ καὶ τυφλὸν βίον βιοῦσιν· ὁπόσοι δὲ οὐκ εὐχερῶς ἀποστεροῦσιν ἑαυτοὺς τῶν ἐν τῷ βίῳ καλῶν, τὴν ἐπαινετὴν φιλαυτίαν ἱκανὴν ἀφορμὴν νομίζουσιν ἐπὶ περιποιήσει τῶν ὁπωσοῦν φίλων· φύσει γὰρ λίχνον ἐς συνουσίαν τὸ ἀνθρώπινον, ἐρημίας μηδαμῶς ἀνεχόμενον.

776. Ὁ καλῶς ἠρεμεῖν ἐπιστάμενος, οἶδε καὶ πράττειν καλῶς.

777. Λεπτὴ καὶ ἀμφίβολος ἐλπὶς τῆς ἀπογνώσεως κρείττων ἐστί.

778. Τὰ νοσήματα οὐχὶ λόγοις ἀνθηροῖς, ἀλλὰ σωτηριώδεσι φαρμάκοις θεραπεύονται.

779. Πρόσεχε μὴ ὑγιαίνων καταδαπανήσῃς τὰ τῶν ἀῤῥωστημάτων βοηθήματα.

780. Μετὰ κόρον μηδὲν πρᾶττε.

www.dacoromanica.ro

781. Ὁ κόρος πανταχοῦ σφαλερός.

782. Αἱ μεταβολαὶ καὶ ἐν τῷ πολιτικῷ σώματι κατὰ μικρὸν καὶ ἀνεπαισθήτως γιγνέσθωσαν.

783. Τὰ φάρμακα οὐκ εἰσὶ πάντοτε τοῖς ἀσθενοῦσιν ὀνήσιμα, τοὺς δ' ὑγιαίνοντας πάντοτε βλάπτουσιν.

784. Ἃ οὐκ ἰᾶται λόγος, ἰᾶται τόλμα.

785. Τὸ καὶ μηδεμιᾶς ὑποφαινομένης ἐλπίδος εὔελπι καὶ ἔμμονον ἐπὶ προμηθείᾳ καὶ χορηγίᾳ τῶν δεόντων καὶ ἐν σώματι καὶ ἐν πολιτείᾳ κατορθωτικόν ἐστι σωτηρίας καὶ μέχρι θαύματος.

786. Τὸ δύνασθαι φέρειν ἀπουσίαν θείας τε καὶ ἀνθρωπίνης παραμυθίας μεγάλη τῷόντι γενναιότης ψυχῆς.

787. Μάθε ὑπὲρ Θεοῦ παραιτεῖσθαι τὰ πάνυ σοι πεφιλημένα καὶ κεχαρισμένα.

788. Ἡ φαντασία διὰ τῆς τῶν χωρίων μεταβολῆς πολλοὺς πεφενάκικεν.

789. Ὁ χρόνος πολυτελέστατόν ἐστι κειμήλιον· μὴ δὴ ἀργὸς παρατρεχέτω.

790. Ἐπὶ μὲν τῷ τῆς νεαρᾶς καὶ καθεστηκυίας ἡλικίας θανάτῳ ἐς γῆρας οὐ πολλοὶ μεταβεβηκότες οὐκ ἀπολοφύρονται, δάκρυα πολλὰ (ὥς γε εἰκὸς) κατασπείσαντες, ἀλλὰ καὶ μετὰ θυμηδίας ἀφηγοῦνται τὰ ἀγαθά, ὧν ἀκμάζοντες ἐπειράθησαν· δεδίττονται δὲ τὸν θάνατον ἀναπήρου καὶ σαθροῦ σώματος, ὃ ἤδη γεγηρακότες καὶ εἰς γῆν κεκυφότες φέρουσιν.

791. Ἀποσπάσας ἀπὸ τῶν ἔξω σύλλεγε σεαυτὸν ὡς ἐφικτόν.

792. Οὐ μόνον ἐν τοῖς φυσικοῖς ἡ ἑτέρου φθορὰ ἑτέρου γένεσις, ἀλλὰ καὶ ἐν τοῖς περὶ τὸν βίον ὁποιουοῦν φόβου ἢ φροντίδος, ἢ ἀσχολίας, ἢ πάθους, ἢ περιπετείας πεπαυμένης ἀπὸ τῆς πυρᾶς, οἷον εἰπεῖν, αὐτῆς αὐτίχ' ἕτερον οὐδὲν μεῖον λυποῦν καὶ ἀποκναῖον ἀναφύεται· καὶ οὕτως ὁ δύστηνος ἄνθρωπος ἀπὸ θατέρας εἰς ἑτέραν ναῦν μεταφερόμενος ναυτιᾷ καὶ κυμαίνεται, μέχρις ὅτου γε ναυαγήσοι ἐν τῷ πολυσάλῳ τοῦ βίου πελάγει· ἐκεῖνοι δ' ἀσφαλέστερον πλέουσι καὶ τῆς ἄνωθεν ἀρωγῆς ἐμπιπλώσης ἱλαρῶς τὰ ἱστία εἰς σωτήριον προσορμίζονται λιμένα, ὁπόσοι γ' ὑπομονῇ καὶ ταπεινώσει οἷον ἐπὶ δυσὶν ἱεραῖς ἀγκύραις σαλεύουσι.

793. Τῷ λύπῃ πιεζομένῳ οὐ μόνον παρὰ τῶν μισούντων καὶ φρονούντων, ἀλλ' (ὃ δὴ πάνυ ἀπηχὲς καὶ παράδοξον) καὶ παρ' αὐτῶν τῶν εἰλικρινῶς φιλούντων πολλάκις λιποψυχοῦντι ἀντὶ ὕδατος ὄξος ἀποδίδοται· οὕτω γὰρ εὐόλισθόν ἐστι τὸ ἀνθρώπινον, ὥστε καίπερ ἐπαγρυπνοῦν ἐπὶ λιπαρᾷ θεραπείᾳ, ἀλλ' ὅμως ἐνίοτε καὶ ταύτῃ πως τυφλοῦται τὸ φιλοῦν περὶ τὸ φιλούμενον.

794. Λέληθεν ἡμᾶς πολλάκις ὁ βαθμὸς τῆς ἡμετέρας δυνάμεως· ἀτυχίᾳ δὲ περιπεσόντες, μυρίοις χαλεποῖς παλαίοντες, αἰσθανόμεθα καὶ διάπειραν λαμβάνομεν, ὅτι καὶ ἄκουσα γενναῖος ἐστιν ἀχθοφόρος ἡ ταλαίπωρος ψυχή.

795. Ἀτυχίας ἐπισκηψάσης μανθάνομεν ποταποί ἐσμεν.

796. Ὅτι κατὰ τὴν πρώτην ἐπιβολὴν σφοδρότερα τὰ πάθη καὶ διὰ τοῦτο καὶ τοὺς τῷόντι ἀνδρείους ἐνίοτε τῷ ῥοθίῳ κατέπληξεν, οὐδεὶς ἂν ἔξαρνος γένοιτο· ἀλλὰ τὸ τὰς θύρας ἐπιζυγώσαντα καὶ κατασφαλισάμενον ἐν αὐτοῖς προοιμίοις ἀπαντῆσαι γενναίως τῷ ἀντιπάλῳ μετὰ μείζονος ῥαστώνης νίκης ἐστὶ χορηγόν, πολλὴν ἐς ταὐπιὸν δωρούμενον τοῖς εὖ φρονοῦσι τὴν ἀσφάλειαν.

797. Ἔν τε ταῖς ἡμετέραις λόγοις καὶ πράξεσι καὶ ἐν αὐτῇ τῇ ψυχῇ πολλὰ παραπέφυκεν ἐνιζάνοντα, ἃ καὶ ἡμᾶς αὐτοὺς λέληθε, καίτοι μετὰ πολλῆς περινοίας ἀνιχνεύοντας, ἀνερευνῶντας καὶ περιέργως ἑαυτοὺς ἀναπτύσσοντας.

798. Ὁ πλήρης ἀγάπης πρός τε Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον, ἐκεῖνος πάντως μεγαλουργός.

799. Σπάνιον ἐν τῷ βίῳ χρῆμα εἰλικρινὴς ἀγάπη, σαρκὸς ἀνωτέρα, ὁποιουοῦν καθαρεύουσα πάθους, πόῤῥω φιλαυτίας, ὀλίγωρος ἀμοιβῆς, ἄνετος, ἀδεής, ἐς οὐρανὸν ὁρῶσα καὶ μεμυκόσιν ὀφθαλμοῖς ὑπὲρ μόνου τοῦ καλοῦ ἐς τὸ καλὸν ὁρμῶσα.

800. Κίβδηλος ἀγάπη μίσους οὖσα γονή, ὁπόσα ὀργῇ καὶ φθόνῳ καὶ φόβῳ θητεύουσα τερατεύεται, ἅπαντα πανούργως ἐπιγράφεται τῇ ἀκηράτῳ ἀγάπῃ, τῇ δουλευούσῃ μόνῳ Θεῷ.

www.dacoromanica.ro

801. Σπινθὴρ ἀγάπης ὥσπερ ἡ τῆς χημείας θρυλουμένη λίθος, ἡ καὶ τὰ σμικρότατα τῶν ἔργων ἐς ἐξαίσιόν τινα μορφὴν μεταπλάττουσα ἀπεργάζεται ἀπέφθου χρυσοῦ ἄντικρυς πολυτελέστερα.

802. Στοιχείοις τε καὶ ὥραις καὶ ζῴοις καὶ ἀνθρώποις ἀποῤῥήτῳ καὶ δικαιοτάτῃ διανομῇ ἐνῆκεν ἡ θεία πρόνοια τὰ τῶν ἀγαθῶν σπέρματα, ἀμοιβαίαις ἐνδείαις μονονουχὶ συνδήσασα τοὺς λόγους τῆς πολιτικῆς κοινωνίας· καὶ ἄλλη μὲν γῆς μοῖρα καρποφόρος ἐστίν, ἑτέρα δὲ πυροφόρος, τῶν τε ὡρῶν ἡ μὲν ἄνθη φύει, ἡ δὲ ἀκρόδρυα βλαστάνει, ἄλλη δ' ἐμπίπλησι σίτου τὰς ἀποθήκας· ἡ μὲν ἀροῖ, ἡ δὲ σπείρει, ἄλλη πάλιν ἀρδεύει καὶ ἄλλη δρέπει τοὺς γλυκυτάτους καρπούς· καὶ ἄλλη μὲν γῆς ἀπόμοιρα σίδηρον γεννᾷ, ἡ δὲ χαλκὸν φύει, ἑτέρα δὲ ἄργυρον φέρει, ἄλλη δὲ βλαστάνει χρυσόν. Ἀμέλει ταύτῃ πως καὶ τοῖς ἀνθρώποις ἀκριβεστάτῃ διανομῇ ἐνέσταξεν ὁ Θεὸς τὰ καλὰ κἀγαθά, οὓς μὲν λόγων εὐροίᾳ οὓς δὲ σιωπῆς ἀσφαλείᾳ κοσμήσας, τοῖς μὲν δωρησάμενος κάλλος σώματος, τοῖς δὲ νοὸς λαμπρότητα· καὶ οἱ μὲν πλούτῳ περιῤῥέονται, οἱ δὲ τοῦ ἀκηράτου πλούτου τῆς κατὰ ψυχὴν ἠρεμίας ἀπολαύουσι καὶ τῶν τοῦ παντὸς καλῶν πάνυ δαψιλῶς ἐμφοροῦνται, καίτοι γε ἐν παραβύστῳ λανθάνοντες· καὶ οἱ μὲν ἐν τῷ τῆς νεότητος ἔαρι τεθήλασιν, οἱ δὲ προϊόντος τοῦ χρόνου οἷον ἐν θέρει καρποφοροῦσι, πολλοὺς δὲ καὶ γήρως λειμὼν περιβλέπτους ἔδειξε καὶ περικλεεῖς. Δεῖ δὴ τόν γε νοῦν ἔχοντα στοχάζεσθαι κἀνταῦθα τὰς κράσεις τοῦ τε κατὰ μέρος τῶν ἡλικιῶν, καὶ μάλιστα τοῦ γενικωτέρου, τοῦ πολιτικοῦ φημι χρόνου (ἔχει γὰρ κἀκεῖνος αὐχμούς, πλημμύρας, καύματά τε κυνικὰ καὶ κρυμούς), ὅπως δι' ἀόκνου καὶ λιπαρᾶς παρατηρήσεως ἐπικαίρως ἀποδρέπηται τοὺς ἡδυτάτους καρπούς, μήτε μελλήσει παρατρέχων τὰς ὥρας, μήθ' ὑπὸ πλεονεξίας τρυγῶν ὄμφακας.

803. Πολυειδής ἐστιν ἡ πραότης· ἡ μὲν γὰρ διαῤῥήδην Θεοῦ δῶρον οὖσα ταῖς ἀκηράτοις ἐπανθεῖ ψυχαῖς ἵλεως, ἱλαρά, οἴκτου καὶ φιλανθρωπίας προῖκα μεταδιδοῦσα τοῖς προσκεκρουκόσι, μνημονικὴ τῆς ἀνθρωπίνης ἀσθενείας, συγγνωμονική, ἐλευθεριότητος περιουσίᾳ καὶ αὐτοὺς τοὺς ἠδικηκότας εὖ ποιοῦσα· ἑτέρα δὲ πραότης φρονήσεως καὶ περινοίας ἐστὶ γονή, ναυτιῶσα μὲν ἐπὶ τοῖς σκαιῶς πραττομένοις, βελτιώσεως δὲ καὶ διορθώσεως ἐλπίδι ἐς φιλανθρωπίαν εὐφυῶς ἑαυτὴν ἀναπλάττουσα καὶ τὸ εἰς ἄμυναν σφαδάζον ἔν γε τῷ παρόντι κατευνάζουσα καὶ ταμιευομένη τὸν καιρόν. Ἔστι δὲ καὶ ἕτερον εἶδος πραότητος ἐπίμωμον, μεστὸν ὑποκρίσεως ἀπλέτου καὶ ὑπουλότητος ἐκείνοις ἐπιπολάζον, οἳ σιωπῶντες δάκνουσι καὶ οὐδὲ τῶν ὑπ' ἀγνοίας ὁπωσοῦν παρατραπέντων φείδονται, ἀλλ' αὐτίκα ἀπηνεῖ τινι κατηφείᾳ καὶ σκυθρωπότητι μυελῶν αὐτῶν καὶ ὀστέων καθάπτονται. Ἔστι δὲ καὶ ἄλλη διάθεσις ψυχῆς, ἥ γε ὁτὲ μὲν ἀλαζονείαν, ὁτὲ δὲ δειλίαν ἔχει μητέρα· ἑαυτῇ τε μηδαμῶς τεθαῤῥηκυῖα οὔκουν πρόεισιν ἐς φῶς, ἀλλ' ἀμφιβόλου νίκης, αὐθαιρέτου δῆθεν πραότητος ὄνομα προτιμῶσα σοβεῖ καὶ σεμνύνεται· τὸ δ' ἄνευ λόγου πατουμένην περιορᾶν τὴν ἰδίαν τιμήν, τὸν πολυτελῆ θησαυρὸν προσχήματι πραότητος, ἀγελαίου ψυχῆς ἐστι χαρακτήρ· γεννᾷ δ' ἐνίοτε τὸ πρᾶον καὶ ἤπιον τὸ ῥᾳθυμοῦν καὶ ὅλως ὑπτιάζον τῆς ψυχῆς, οὐ δυναμένης βαστάζειν, ἀλλ' ὡς ἄχθος ἀποτιθεμένης τὴν μνήμην τῆς φθασάσης ὕβρεως, τῆς γ' ἐς ἄμυναν ἐκκαλουμένης τὸ γενναῖον τοῦ φρονήματος.

804. Πολλῶν ἀγαθῶν γόνιμός ἐστιν ἡ φιλοπονία, ἡ δὲ ῥᾳθυμία φθοροποιὸς κομιδῇ, ἅτε δὴ οὐ μόνον τῶν ἔξωθεν ἀπαντώντων ὠφελημάτων τῇ κτήσει ἐμποδὼν καθισταμένη, ἀλλὰ καὶ τοῖς ἤδη προσοῦσιν ἡμῖν ἰοῦ δίκην ἐπιφυομένη καὶ ταῦτα καταδαπανῶσα. Δεῖ δὲ τόν γε νοῦν ἔχοντα διαπονεῖσθαι μέν, ἀλλὰ προηγουμένης φρονήσεως, ἥτις οἶδ' αἱρεῖσθαι τὰ συνοίσοντα σχολαίῳ ποδὶ βαίνουσα καὶ μηδαμῶς ἐπιταχύνουσα τὰ μετὰ χεῖρας ἔργα· ἡ γὰρ παρὰ τὸ δέον ταχυτὴς ἀφροσύνης ἐστὶ δεῖγμα. Οἱ δὴ φρονήσεως εὖ ἥκοντες πταίουσι μὲν ἐνίοτε, ἀλλὰ κατὰ βραδύτητα πταίουσιν, ἥ γε παρακολουθεῖ τῷ τοῦ νοὸς ἐπιμόνῳ καὶ ἐμβριθεῖ· ὁπόσοι δὲ πρὸς τὴν ἀπόβασιν μόνον ἀφορῶντες τῶν ἐς ταύτην ἀγόντων μέσων ὠλιγωρήκασιν, οὐ μόνον ἐκπεπτώκασι τοῦ προκειμένου, ἀλλὰ δὴ καὶ γέλωτα πολὺν ὠφληκότες αἰσχρῶς ἀπηλλάγησαν. Ἔστιν ὅμως ὀλίγ' ἄττα τῶν ἐν τῷ βίῳ, ἃ τὸ θερμουργὸν καὶ δραστήριον ἀπαιτοῦσι μονονουχὶ φωνὴν ἀφιέντα· ἐν τοῖς τοιούτοις ἄρα κρατείτω τὸ τοῦ Κῴου γηραιοῦ, τὸ «ἐν τοῖσιν ὀξέσι νου-



www.dacoromanica.ro

σήμασιν αὐθημερόν», καὶ τὸ τοῦ Ἀθηναίου ῥήτορος, ὅτι βραδέως μὲν βουλευτέον, τὰ δὲ δόξαντα ταχέως ἐπιτελεστέον. Ἑκάστῃ δὲ ἡμέρᾳ ἰδία τις ἀπόκειται πρᾶξις, ἣν μετ' ἐμμελοῦς φροντίδος καὶ ἄνευ μελλήσεως ἀποδιδόντες κοῦφοι καὶ εὔζωνοι περιμενοῦμεν τὴν ὑστεραίαν ἐναμίλλῳ προθυμίᾳ καὶ προμηθείᾳ τὸν ὀφειλόμενον κἀκείνῃ φόρον ἀποτίσοντες. Ἔστω τοίνυν κεφάλαιον τοῦ λόγου τὸ ἐν ὁτῳοῦν ἐγχειρήματι σπεύδειν βραδέως.

805. Ἰός ἐστιν ἄντικρυς ἡ λύπη· ὁμίχλην καταχέει τῆς φαντασίας, ἀμαυροῖ τοῦ νοὸς τὸ κάλλος, μελανίας ἐμπίπλησι τὸ πρόσωπον, μεταδίδωσι δὲ καὶ τοῖς προσομιλοῦσι τῆς λοιμώδους ποιότητος, ὥστε κἀκείνους ὁμοίως τοῖς ἀπὸ Τροφωνίου (ὥς φασι) διατίθεσθαι ἐρήμους γέλωτας, ἐρήμους εὐθυμίας. Ἀλλ' ἔνιοι τὴν ἄγροικον καὶ ἄλαλον καὶ κωφὴν ταυτηνὶ διάθεσιν ἀρετῆς καὶ φρονήσεως καὶ εὐσεβοῦς συνειδήσεως ὀνόματι καλλωπίζειν ἐπιχειροῦσι καὶ ἢ ὑποκρίσει ἢ μελαγχολίᾳ ἀνοήτως ἐς ἄτοπον οὕτω δόξαν ὑποσυρόμενοι ἀπείργουσι τοῦ εὐθυμεῖν τοὺς ἀνθρώπους· ἡ φρόνησις μέντοι γε τὴν ἐν τῇ καρδίᾳ λύπην ὁποιασοῦν τύχης καὶ ἰδέας βίου παντάπασιν ὑπερορίζει. Οἵ τ' ἀπὸ τῆς στοᾶς σοφοί, καίπερ εἰς ἀπότομον καὶ ἀπόκρημνόν τινα στεῤῥότητα ἐπαλείφοντες τοὺς αὐτῶν μαθητάς, οὐ ξυνεχώρουν ὅμως οὐδ' ἐκεῖνοι ὑπείκειν τῇ λύπῃ, ἀλλὰ καὶ στρεβλουμένην διετείνοντο ἐν εὐθυμίᾳ διαλάμπειν τὴν ἀρετήν· οἱ δὲ τὴν χριστώνυμον καὶ ἀκήρατον ἐπανῃρημένοι θρῃσκείαν διηνεκῆ χαράν, ἐν ὁποιοισοῦν κινδύνοις εἶεν ἀσκήσαντες, ἐπαινοῦνται καὶ στεφανοῦνται· τὴν δ' ἐπιπόλαιον οὐμενουν λύπην ἀλλὰ σκυθρωπότητα τοῖς ὀργιζομένου βασιλέως ἐν εἱρκτῇ ἢ ἐν ὑπερορίᾳ διατρίβουσι λυσιτελῆ νομιστέον, ἵνα μὴ φανερῶς καὶ ἀνερυθριάστως εὐθυμίᾳ καὶ χαρᾷ διαῤῥέον τὸ κολαζόμενον ἐς μείζονα ὀργὴν διερεθίσῃ τὸν ἐπιτριβόμενον τὴν ποινήν, ᾧ γε πάντως ἐστὶ πρὸς θυμοῦ μέχρι καρδίας διήκειν τὰ τῆς κολάσεως.

806. Ὁ φόβος μίσους πατήρ.

807. Καὶ εὐτελεστάτου αἵματος φείδεσθαι προσήκει τὸν ἄρχοντα.

808. Ὁ ταχέως καταδικάζων μονονοὺκ ἐθελοντὴς καταδικάζει.

809. Τὸ ἰᾶσθαι τοῦ ἀποτέμνειν τὰ σεσηπότα μέλη πολλῷ μείζονα εὐδοξίαν περιάπτει χειρουργικῇ τε καὶ πολιτικῇ.

810. Καὶ ἰατρῶν παῖδες οὐ τοῖς αὐτοῖς χρῶνται φαρμάκοις πρός τε τὸ βάναυσον καὶ πρὸς τὸ εὐγενείᾳ γεραρόν, ἀλλὰ τοῖς δευτέροις προσηνεστέροις ἰάμασι λιπαρωτέρᾳ τε θεραπείᾳ προσφέρονται.

811. Τοῖς εὖ φρονοῦσι τῶν ἀρχόντων, εἴ γε μὴ ἀνάγκης ἀκμὴ ἐνίοτε τερατευομένη ῥᾳδιουργοίη τὰς ἐπιχειρήσεις[1], τὰ μὲν ἀνιῶντα ἄλλοις ἐπιτακτέον, τὰ δὲ κηλοῦντα καὶ θέλγοντα καὶ ὅλως ἀναρτῶντα τὰς ψυχὰς αὐτουργητέον.

812. Συντετμημένον εἶναι δεῖ τὸν ἐπὶ ταῖς ποιναῖς χρόνον, μὴ κατακερματιζομένης τῆς κολάσεως καὶ πολλάκις τοὺς θεωμένους δακνούσης, ἀλλὰ μιᾷ πληγῇ περαινομένης τῆς κατ' ἀνάγκην θεραπείας.

813. Πληγαῖς καὶ τομαῖς μαλακῇ χειρὶ ἐπιβάλλειν αὐτίκα προσήκει τὰ οἱονεὶ μαλάγματα τὰς ἀφθενεστέρους πρὸς τοὺς κατεπτηχότας εὐποιΐας ἀποκλίνοντα πᾶσαν ἀπηνείας ὑπόνοιαν.

814. Οἱ πυκναῖς εἰσφοραῖς κατατρύχοντες τὸ ὑπήκοον οὐκ ἔστιν ὅτε οὐκ ἀπειλήφασι τῆς πλεονεξίας τἀπίχειρα, ἄπλετον μίσους ἀναζῤιπίσαντες φλόγα· αἷμα γὰρ καὶ ψυχὴ τοῖς γε πλείοσι τῶν ἀνθρώπων τὸ ἀργύριον· διὸ ἐς ἴσα δεινὸν τό τε ἀφαιρεῖσθαι τὴν ζωὴν καὶ τὸ παραιρεῖσθαι τὰ ὄντα. Δεῖ δὴ ἀπὸ τῆς ἀνάγκης τῆς γε ἀληθοῦς ἀναφύεσθαι τὰς τῶν φόρων εἰσπράξεις ἐπὶ προφανεῖ φυλακῇ καὶ σωτηρίᾳ τοῦ κοινοῦ τῆς πολιτείας, μέτριά τε εἶναι προσήκει τὰ τέλη, μή γ' ἀπηνῶς ἀποσπῶντα καὶ ἀποκαλύπτοντα (κατὰ τὸν εἰπόντα) ἅμα τῷ ἐρίῳ τὸ δέῤῥιον· μισεῖ δὴ γενναῖος βασιλεὺς καὶ κηπουρὸν τὸν ἐκ ῥίζης ἐκτέμνοντα τὰ λάχανα. Εὐλαβεῖσθαι δὲ προσήκει καὶ τὰς πυκνὰς εἰσπράξεις, τάς τε περιτιθεμένας ἐκείναις καινὰς κλήσεις τὰς οὐδὲν ἔλαττον ἐπαιρούσας ἢ μειούσας τὴν ἀπέχθειαν· φενακιζόμενον γὰρ τὸ πλῆθος ἀδεέστερον βλασφημεῖ, δειλίας κατηγορῆσαν τοῦ ἄρχοντος καὶ ἐς ἔννοιαν ἐλθὸν τῆς

[1] Ἐν τῷ κειμένῳ ἐγχειρήσεις, ἀλλ' ἄνωθεν τῶν τριῶν πρώτων γραμμάτων ὁ καλλιγράφος ἐσημείωσε τὸ ἐπι.

www.dacoromanica.ro

αὐτοῦ δυνάμεως. Δεῖ δὲ καὶ ἐπαγρυπνεῖν τοῖς συλλέγουσι τοὺς φόρους, ὧν οἵ γε πλείους ἐπίσης συλῶσι τό τε ἄρχον καὶ τὸ ὑπήκοον Βριάρεοι πολύχειρες, παμφάγοι βδέλλαι, ἐκμυζῶντες οὐ μόνον τὸ γάλα, ἀλλὰ καὶ τὸ αἷμα τῶν δυστήνων, οἳ πολλὴν ἐπιτρίβονται τοῖς δεσπόταις λύμην, κατασπαράττοντες αὐτοὺς ὥσπερ αἱ κύνες τὸν τοῦ μύθου Ἀκταίωνα. Προσέτι δὲ καὶ ἡ μετ' ἀνακωχῆς καὶ κατ' ὀλίγον ἀπότισις ἐπικουφίζει τῶν εἰσφορῶν τὸ ἄχθος καὶ μονονουχὶ ἀφαιρεῖται τὴν αἴσθησιν, καὶ ἡ μετὰ φειδοῦς οἰκονομία καὶ τὸ ἐν τῇ διαίτῃ σῶφρον τοῦ ἄρχοντος προθυμώτερον ἐς τὰς λειτουργίας παρασκευάζει τὸ ὑπήκοον. Ὁπόσοι δὲ τὰ μετὰ στεναγμῶν καὶ δακρύων χορηγούμενα κακῶς δαπανῶσι, τοῖς ἐπὶ τῶν κρημνῶν δένδροις εἰσὶν ὅμοιοι, ὧν τοὺς καρποὺς κόρακες καὶ ἰκτῖνες κατεσθίουσι, τῶν ἀνθρώπων μηδ' ὁπωσοῦν ὠφελουμένων· ὁ γὰρ ἀκριβὴς πλοῦτος, ὡς ὁ Μαικήνας ἔλεγεν, οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν, ὡς ἐκ τοῦ μὴ πολλὰ ἀναλίσκειν ἀθροίζεται. Κἀκεῖνο δὲ φυλακτέον, μὴ ἄνισοι μηδ' ἀδικίας μεσταὶ ὦσιν αἱ εἰσφοραί, τῶν μὲν συντριβομένων, τῶν δὲ γελώντων καὶ τῇ ἀφελείᾳ τοῦ ἄρχοντος ἀποχρωμένων· ἐπειδὴ κοινὸς ὀφείλει πατὴρ εἶναι καὶ ἅπαν τὸ πολίτευμα περιέπειν καὶ περιθάλπειν ὁ τῷόντι ἡγεμονικὸν ἀλλὰ μὴ τυραννικὸν ἀσκῶν φρόνημα, καὶ διὰ τοῦθ' ὁ Πλάτων ἐπαινεῖ τὸ τιμᾶν τὴν οὐσίαν.

815. Τὸ γῆρας ὥσπερ ἀπηνὴς τύραννος ἀπείργει τῆς ἀπολαύσεως τῶν ἡδονῶν καὶ τῶν κεκωλυμένων· διαῤῥήδην θάνατον ἐπαπειλεῖ τοῖς ὀλιγωροῦσι τῶν αὐτοῦ νόμων.

816. Οἵ γε πλείους τῶν ἀνθρώπων ὅ τι ἂν ἀπλέτῳ πόνῳ παρακόπτοντες περιαιρῶσιν ἀπὸ τῶν αὐτοῖς ἐμπεφυκότων ἐλαττωμάτων, τοῦθ' ἅπαν τῇ ἀλαζονείᾳ προστιθέασι καὶ τῇ τοιαύτῃ ὁσημέραι προσθήκῃ εἰς μέγαν αὐτὴν ἐξαίρουσιν ὄγκον· καὶ ταύτῃ ἄρα, τῶν ἐν ἡμῖν παθῶν κολαζομένων ὁπωσοῦν, τὸ ὑπέροφρυ φυσιούμενον ὡς ἐπὶ νίκῃ καὶ θριάμβῳ βρενθύεται.

817. Οἱ ἀλαζόνες οὐ μόνον ἐκεῖνα τῶν ἐλαττωμάτων, οἷς οὕτω τυχὸν οὐ περιείργονται, μυρίαις ὕβρεσι πλύνουσιν, ἀλλὰ κἀκεῖνα τῶν προτερημάτων ἐξουθενοῦσιν, ὧν οὐκ εἰσὶ μέτοχοι.

818. Οὐ μόνον λογισμῷ, ἀλλὰ καὶ κενοδοξίᾳ τὰ ἀηδῆ προσιέμεθα.

819. Γόνιμος μέν ἐστιν ἡ φαντασία πολλῶν εἰδώλων· ἀλλὰ καὶ ὣς οὐκ ἐξισχύει διηκριβωμένως ζωγραφεῖν τὰς ἐν τῇ καρδίᾳ ὑπὸ τῆς τῶν παθῶν ποικιλίας ἐγκεκολαμμένας πολυμόρφους καὶ ἀλλοκότους εἰκόνας.

820. Ἡ μνήμη τοῦ παρῳχημένου καὶ ἡ περὶ τοῦ μέλλοντος χρόνου φροντὶς ἀνθρώπῳ μόνον ἐνέσπαρται, τὰ δ' ἄλλα ζῷα ἐφήμερα καὶ ἔρημα λόγου περὶ τὸ παρὸν εἰλεῖται, τὸ χειμάῤῥου δίκην παραῤῥέον ὀξύτατα.

821. Τὰς μετὰ δόλου πεύσεις καιρίᾳ ἐκκρούεσθαι πεύσει φρονήσεώς ἐστι χαρακτήρ. τὸ δεσποτικὸν στόμα ἔχων διδάσκαλον.

822. Ἐνίοις ἔδοξεν ἐξὸν εἶναι ἐν μέρει τὸ ἀδίκως πράττειν, ὅπως ἡ συμπλήρωσις πολλῶν δικαίων ἀπαρτίζοιτο· ἀλλ' ἡ μὲν ἀπὸ τῆς παρούσης ἀδικίας λύμη ἀμφιλαφής ἐστι καὶ βεβαία, περὶ δὲ τοῦ μέλλοντος τίς ἐγγυήσεται; Ἀμέλει τοῖς γε ἀρετὴν τιμῶσι προσῆκόν ἐστιν ἀσκεῖν τὰ ἐν τῷ παρόντι ἀγαθὰ καὶ δίκαια καὶ κοινῇ συμφέροντα, ἀνατιθέναι δὲ τῇ θείᾳ προνοίᾳ τὰ μέλλοντα, μηδαμῶς παραχαράττοντας τὰ μετὰ χεῖρας ἀβεβαίου δικαιοσύνης προφάσει.

823. Πολλῇ λόγων τερθρείᾳ ἐπαινεῖν διατείνεται ἕκαστος ἐκεῖνα τῶν ἐλαττωμάτων, οἷς πολιορκούμενος καὶ πιεζόμενος οὐκ ἰσχύει αὐτὰ διορθώσασθαι καὶ καταλλήλων φαρμάκων ἐπιθέσει ἀπονίψασθαι τὰς ἐνιζηκυίας κηλῖδας.

825. Πολιὰ ἄνοια μείζων τῆς ἔτι νεαρᾶς καὶ νηπιώδους ἀνοίας.

816. Οὐδέν ἐστιν ὀχληρότερον ἀνοίας, ᾗ γε πρόσεστιν ἀγχινοίας ἀπόμοιρα.

827. Οὐδ' ἡ ἄκρατος μοχθηρία φανερὸν ἐπαναιρεῖται κατὰ τῆς ἀρετῆς πόλεμον· ἀλλὰ τό γε δοκοῦν τιμῶσα καὶ γεραίρουσα τὸ ταύτης ὄνομα πάσῃ μηχανῇ τὰ τῆς κακίας ὀνείδη προσάπτει καὶ πολυτρόπως διαβάλλει καὶ μυρίας αἰτίας ἐπάγει, καὶ τελευτῶσα ὡς εἰς κακίαν αὐτομολήσαντας καταβάλλει τοὺς ἀρετῆς θιασώτας.

828. Οἵ γε πλείους οὔκουν τιμῶντες τὸ ἀνακεκαλυμμένον καὶ φιλόμισθον, ἀλλ' ἢ ἐπὶ τοῖς ἀνιῶσι καὶ ἀποκναίουσι κατελεεῖσθαι, ἢ ἐπὶ τοῖς κατορθώμασι θαυμάζεσθαι γλιχόμενοι τὴν πεπαῤῥησιασμένην συνουσίαν τῆς γ' ἀσφαλεστέρας ἐνίοτε προτιμῶσι σιωπῆς.

www.dacoromanica.ro

829. Τὰ ἐν τῇ ψυχῇ ζέοντα πάθη καὶ τοὺς ἐπὶ φρονήσει κομπάζοντας ἐς οὐκ ὀλίγας ἀτόπους καὶ παραδόξους συνελαύνουσι πράξεις· ἀλλὰ μᾶλλον ἁπάντων ὁ ἔρως μυρία ὅσα γελοῖα φιλεῖ τερατεύεσθαι.

830. Οὐ μόνον τὰς ἐπιπολαζούσας αὐτῷ κιβδήλους διαθέσεις νεανιευόμενον τὸ ἀνθρώπινον ἀρετῶν ὀνόμασι κοσμεῖν εἴωθε, τὸ ῥυπαρὸν οἰκονομικόν, λελογισμένον τὸ δειλόν, φιλότιμον τὸ κενόδοξον ὀνομάζον καὶ τὸ μὲν παράβολον μεγαλόψυχον, τὸ δ' ἐς θωπείαν μετὰ χυδαιότητος ὑποῤῥέον φιλόφρον καὶ τὸ ἀλαζονικὸν καὶ ὑπεροπτικὸν τοῦ ἤθους ἐμβριθὲς καὶ σοβαρόν, τό τε ἐς ἀπάτην συγκεκροτημένον ἀγχίνουν ἀποκαλοῦν· ἀλλ' ἐνίοτε ἐς τοσοῦτον ἀναιδείας ἔνιοι χωροῦσιν, ὥστε εἰς τὰς παντάπασιν ἐναντίας ταῖς προσούσαις αὐτοῖς κακίαις ἀρετὰς διατείνεσθαι καὶ ἄνευ ἐρυθήματος προσποιεῖσθαι τὴν τούτων κτῆσιν, δειλίαν μὲν νοσοῦντας, μεγαλοψυχίαν δ' ἀνέδην ὑποκρινομένους, ἀνελευθέρῳ γνώμῃ ῥυπαινομένους, ἐλευθεριότητι δὲ κομπάζοντας, ἡδοναῖς μὲν καλινδουμένους, σωφροσύνην δὲ γεραίρειν διϊσχυριζομένους, τοὺς ὑφ' αὐτοὺς κατατρίβοντας ἀδίκως, δικαιοσύνης δ' ἀντιποιεῖσθαι λέγοντας. Οὕτως ἄρ' εὐφυές ἐστι τὸ πλημμελοῦν καὶ πᾶσαν ὁδὸν τέμνον καὶ πανταχόθεν ἑαυτῷ παραπετάσματα μαστεῦον, ὅπως διαλύσαν ἀποκρούσηται τὰς παρὰ τῶν πέλας ἠκούσας αἰτίας καὶ μέμψεις.

831. Ῥᾷστα μὲν συγγνώμην ἀπονέμομεν τοῖς τῶν ἡμετέρων φίλων πταίσμασιν, ὁπότε μηδεμία ἡμῖν ἐπιτρίβεται ζημία· τὰ δ' ἡμᾶς ἀποκναίοντα τῶν ἐλαττωμάτων, κἂν σμικρὰ εἶεν, λήθῃ τῆς μεταξὺ φιλίας ὡς ἀφόρητα λόγων κομψείᾳ παραδειγματίζομεν καὶ μονονουχὶ στηλιτεύομεν, κἀνταῦθα δήπουθεν τῆς φιλαυτίας ὥς γε αὐτῇ φίλον δεκαζούσης τὰς ψήφους.

832. Οἱ ἀπὸ καρδίας τὰς ἀξιαγάστους ἐπαινοῦντες πράξεις μονονουχὶ κοινωνοὺς αὐτοὺς ἐπιδείκνυνται τῆς τούτων κατορθώσεως.

833. Τοῦ φόβου τὸ μὲν ἀχλὺν καταχέον τῆς διανοίας καὶ δῆθεν ἀσφαλείας προσχήματι ἀπάγον ἡμᾶς τῆς λεωφόρου ἄντικρυς ὀλέθριον· ἐκεῖνο δὲ τὸ μέρος αὐτοῦ, ὅ γε πραγμάτων εὐροίᾳ μεγαλαυχοῦντας καὶ μεθύοντας οἱονεὶ κέντροις διϋπνίζει ἀναμιμνῆσκον τῆς ἀσθενείας, πάνυ τοι λυσιτελεῖ καὶ πολλοὺς ἀποκρούεται κινδύνους· καὶ τὸ μὲν ἐν τῷ ἔργῳ δειλὸν καὶ κατεπτηχὸς φθείρει πᾶν ὅτι περ ἀξιέπαινον, ταῖς κεναῖς ἀπειλαῖς τοῦ ἀντιπάλου σκαιῶς ὑπεῖκον καὶ ταῖς εὐκαιρίαις προϊέμενον, τὸ δὲ σώφρονι πτοίᾳ κολάζον τύχην ἀκολασταίνουσαν καὶ ἐπικαίρῳ εὐλαβείᾳ καὶ προμηθείᾳ προπαρασκευάζον καὶ ἐξομαλίζον ἑαυτῷ τὴν ἐς τὸ κάταντες κάθοδον, ὡς ἔχει τὰ ἀνθρώπινα, ἀκράτου θράσους αἱρετώτερον, οὐδέποτ' αἰφνιδίως ἐκτραχηλιζόμενον, οὔτε διὰ κρημνῶν σχετλίως ὠθούμενον, ἀλλ' ὥσπερ εὔζωνος ὁδοιπόρος ἱλαρῷ καὶ γεγηθότι τῷ προσώπῳ τὸν προκείμενον ἀνύον δρόμον. Καὶ ὁπόσοι μὲν ῥᾳθυμίᾳ παραφέρονται, κἄν τε ἐν θαλάσσῃ πλέωσι, κἄν τε ἐν πολέμῳ ἐν ὁποιᾳοῦν τάξει τελοῦντες ὦσιν, οὐ μόνον ἑαυτοὺς λίαν βλάπτουσιν, ἀλλὰ καὶ τοῖς ἄλλοις, τῆς νόσου διαδοσίμου γενομένης, μεγάλας ἐπιτρίβονται ζημίας· οἱ δέ γ' ἑπόμενοι τῷ ἡγεμόνι λόγῳ, κἀκείνου ἐπιτάττοντος, συγκεραννῦντες ἀνδρείᾳ καὶ τόλμῃ τὸ λελογισμένον καὶ ὥσπερ χαλινῷ ἀνασειράζοντες τὸ παράβολον εἰς σωτήριον καθορμίζουσι λιμένα καὶ νῆας καὶ πολιτείας.

834. Πάνυ δυσχερής ἐστιν ἔν τε πράγμασιν ἔν τε νοήμασι καὶ λόγοις ἡ τῆς ἀληθείας διάκρισις· πολλά τε τὰ ἐπιπολάζοντα καὶ ἐπιπροσθοῦντα καὶ φενακίζοντα οὐ μόνον τὰς αἰσθήσεις καὶ τὴν παρ' ἐκείνων ἀποματτομένην καὶ ἀναπλάττουσαν μυρία ὅσα ἰνδάλματα φαντασίαν, ἀλλὰ καὶ αὐτοῦ τοῦ νοὸς πολλή τις ἀχλὺς καταχεῖται, ὥστε ὁσημέραι καὶ ὅσαι ὧραι ἐπὶ ὁτῳοῦν προσώπῳ καὶ πράγματι παρηλλαγμένας φέρειν τὰς ψήφους, τὰς μὲν κακίας ἀρετῆς ὀνόματι σεμνύνοντα, ταῖς δ' ἀρεταῖς κηλῖδα προστριβόμενα, καὶ τὰς ἀδιαφόρους δὲ πράξεις τὰς ἀπὸ ταὐτομάτου καὶ ἀκόντων ἐνίοτε τῶν πραττόντων ἐς φῶς ἐκ πηδώσας, αἷς οὔτε ἀρετῆς οὔτε κακίας μέτεστιν, ἐπαινοῦντα καὶ ψέγοντα. Ἀλλὰ πολλάκις, τῶν πραγμάτων ἥκιστα μεταβαλόντων, ταῖς καταφάσεσι καὶ ἀποφάσεσιν αὐτὸς ἑαυτῷ ἄντικρυς μαχόμενος ὁ νοῦς ἐπιδείκνυται τὴν ἔνδον ταραχὴν καὶ τὸ ἄστατον καὶ ἀνέδραστον καὶ ἀκμὴν δυσάρεστον θριαμβεύει, ὥστε τὰ ὀνείδη τῆς θαμὰ μεταβαλλομένης τύχης οὐδὲν ἔλαττον περιάπτεσθαι τῇ διαθέσει τῆς οὕτω κραδαινομένης ψυχῆς, ἧς τὸ ἁβρὸν καὶ τρυφερὸν καὶ ὅλως διαῤῥέον ἐπὶ τὸ ἀκρότατον ἥκει· καὶ εἴ γε φωνῆς μετῆν τῇ ταλαιπώρῳ τύχῃ, ἴσως ἂν ἐπιμέμψαιτο καὶ

www.dacoromanica.ro

κατηγορήσειε τῆς ἡμετέρας ἀνοίας, τῆς μηδέποτ' ἀρεσκομένης μηδ' ἀγαπώσης τοῖς παροῦσι· καὶ οὐδὲν μεῖον ἐπὶ τῷ αὐτῷ σχήματι μενούσῃ ἢ ποικίλα ὑποδυομένῃ προσωπεῖα μετὰ πολλῆς ναυτίας ὁμιλούσης τῇ τύχῃ, καίτοι γε ἴσως ἐκείνῃ ἐφ' ᾧ κηλήσει καὶ θέλξει, τὸ οὕτω δεινῶς δύσκολον καὶ μεμψίμοιρον ζῷον πολυειδεῖς μεταμφιέννυται μορφάς.

835. Οὔμενουν λέληθε τοὺς εὖ φρονοῦντας, ὅτι σιωπῆς ἀκίνδυνον γέρας, ἀπὸ δὲ τῆς τῶν λόγων δαψιλείας καὶ τῆς κοινωνίας τῶν ἀποῤῥήτων μεγάλην πολλάκις ἀπηντηκέναι ζημίαν· ἐπειδήπερ ὅμως ἡ φιλία οὐ μόνον κόσμος καὶ καλλονή, ἀλλ' ἔρυμά τε καὶ ἔρεισμα βίου, καρπὸς δὲ φιλίας ἡδύτατος ἡ μετὰ παῤῥησίας συνουσία, προαιροῦνται τῆς σιωπῆς τὸ δαψιλὲς τῶν λόγων· παθαινομένῃ γὰρ ψυχῇ ἡ τῶν λυπούντων λογισμῶν διαφόρησις οὐδὲν ἧττον ὀνήσιμος, ἢ σώματι πιεζομένῳ καὶ συμπνιγομένῳ ἡ τῶν ἀποκναιόντων χυμῶν ἐξάτμισις· διὸ καὶ τῶν ἐπὶ φρονήσει θαυμαζομένων ἔνιοι βασιλέων ἐξοικειούμενοί τινα τῶν ὑπηρετουμένων ἐς φίλου τάξιν καὶ ὁμότιμον βαθμὸν προβιβάζειν εἰώθασιν, ἐφ' ᾧ, ὁπότε γε αὐτοῖς βουλομένοις εἴη, ἀποθέμενοι τὸ τοῦ βασιλέως πρόσωπον ἀνακεκαλυμμένῃ καρδίᾳ καὶ ἀναπεπταμένοις σπλάγχνοις ὁμιλεῖεν, ἀπολαύοντες ἀκραιφνοῦς φιλίας, δαιμονίου τῳόντι χάριτος.

836. Τὸ ἁπλοῦν καὶ ἀκέραιον καὶ ἀπέριττον ἐκμαγεῖον ἄντικρύς ἐστι τῆς πρωτογόνου φύσεως· καθαροὺς γὰρ φέρει καὶ ἀμιγεῖς τοὺς παρὰ τοῦ δημιουργοῦ τῶν ὅλων Θεοῦ κεχαραγμένους λαμπροὺς καὶ περικαλλεῖς χαρακτῆρας· καὶ τῶν τεχνῶν, ὁπόσαι παρὰ πόδας ἕπονται τῇ φύσει, ἐκεῖναι καὶ μάλα θαυμάζονται· αὐτοφυῆς δὲ πόα καὶ δένδρα, μὴ τραυματιζόμενα σιδήρῳ, ὑδάτων τε ἀείῤῥυτοι πηγαὶ τῶν τῆς γῆς κόλπων αὐτομάτως πηδῶσαι, πολλῷ γε μᾶλλον κηλοῦσι καὶ διαχέουσιν ὄμματα καὶ ψυχήν, ἢ ῥυπαρᾷ γηπόνου χειρὶ ἀνακαθαιρόμενοι καὶ ἀπλέτῳ γοητείᾳ εἰς ἐφήμερον ἡδονὴν περιττῶς κατακοσμούμενοι κῆποι καὶ μέτριον κάλλος οὐ φύκει καὶ ψιμμυθίῳ μαγγανευόμενον· τῷ δ' ἀπὸ φύσεως ἐξανθοῦντι χρώματι σεμνυνόμενον θᾶττον ἐφέλκεται καὶ σώφρονας ὀφθαλμούς· ἀλλ' ὅμως τὸ ἀκόλαστον τοὺς ὅρους τῶν ὄντων ἰταμῶς ὑπεραλλόμενον καὶ μυρίαις ἀπάταις συγκρατούμενον πόνῳ πολλῷ καὶ ἱδρῶτι τὸν ἀπὸ τῆς ἁπλότητος βλαστάνοντα κόσμον προδίδωσιν, οὔμενουν ἐπαίνους ἑαυτῷ ποριζόμενον, ἀλλὰ παρά γε τοῖς εὖ φρονοῦσι πλατὺν ὀφλισκάνον γέλωτα.

837. Ἐν τῇ πολιτικῇ κοινωνίᾳ ἢ νόμος ἢ βία ἔχει τὸ κράτος· πολλάκις γὰρ ἡ βία μιμεῖται τὸν νόμον, ἐνίοις τε τῶν νόμων μᾶλλον μέτεστι βίας ἤπερ ἐπιεικείας· ἀμέλει τὸ ἄδικον τριῶν ἀνίσχει πηγῶν, βίας ἀκράτου, μοχθηρᾶς ἀπάτης λανθανούσης νόμου προσχήματι, ἀνεπιεικείας τε καὶ αὐστηρότητος ἐμπεφυκυίας τῷ νόμῳ.

838. Ὁ τῆς κοινῆς σωτηρίας λόγος νόμων πατήρ· ὁπηνίκα ἄρα τῇ προόδῳ τοῦ χρόνου ἔνιοι τῶν νόμων ἐπὶ βλάβῃ τῆς πολιτείας ἀκολασταίνωσι, τὸ κοινῇ συμφέρον ὑπαγορεύει τὴν τούτων λύσιν.

839. Ὑπὸ τῇ σκιᾷ τῶν νόμων ἕκαστος ἀδεῶς καθεύδει· ἐκείνων γὰρ ἐγγυησαμένων τὴν ἀσφάλειαν, ζῶσί τε καὶ εὐθυμοῦσιν ἅπαντες· νόμων δὲ φύλακες οἱ προὔχοντες, ὧν ὑγιῶς ἐχόντων, ἀνθοῦσιν οἱ νόμοι καὶ φέρουσιν ἡδυτάτους καρπούς· ἐπαναιρουμένων δὲ ἦθος τυραννικόν, ἀσθενῆ καὶ φροῦδα παντάπασίν εἰσι τὰ παρὰ των νόμων ὅπλα.

840. Ἡ εὐδαιμονία τῶν συγκροτούντων τὴν πολιτείαν ὁ κύριός ἐστι τῶν νόμων σκοπός· τῆς δ' εὐδαιμονίας κρηπὶς μὲν ἀσφαλὴς ἡ εὐσέβεια. ἐρύματα δὲ τὸ ἀνεπίμωμον καὶ κόσμιον τῶν ἠθῶν· φύλακες δὲ νόμων τε καὶ πολιτείας τὰ ὅπλα, τήν τ' ἔξωθεν ἐπισκήπτουσαν καὶ ἔσωθεν ἀναφυομένην βίαν ἀπείργοντα. Οὐκοῦν οἱ καλῶς κείμενοι νόμοι πρυτανεύουσιν ἡσυχίαν, διδάσκουσι τὴν πρὸς τὸ ἄρχον εὐπείθειαν, πλούτου καὶ μυρίων ἄλλων ἀγαθῶν εἰσι χορηγοὶ καὶ οἱονεὶ νεῦρα συνδέουσι πρὸς ἄλληλα τὰ μέρη τῆς πολιτείας, μὴ ξυγχωροῦντες διασπασθῆναι καὶ διαῤῥυῆναι.

841. Ἔχουσι καὶ οἱ νόμοι νόμους καὶ ὅρους, οἷς, εἴ γε μὴ περιείργοιντο, ἀποβαίνουσιν ἀπηνέστατοι τύραννοι, ἢ μᾶλλον εἰπεῖν ἀνηλεεῖς δήμιοι. Δεῖ ἄρα τοὺς νόμους ἐπιτάττειν τὰ δίκαια, τὰ δυνατά, τὰ ἁρμόττοντα τῷ σχήματι τῆς πολιτείας, τὰ ἀρετὴν ἐνστάζοντα τῷ ὑπηκόῳ, ἵνα μὴ ἀνύποιστα ἐπιφορτιζόμενον ἄχθη καὶ ἄκον εἰς ἀπείθειαν ἀφηνιάσῃ, ἢ παρὰ τῶν νόμων ἀρυόμενον τὰ σπέρματα τῆς πανουργίας εἰς μοχθηρίαν διηνεκῶς ὑποσύροιτο.

www.dacoromanica.ro

842. Γνώριμα δεῖ εἶναι πᾶσι τὰ τῶν νόμων ἐπιτάγματα.

843. Τῶν νόμων ἐκεῖνοί γέ εἰσιν ἀσφαλεῖς καὶ σωτήριοι, οἳ διὰ τὴν οἴκοθεν καθαρότητα καὶ λαμπρότητα μηδαμῶς χρῄζουσι τῆς παρὰ τῶν δικαστῶν ἑρμηνείας.

844. Στενοὺς ὅρους ἔχει ἡ ἀνθρωπίνη φρόνησις· διὸ οὐκ ἰσχύει περιλαβεῖν τὰ καθ' ἕκαστα, καὶ διορίσασθαι τὰς ποικίλας περιστάσεις, ἅς γε ὁ καινοτόμος χρόνος ὁσημέραι φύει· καὶ δὴ[1] οἵ τε ἐντελέστατοι νόμοι οὐκ εἰσὶ παντάπασιν ἀνεπιδεεῖς ἑρμηνείας πολλῶν ἐμπιπτόντων τῶν ἐν τοῖς νόμοις οὐχ εὑρισκομένων· ἔμφρονι ἄρα διακρίσει τοῦ ἄρχοντος, ἐλλαμπομένου δηλαδὴ λόγῳ καὶ ὁπωσοῦν διϊθυνομένου τοῖς φθάσασι τῶν παραδειγμάτων, τὰ τοιαῦτα τέμνεται καὶ περαίνεται. Οὐκ ἔξεστι μέντοι γε ἐν τοῖς μὴ ὑπαγορευομένοις παρὰ τῶν νόμων ἀκράτῳ τόλμῃ ἀπὸ τῶν ὁμοίων ῥᾳδιουργεῖν τὰς ἀποφάσεις, ἀλλὰ μετὰ μεγάλης εὐλαβείας καὶ προσοχῆς καὶ μετ' ἐμβριθεστάτης κρίσεως χωρητέον, λόγῳ μᾶλλον ἢ συνηθείᾳ χειραγωγουμένοις· τὸ γὰρ ἄλογον καὶ ἄδικον οὐκ ἔχει γενέσθαι τύπος τοῖς δικαιοσύνην γεραίρουσιν.

845. Ἡ ἐκτεταμένη καὶ πλατυτέρα ἑρμηνεία ὁτουοῦν νόμου, ἐπειδὰν εἰς ἐξαίσιον τοῦ κοινοῦ τῆς πολιτείας ὄφελος διαῤῥήδην ἀποβλέπῃ, τοῖς γ' εὖ φρονοῦσιν αἱρετέα.

846. Τὸ στρεβλοῦν τοὺς νόμους ἐπὶ στρεβλώσει τοῦ ὁμοφύλου ἀποτρόπαιον. Οὐκ ἔξεστιν ἄρα τοὺς περὶ τὰς ποινάς, καὶ μάλιστα τὰς κεφαλικάς, κειμένους νόμους παρέλκειν καὶ παρασύρειν, προσαρμόττοντας τοῖς κοινοῖς ἀδικήμασι τὸ τούτων ἀπηνές· τοῦ δ' ἀνοσιουργήματος ἀνέκαθεν γνωρίμου τοῖς νόμοις ὄντος, μόνῳ δὲ τρόπῳ καὶ σχήματι παραλλάττοντος, καίτοι μὴ διατρανουμένου ἐν τῷ νόμῳ, μηδαμῶς προσήκει ἀκαίρῳ πολυπραγμοσύνῃ παρορᾶν τὴν μοχθηρίαν ἀτιμώρητον.

847. Αἱ διαταγαὶ χρόνου καὶ χρείας οὖσαι γοναί, ἐκείνου παραῤῥυέντος, τῆς δὲ πρὸ ὀφθαλμῶν καταστάσεως ἄλλως ἀπαιτούσης, οὔτε περαιτέρω προβαίνουσιν, οὔτε μὴν ἕλκονται εἰς ὑπόδειγμα, ἀλλ' ἐκείνοις μόνον λυσιτελοῦσιν, ὑπὲρ ὧν κατ' ἀρχὰς ἔφθησαν ἐκδοθεῖσαι· αἱ δὲ γενικώτεραι καὶ ἀκυροῦνται καὶ παντάπασιν ἐξαλείφονται, οὕτω πειθούσης τῆς τοῦ κοινοῦ συστάσεως.

848. Ἐν τοῖς νόμοις οὐμενουν δίδοται τοῦ συμπεράσματος συμπέρασμα· ἰσχυροτέρα γὰρ ταύτῃ πως ἀποβήσεται καὶ αὐτῶν τῶν νόμων ἤ γ' ἐς ἀπάτην τείνουσα ἐνίων ἀγχίνοια.

849. Μηδαμῶς προσήκει τυποῦσθαι τὸ ἄρχον πρὸς τὰ παραδείγματα τοῦ τυραννικοῦ χρόνου· τὰ γὰρ τοιαῦτα νόθαι εἰσὶ τοῦ χρόνου γοναί, πολλὴν ἐπιφέροντα λύμην· τοῖς δὲ προθυμουμένοις τὴν τῆς πολιτείας βελτίωσιν οὐδὲ τὰ ἐξ ὑπογυίου παραδείγματα λυσιτελεῖ· τὰ γὰρ νεαραῖς μνήμαις ὑπ' ὄψιν κείμενα εὐκαταφρόνητά εἰσιν, ὡς ἐπιτοπολὺ μὴ διεγείροντα νεανικῶς εἰς μίμησιν· τῶν τε πραγμάτων ἐς τὸ σκαιότερον ὑποῤῥυέντων, ἀνάγκη διαδόσιμον γενέσθαι καὶ τοῖς τοιούτοις τῶν παραδειγμάτων τὴν ἐπιπολάζουσαν τῷ πολιτεύματι νόσον· δεῖ δὲ ἀσφαλεστέρῳ ὁδηγῷ χρήσασθαι κατὰ νύκτα τὴν πορείαν ποιούμενον. Καὶ τὰ παλαιὰ μέντοι γε τῶν παραδειγμάτων ἀμαυρωθέντα τῷ μήκει τοῦ χρόνου οὐκ ἀποδίδωσι καθαροὺς τοὺς τύπους, ἀλλὰ τῷ διαλλάττοντι τῆς τῶν πραγμάτων καταστάσεως καινοτομίας δίδωσιν ὑπόνοιαν, οὐδ' ὁτιοῦν ὠφελούσης τῆς παλαιότητος, τῆς παρὰ τῶν πολλῶν νεότητος ἐκφαυλιζομένης ὀνόματι. Ἀμέλει τὰ τῶν μέσων χρόνων ὑποδείγματα ἔχουσι μείζονα ἰσχὺν καὶ βρῖθος, καὶ ἐμφερέστερά εἰσι πολλάκις τῷ ἐνεστηκότι χρόνῳ τῶν πρὸ ὀλίγου εἰς φῶς προελθόντων, ὥς γε εἴωθε καὶ τὰ ἔκγονα οὐ τῶν γεννησάντων, ἀλλὰ τοῦ πάππου τὴν εἰκόνα φέρειν πολλάκις ἐν τῷ προσώπῳ.

850. Ἐπειδὰν οὐ λάμπει τὸ φῶς τοῦ νόμου, τὸ μετὰ προσοχῆς καὶ ὑπονοίας ψηλαφοῦντας ἐς τὸ πρόσω χωρεῖν ἀσφαλέστερον.

851. Ἔν τε τῇ τῶν νόμων ἑρμηνείᾳ καὶ ἐν πολιτικῶν ἐγχειρημάτων διαιτήσει τὸ τοῖς ἐρειπίοις καὶ τεμαχίοις τῶν παραδειγμάτων χρώμενον μηδὲ διακριβώσαντα τὰ προηγούμενα, τὰ ἑπόμενα, τὰ παραπεφυκότα τοῖς πράγμασι, τὰ ἔχοντα ὡς τὰ πολλὰ πολὺ τὸ διαλλάττον, ἀπερισκέπτως εἰς ἐνέργειαν χωρεῖν μεγάλας ἐναπέτεκε βλάβας.

852. Οἱ μὲν ἀρετὴν ἀσκοῦντες, ὁμοίους ἑαυτοῖς εἶναι ἐλπίζοντες τοὺς ἄλλους, πολπολλάκις ἀπατῶνται καὶ μυρίοις κινδύνοις περιπίπτουσιν· οἱ δὲ μοχθηροὶ ὑπονοίας εἰσὶ μεστοί.

[1]) Τοῦτο ἄνωθεν τοῦ πρότερον ἐν τῷ κειμένῳ γεγραμμένου οἰκοῦν.

www.dacoromanica.ro

www.dacoromanica.ro



οὐδέποτε πιστεύουσιν οὔτ' ἐχθροῖς οὔτε φίλοις τῆς τε οἴκοθεν μιαρίας κεντούσης καὶ τῆς ἐμφύτου βδελυρίας οὔτε φαντασίαν ἀνυποκρίτου ἀγαθότητος λαβεῖν ξυγχωρούσης, καὶ λόγων ἠπιότητι καὶ ἁδραῖς εὐποιΐαις ἐρεθίζονται, τὴν ἐν ἀγαθότητι ἀκρασίαν ἀποκαλοῦντες ὑπόκρισιν· ἐξεμοῦσιν ἄρ' ὅτι τάχιστα τὸν ἰὸν κατὰ τῶν τεθαῤῥηκότων τῇ μετ' ἀκεραιότητος ἀρετῇ. Δεῖ δὴ φρονήσει καὶ περινοίᾳ στεγανῶς κατασφαλίζεσθαι κατὰ τῆς κακίας τὴν εὐκαταμάχητον ἁπλότητα καὶ ἀναπολεῖν ὅσαι ὧραι τὸ τῆς μοχθηρίας ἀπῆθασον.

853. Τὸ μεταπλάττειν τοὺς κειμένους νόμους τοῖς δικασταῖς μηδαμῶς ἐφεῖται, ἀλλὰ μόνον ἑρμηνεύειν μετ' ἐπιεικείας ἔξεστι, μεταδιδόντας τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ τοῦ προσήκοντος οἴκτου διὰ τῆς ἐς τὸ φιλανθρωπότερον τῶν ἀμφιβόλων ἀναπτύξεως.

854. Ἡ δωροληψία δικαιοσύνης ἐστὶν ἰός· οἱ δὴ καθαρὰς ἔχοντες τὰς χεῖρας λημμάτων ἐκείνοι τῳόντι ἀκέραιοί εἰσι δικασταὶ ὀνόματί τε καὶ πράγματι.

855. Οἱ μὲν τῶν δικαστῶν εἰς ἀψίνθιον μεταβάλλουσι τὰς κρίσεις, ὡς οἱ ἱεροί φασι λόγοι, δεκάζοντες δήπουθεν τὰς ψήφους καὶ τὴν ἀπὸ τῆς δικαιοσύνης προσδοκωμένην γλυκύτητα καὶ πικρίαν μεταβάλλλοντες· ἄλλοι δὲ τῇ ὑπερμέτρῳ μελλήσει εἰς ὄξος τὴν κρίσιν μετατρέπουσιν.

856. Ἡ δικαιοσύνη ἀντιμάχεται βίᾳ καὶ δόλῳ καὶ τὸ μὲν βίαιον ὅσον φανερώτερον, τοσούτῳ μᾶλλον ὀλέθριον ὁ δὲ δόλος καὶ ἡ ἀπάτη ἐφ' ὅσον ἐπικρύπτονται καὶ μυρίαις χρῶνται διαδύσεσιν, ἐπιτοσοῦτον ὄγκον καὶ μέγεθος λαμβάνουσι.

857. Τότε ἀναλάμπει καὶ μάλα ἡ τοῦ δικαστοῦ ἀγχίνοια καὶ φρόνησις, ὁπηνίκα πάνυ εὐφυῶς ἐκ μέσου ποιησάμενος τὰ κωλύοντα εἴτε λόγων ὕθλῳ καὶ ἔριδι, εἴτε προστασίᾳ, καὶ οἷον ἐν ὁμαλῷ ἐπιπέδῳ στεγανώτατα πηξάμενος ἀνεγείρῃ τὴν περικαλλῆ τῆς δικαιοσύνης στέγην.

858. Τὸ τοὺς νόμους στρεβλοῦν, καὶ μάλιστα τοὺς ἐπιβάλλοντας τὰς ποινάς, μεγάλης ἐστὶν ἀποινίας μεστόν· εὐλαβείσθω ἄρ' ὁ δικαστὴς τὴν αἷμα πηγάζουσαν ἀκρίβειαν, καὶ μεμνήσθω τῆς ἐπιεικείας, ᾗ γε οὐδὲν ἔλαττον ἤπερ τῇ τῶν νόμων αὐστηρότητι συνέχεται τὸ ἀνθρώπινον· οἱ τοῦ Δράκοντος δῆτα νόμοι ἀπειλούντων ἀλλ' οὐχὶ βρόχους ὑφόντων ὡς ἐπιτοπλεῖστον κοιμάσθων ὑπὸ γιγαντιαίας μοχθηρίας μὴ διεγειρόμενοι.

859. Ἐπειδὰν ἡ σκέψις εἴη περὶ ζωῆς ἀνθρώπου, ὅς θείας ἐστὶ χειρὸς λαμπρὸν οἰκοδόμημα, τῆς πραότητος ἀναμιμνήσκεσθαι χρεὼν τοὺς δικαστὰς καὶ βλοσυροῖς μὲν ὄμμασιν ἀντωπεῖν τῇ μοχθηρίᾳ ἀνακόπτοντας τὸ διαδόσιμον τῆς λύμης, ἀλλ' οὐκ ἄνευ δακρύων προσβλέπειν τῷ πταίσαντι.

860. Μετὰ μακροθυμίας καὶ σοβαρότητος ἀκροᾶσθαι δεῖ τὸν κριτὴν τῶν τε ὀλοφυρομένων καὶ τῶν ἀπολογουμένων· καὶ τοῦτο γὰρ ἐξαίσιόν ἐστι δικαιοσύνης μόριον· ὁ δὲ μεταξὺ ἀντηχῶν καὶ πυκνὰ φθεγγόμενος κύμβαλόν ἐστιν ἄντικρυς ἀλαλάζον· ἔξεστιν ὅμως αὐτῷ τὴν ἐν περιττοῖς λόγοις πλημμύραν καὶ παλίῤῥοιαν τῶν τε διαφερομένων προσώπων καὶ τῶν προσώπων ἐνίοτ' ἀναστέλλειν, εὐφυῶς ἀνιχνεύοντι τὸν τῆς δίκης, ὡς ἔπος εἰπεῖν, μυελὸν τὸν ὑπὸ τῇ πολυφυλλίᾳ τῶν λόγων ὡς τὰ πολλὰ λανθάνοντα· δεῖ γὰρ κατὰ μίμησιν τοῦ θείου καὶ τοὺς κριτὰς τὴν μὲν ἀλαζονείαν περιστέλλειν, τὸ δὲ ταπεινὸν κατὰ γῆς ἐῤῥιμμένον ἀνορθοῦν.

861. Ἡ τοῦ ὑπηκόου σωτηρία νόμων κρηπὶς καὶ κορωνίς.

862. Οἱ λεπτῶς φρονοῦντες ὑπειλήφασι διεσχίσθαι ὑγιοῦς λόγου πολιτείας εὐνομουμένης τὸν νοῦν τῶν γε δικαίων νόμων· ἀλλὰ πολλή τις ἐπανθεῖ ἀμφοῖν ἀναλογία τε καὶ συμπάθεια, καὶ ἐν μὲν φιλίᾳ μίαν φησὶ ψυχὴν ἐν δυσὶ σώμασιν οἰκεῖν, ἐνταῦθα δὲ νόμος καὶ λόγος οἱονεὶ ψυχαὶ καὶ νεῦρα ἀμοιβαίως ζωογονούμενα κινοῦνται καὶ διαγίγνονται.

863. Μεμνήσθωσαν οἱ κριταὶ καὶ τῆς ἑαυτῶν ἀξίας καὶ ὡς ἔξεστιν αὐτοῖς μεθ' ὑγιαινούσης φρονήσεως χρῆσθαι τοῖς νόμοις, συγκεραννῦντες τῇ ἀκριβείᾳ τὴν ἐπιείκειαν.

864. Τὰ μὲν τῆς εὐτυχίας ἀγαθὰ τοῖς πλείοσίν εἰσιν ἐφετά, τὰ δὲ τῆς δυστυχίας πᾶσι τῳόντι θαυμαστά· θαῦμα γὰρ τὸ ὑπεραλλόμενον τοὺς ὅρους τῆς φύσεως· ἐγγὺς δῆτα θαύματος καὶ τὸ γενναίῳ καὶ νεανικῷ φέρειν φρονήματι τὰ ἐνσκήπτοντα δεινὰ καὶ χαλεπά, σῶμα μὲν ἀδρανὲς περικείμενον, τὴν δὲ θείαν φύσιν μιμούμενον καὶ ἀμφιλαφοῦς ἔνδον ἀπο-

λαύοντα γαλήνης καὶ ἀσφαλείας· διὸ ἐν μὲν τῇ τοῦ νόμου σκιᾷ ὁ παρὼν βίος ἔθαλπε τὰ τῆς εὐδαιμονίας σπέρματα, ἀποδιδοὺς ἐξ ὑπογυίου καὶ τοὺς καρπούς· ἐν δὲ τῇ Καινῇ Διαθήκῃ, ἣ τὸν τέλειον ἡμῖν βραδεύει νόμον, ἐκεῖνοι μακαρίζονται, οἵ γε μετὰ γενναιότητος ὀλιγωροῦντες τῶν ἐφημέρων ἀγαθῶν καὶ ὑπερφυεῖ τινι ἀνδρείᾳ φέροντες ὁπόσα δεινὰ καὶ ἀντίξοα· ὅτε τοῦ πνεύματος κάλαμος λαμπροτέροις ζωγραφεῖ χρώμασι τὰς τοῦ δικαίου Ἰὼβ πληγάς, ἢ τὴν ἀνθηροτάτην τοῦ σοφοῦ βασιλέως εὐδαιμονίαν· καὶ ἡ Δαβιτικὴ λύρα θρήνων ἐστὶ μεστή· ἀλλ᾽ ὅμως ὥσπερ οἱ πλούτῳ περιῤῥεόμενοι καὶ ἀξιώμασι σοβοῦντες μυρίαις φροντίσιν ἀποκναίονται καὶ ἀπλέτῳ δάκνονται φόβῳ, οὕτως ἀπεναντίας ἱλαρᾶς ἐλπίδος, εὐθυμίας· καὶ καθάπερ αἵ τε γραφαὶ καὶ τὰ ὑφάσματα, ὁπηνίκα τὰ ἀποστίλβοντα τῶν χρωμάτων ἀνακεκραμένα πως διαφαίνοιτο ταῖς σκιαῖς μᾶλλον κηλοῦσιν, οὕτω καὶ ταῖς δυστυχίαις εἴτ᾽ ἔξωθεν ἐπιφοιτῶντα, εἴτ᾽ ἀπὸ τῆς κατὰ ψυχὴν γαλήνης ἐπανθοῦντα τὰ ἡδέα δαιμονίως διαφέρουσι· τά τε εὔοσμα τηκόμενά τε καὶ καιόμενα τοὺς θυμηρεστάτους ἀποπνέουσι χυμούς· πρόσεστι δὲ καὶ τοῦτο τῇ εὐτυχίᾳ, τὸ ἐς τοὐμφανὲς ἕλκειν τὰς ἐνδομυχούσας κακίας· ἐν δὲ τῇ δυστυχίᾳ ἀκμὴν ἀναλάμπουσιν αἱ τῆς ψυχῆς ἀρεταί.

865. Ὁ ἡμέτερος νοῦς μυρίοις λογισμοῖς οἱονεὶ ὅπλοις περιφράττων καὶ κατασφαλίζων ἑαυτὸν ἐνίοτε μὲν κατὰ τῶν παρεληλυθότων δεινῶν θριαμβεύει· ἀλλὰ περιουσίᾳ μεγαλαυχίας ὑπέρτερον ἑαυτὸν νομίζει καὶ τῶν μελλόντων· τὰ παρόντα ὅμως δεινὰ διαῤῥήδην θριαμβεύουσι κατὰ τοῦ νοός, δίκας ἀλαζονείας αὐτὸν εἰσπραττόμενα.

866. Μεγάλη τῳόντι ἡ τῆς φύσεως ἰσχύς· νοσοῦσα παρὰ δόξαν ἀναῤῥαΐζει, καὶ τῶν ἰατρῶν τεθηπότων αὐτουργεῖ τὰς θεραπείας· ὕπνον προσποιουμένη πολλάκις ἀγρυπνεῖ καὶ δράττεται πᾶσαν εὐκαιρίαν, ὅπως καταβάλῃ τὸν ἀντίπαλον. Δεῖ δὴ τούς γε ἐχέφρονας μηδαμῶς τεθαῤῥηκέναι τοῖς ἢ κεκμηκόσι καὶ κοιμωμένοις ἢ τὸ ἀνειμένον προσποιουμένοις πάθεσι, τοῖς τὴν Αἰσωπικὴν γαλῆν μιμουμένοις, ἣ μυὸς προφανέντος ἀποτίθεται τὸ προσωπεῖον καὶ εἰς τὸ ἔμφυτον ἦθος ἀναδραμοῦσα κατὰ τῆς θήρας ὁρμᾷ.

867. Εὐδαίμονές εἰσι τῳόντι, ὧν ἥ τε τοῦ σώματος κρᾶσις καὶ τὸ τῆς ψυχῆς ἦθος συντρέχουσι καὶ συνᾴδουσι τῇ ἰδέᾳ τοῦ βίου, ἣν ἐνεστήσαντο.

868. Ἡ ἑκάστου φύσις αὐτομάτους φύει σωτηρίους τε καὶ δηλητηρίους βοτάνας· δεῖ δὴ τὰς μὲν ἐπικαίρους ἀρδεύειν, τὰς δὲ ἄρδην ἀνασπᾶν.

869. Ἡ φιλανθρωπία ὑπέρκειται πασῶν τῶν ἀρετῶν· φέρει γὰρ τὴν εἰκόνα καὶ τὸν ἀκήρατον χαρακτῆρα τῆς θείας φύσεως. Καὶ ταύτῃ ὑπερανέστηκεν ὁ ἄνθρωπος· εἴη γὰρ ἂν ἄλλως ζῷον πολυτάραχον καὶ ἀνόσιον καὶ ἄθλιον, ὥσπερ σκώληξ ἢ κατὰ γῆς συρόμενον, ἢ διαβιβρῶσκον καὶ σίνον τὸ παρατυχόν. Ἀμέλει ἡ ἔμφυτος ἀγαθότης ἀντίτυπός ἐστι τῷ ἱερῷ καὶ θείῳ τῆς ἀγάπης πυρί, καὶ ἐν μὲν Ῥώμῃ αἱ Ἑστιακαὶ πάλαι παρθένοι σώφροσιν ὀφθαλμοῖς διηνεκῶς ἐπαγρυπνοῦσαι νόθον, ἀϊδιότητος μίμημα, ἔνυλον καὶ ἀμυδρὸν πῦρ ἐφημέροις ἀνεζωπύρουν ὑπεκκαύμασι· τὸ δὲ τῆς θείας ἀγάπης πῦρ ἐν καρδίᾳ ἀναπτόμενον γεννᾷ καὶ τρέφει τὸν εὐαγῆ χορὸν τῶν ἀρετῶν, οὐδέποτ᾽ ἀποσβεννύμενον, ἅτε οὐρανίου φωτὸς ἀκτῖσιν ἀοράτως ζωογονούμενον.

www.dacoromanica.ro

# ΚΓ'.

# ΓΡΗΓΟΡΑΣΚΟΣ ΓΚΙΚΑΣ.-ΚΡΙΤΙΑΣ.



www.dacoromanica.ro

www.dacoromanica.ro

# ΓΡΗΓΟΡΑΣΚΟΣ ΓΚΙΚΑΣ-ΚΡΙΤΙΑΣ.

## 1.

### ΠΡΟΣΦΩΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΕΡΙΔΟΞΟΝ ΤΕΛΕΤΗΝ ΤΩΝ ΓΑΜΩΝ

τῆς ἐνδοξοτάτης καὶ πανευγενεστάτης ἀρχοντίσσης κυρίας κυρίας Αἰκατερίνης, θυγατρὸς τοῦ ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου αὐθέντου ἐξ ἀποῤῥήτων τῆς κραταιᾶς βασιλείας τῶν Ὀθωμανῶν κυρίου κυρίου Ἀλεξάνδρου Γκίκα, μετὰ τοῦ τιμιωτάτου καὶ εὐγενεστάτου ἄρχοντος κυρίου Δημητρίου Γεωργιάδου, προσφωνηθὲν ἐνώπιον πάντων τῶν συμπαρόντων παρὰ τοῦ ἐνδοξοτάτου καὶ περιφανεστάτου κυρίου Γρηγοράσκου Γκίκα, παμφιλτάτου υἱοῦ τῆς αὐτοῦ ἐκλαμπρότητος.

*«Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος»*[1].

1. Φαιδρὰ καὶ λαμπρὰ τῳόντι ἡ παροῦσα ἡμέρα, παναγιώτατε καὶ σεβασμιώτατε δέσποτα οἰκουμενικὲ πατριάρχα, παναγιώτατε καὶ σεβασμιώτατε πάτερ καὶ πατριάρχα πρώην Κωνσταντινουπόλεως, μακαριώτατε καὶ ἁγιώτατε πατριάρχα τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης, πανιερώτατοι καὶ θεοπρόβλητοι μητροπολῖται, ἐξοχώτατοι καὶ περίβλεπτοι πρέσβεις τῆς περιφανεστάτης βασιλείας Σβεκίας, ἐκλαμπρότατε καὶ εὐσεβέστατέ μοι αὐθέντα μεγαλογοθέτα τῆς τοῦ Χριστοῦ Καθολικῆς Μεγάλης Ἐκκλησίας καὶ τῆς κραταιᾶς βασιλείας ἐξ ἀποῤῥήτων, ἐνδοξότατοι καὶ ἐπισημότατοι ἄρχοντες. Φαιδρὰ καὶ λαμπρὰ τῳόντι φημὶ ἡ παροῦσα ἡμέρα, τελετὴν μυστηρίου ὑπόθεσιν ἔχουσα, τιμίων γάμων καὶ νυμφικῆς παστάδος προβαλλομένη ἑορτὴν πανευφρόσυνον, ἣν ἡ τοῦ ἐπουρανίου βασιλέως μυστικὴ νύμφη ἄνωθεν ὡς κλῆρον παραλαβοῦσα τῷ γένει τῶν ὀρθοδόξων διετυπώσατο καὶ παρέδωκε· ὁ γὰρ νοητὸς νυμφίος τῆς Ἐκκλησίας θεάνθρωπος Ἰησοῦς Χριστὸς ὥσπερ ἄμωμον νύμφην ταύτην ἑαυτῷ ἁρμοσάμενος, τὴν ἀρχῆθεν θεϊκαῖς αὐτοῦ ψήφοις ὁροθετηθεῖσαν τοῦ ἄῤῥενος καὶ θήλεος συζυγίαν καὶ ἀνέκλειπτον τοῦ γένους διαδοχήν, διὰ τῆς ἐν Κανᾷ ὕστερον δεσποτικῆς αὐτοῦ παρουσίας εὐλόγησε καὶ ἡγίασε τὸ ὕδωρ εἰς οἶνον μεταποιησάμενος (οἱονεὶ τὴν ἐκ τοῦ νομικοῦ σκιώδους γράμματος ὑδατώδη μόνην ποιότητα εἰς τὴν τοῦ οἴνου πνευματώδη στυφότητα, τὴν εὐαγγελικὴν δηλονότι διδασκαλίαν καὶ τὸν τῆς χάριτος νόμον, μεταμειβόμενος) καὶ ὡς κρηπῖδα τῶν μυστηρίων προκατεβάλετο, τίμιον τὸν γάμον καὶ ἀμίαντον τὴν κοίτην ἀποφηνάμενος.

2. Φαιδρύνεται δ᾿ αὖ καὶ νῦν καὶ λαμπρὰ τὰ τῆς πανηγύρεως ἀναδείκνυται, τοσούτων καὶ τηλικούτων ἐπιφανῶν καὶ ἐπισήμων προσώπων συγκροτούντων αὐτὴν καὶ ἐπικοσμούντων, ἐντεῦθεν μὲν παναγιωτάτου καὶ σεβασμιωτάτου οἰκουμενικοῦ πατριάρχου καὶ ἑτέρων ἁγιωτάτων πατριαρχῶν παρουσιαζόντων καὶ εὐλογούντων καὶ ἑτέρων ἁγίων ἀρχιερέων συνεδριαζόντων καὶ συνευχομένων, ἐντεῦθεν δὲ ἐξοχωτάτων καὶ περιβλέπτων πρέσβεων τῆς μεγαλοπρεπεστάτης βασιλείας Σβεκίας περιφανῶς δοξαζόντων καὶ λαμπρυνόντων, τοῦ τε ὑψηλοτάτου

[1]) Ἑβρ. γ᾿, 4.

www.dacoromanica.ro

www.dacoromanica.ro



καὶ εὐσεβεστάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Οὐγκροβλαχίας κυρίου κυρίου Ἰωάννου Κωνσταντίνου βοεβόνδα καὶ τοῦ εὐσεβεστάτου καὶ ὑψηλοτάτου αὐθέντου καὶ ἡγεμόνος πάσης Μολδαβίας κυρίου κυρίου Γρηγορίου Γκίκα βοεβόνδα κατ' ἐπιτροπὴν στεφανωθέντων, καὶ τοῦ ἐκλαμπροτάτου καὶ εὐσεβεστάτου φιλοστοργωτάτου μοι πατρός (οἷς δοίη Θεὸς ὑγιᾶ μακρόβιον καὶ εἰρηναίαν διαμονὴν καὶ συντήρησιν), ἐνδοξοτάτων τε καὶ ἐπισημοτάτων ἀρχόντων τῷ χορῷ συστοιχούντων καὶ πάντων ἅμα συνευχομένων τε καὶ ἀγαλλομένων· ἐν οἷς οὐχ ἧττον λαμπροφορεῖ καὶ τῆς πανηγύρεως προεξάρχει ὁ τῶν γάμων τελεσιουργός τε καὶ ἔφορος πατὴρ ἐμὸς σεβάσμιος καὶ φιλόστοργος, εὐφραινόμενος ἐπὶ τέκνῳ ποθουμένῳ νυμφῶνι καὶ Θεῷ προσᾴδων ᾄσματα χαριστήρια καὶ εἰς χαρὰν προτρεπόμενος πάντας, ὅσοι ἐκ συγγενείας ἢ ἑταιρείας ὡς ἀπὸ συνθήματος ἐνταυθοῖ συνελθόντες χρέος ἀποδόσοντες ἧκον θεσμοῖς συνηθείας ἐπικρατούσης ἀποκεκληρωμένον ἀνέκαθεν.

3. Ἐγὼ δὲ μετὰ πάντων ἢ μᾶλλον εἰπεῖν πρὸ τῶν ἄλλων εὐφροσύνης ἱμάτιον περιβεβλημένος καὶ ὅλος πλήρης γενόμενος ἡδονῆς σιγῇ παρελθεῖν τὴν πανήγυριν οὐκ ἀνέχομαι· ὀφειλὴν δὲ νόμῳ φύσεως ἀπαιτουμένην ἀφοσιούμενος λόγον ἐφύμνιον ᾆσαι ὡς ὑπὸ σάλπιγγι διατόρῳ τῇ γλώττῃ συντόμως ἐπείγομαι καὶ λογικῶν ἀνθέων πλοκῇ τὰς στεφανουμένας τῶν νεονύμφων κορυφὰς ἀναδῆσαι γηθοσύνως σήμερον προτεθύμημαι· μὴ ἐνὸν γὰρ ἄλλως τὰ τῆς χαρᾶς ἐπιδείξασθαι λόγῳ ἀποτῖσαι τὸ χρέος δίκαιον ἥγημαι. Καὶ ἡ μὲν κλῖσις τῆς ἐμῆς προθέσεως αὕτη καὶ ἡ προθυμία τοσαύτη· ἐφ' ᾧ τὸν τῆς ψυχῆς ἀφοσιώσασθαι συνεχόμενος ἀγωνίᾳ καὶ φόβῳ, ὅτι σώματος ἡλικίᾳ ἐλαττονῶν καὶ λογικῶν μαθημάτων δυνάμει μὴ εὐτονῶν ἐγχειρεῖν τοῖς ἐπὶ δύναμιν προεθέμην καὶ εἰς μέσους ἀγῶνας ὁμόσε χωρεῖν κατηνάγκασμαι, ἀκοαῖς συνετῶν καὶ λογίων ἀκροατῶν λόγον ἀδρανῆ τε καὶ ἄτεχνον πειρώμενος κατηχεῖν. Ἀλλὰ γὰρ πατρικαῖς ὑμετέραις, ὦ πάτερ, εὐχαῖς καὶ δεσποτικαῖς εὐλογίαις τεθαῤῥηκὼς τι πρὸς δύναμιν ἐπιμετρῆσαι οὐκ ὤκνησα, καί μοι σύγγνωτε (ἀξιῶ) ἐγκωμίων ὅρον εὐφημεῖν τὰ οἰκεῖα μὴ συγχωροῦντα ὑπερβῆναι τολμήσαντι. Ἵνα δὲ καθ' εἱρμὸν ὁ λόγος μοι προϊὼν τοῦ προσήκοντος ἐπιτεύξηται τέλους, ἀναγκαῖον ἂν εἴη καὶ ἁρμόδιον τῷ προκειμένῳ σκοπῷ μικρὸν ἄνωθεν ἀρξάμενον ὡς ἔνι γε κατ' ἐπιδρομὴν ἑκατέρου γένους τῶν νῦν συναπτομένων ἀλλήλοις χρυσόπλοκον σειρὰν διυφᾶναι τῷ λόγῳ.

4. Καὶ δῆτα πάρεστιν ἰδεῖν νυμφευομένην τανῦν καὶ ἁρμοζομένην παρὰ Θεοῦ τὴν πανευγενεστάτην καὶ ποθεινοτάτην μοι αὐταδέλφην κυρίαν Αἰκατερίνην νομίμῳ καὶ πρσφόρῳ ἀνδρί, τῷ τιμιωτάτῳ καὶ εὐγενεστάτῳ ἐν ἄρχουσι κυρίῳ Δημητρίῳ, καὶ ἀμφοτέρους εἰς ἕνωσιν καὶ μιᾶς σαρκὸς κοινωνίαν καὶ συμφυΐαν κατὰ τὸ θεῖον ἐπίταγμα[1]· ὧν ἡ μὲν θαλαμευομένη ὅτι ἐκ ῥίζης τῶν ἐμῶν ἐβλάστησε γεννητόρων καὶ τῆς αὐτῆς μοι φυῆς κεκοινώνηκε μηδένας οἶμαι ἀγνῶτας εἶναι· ἴσασι γὰρ πάντες καὶ φανερώτερον ὡς εἰπεῖν ἤδη ἡλίου ἐπίστανται, ὅτι γενέτην μὲν αὐχεῖ σὺν ἐμοὶ ζηλωτὸν καὶ περίβλεπτον πᾶσιν, ὃς ὁρᾶται νῦν προκαθήμενος, ὁ εὐσεβέστατος καὶ λαμπρότατός μοι αὐθέντης ἐξ ἀποῤῥήτων τῆς κραταιᾶς βασιλείας κύριος κύριος Ἀλέξανδρος Γκίκας, ἐξ αὐθεντικῶν αἱμάτων πατρόθεν τε καὶ μητρόθεν φὺς καὶ τραφεὶς μεγαλοπρεπῶς, πατρόθεν μὲν τοὺς περιφανεστάτους προγόνους Γρηγόριόν φημι καὶ Γκίκαν τοὺς μεγαλοπρεπεστάτους ἡγεμόνας αὐχῶν, πρὸς δὲ μητρός, τῆς εὐσεβεστάτης καὶ ἐκλαμπροτάτης μοι μάμμης, εἰσέτι καὶ νῦν πανευκλεῆ τὸν βίον ἐπιμετρούσης (ποία γὰρ τῶν ἐν τῇδε τῇ Βασιλευούσῃ μητέρων πατρὸς ἀδελφῶν υἱέων καὶ ἀνεψιῶν ἡγεμόνων ὡς αὕτη ἠξίωται;), εἰς τὸν περιώνυμον ἐκεῖνον ἐπὶ συνέσει τε καὶ σοφίᾳ ἀείμνηστον Ἀλέξανδρον τὸν ἐξ ἀποῤῥήτων, τὸ μέγα θαῦμα τῶν πάλαι καὶ νῦν ἐπὶ σοφίᾳ θαυμαζομένων, τὸ κλέος τῶν ἐν εὐσεβείᾳ καὶ ὀρθῇ πίστει τὸν βίον τελούντων, τὴν τοῦ γένους ἀνέλκων διαδοχήν, ὃς ὥσπερ τῆς ἐπωνυμίας οὕτω καὶ τῆς ἀξίας κοινωνὸς τῷ πάππῳ ἐγένετο. Ποῖ δὲ καὶ τακτέον τὸ μέγα κλέος καὶ τὴν ἀΐδιον μνήμην τῶν θαυμασιωτάτων ἐκείνων ἡρώων, τῶν εὐσεβεστάτων φημὶ καὶ ἀοιδίμων Νικολάου καὶ Ἰωάννου τῶν περιβλέπτων ἡγεμόνων, τῶν τοῦ ἐμοῦ πατρὸς θείων, ὧν ὁ μὲν τῷ περιόντι τῆς σοφίας καὶ τῇ τῶν ἠθικῶν ἀρετῶν περιουσίᾳ, ὁ δὲ τοῖς πατρικοῖς ὁμοῦ καὶ ἀδελφικοῖς

[1]) Πρβλ. Ματθ. ιθ', 5.

ἀξιαγάστοις χαρίσμασι κατηγλαϊσμένοι δίκην φωστήρων δύο εἰς πᾶσαν σχεδὸν ἐξέλαμψαν τὴν ὑφήλιον; Γρηγορίου δὲ τοῦ εὐσεβεστάτου καὶ περιβλέπτου τῆς Μολδαβίας ἡγεμόνος τὰς μετὰ συνέσεως ἡρωϊκὰς πράξεις τίς ἂν ἀξίως ἐκδιηγήσαιτο; Κωνσταντίνου τε τοῦ θεοσεβεστάτου ὑψηλοτάτου ἡγεμόνος Οὐγκροβλαχίας τὰς ἀρετὰς ποῖος οὐκ ἐξυμνήσει τῶν νουνεχόντων; Τίς οὖν ἐφίκοιτο λόγος τῶν ἐγκωμίων ἄθλα μὲν τοῖς προγόνοις τῶν τε ἐντὸς καὶ ἐκτὸς ἀρετῶν ἄρχοντας χρηματίσαι λαῶν καὶ τοιούτων ἐκγόνων γεγονέναι πατέρας[1], τοῖς ἐκγόνοις δ' αὖ γέρα παρὰ Θεοῦ τοιούτων προγόνων ἐκγόνους καὶ ἡγεμόνας ὀφθῆναι; Εἰ τοίνυν τὰ ἑκατέρωθεν τοῦ γένους γεραίρειν ἐπιβαλλοίμην, ἄβυσσος ἄβυσσον ἐπικαλέσεται καὶ ὑποβρύχιον ὅλον ποιήσει με τὰ λαμπρὰ κατορθώματα καὶ θεοφιλῆ αὐτῶν ἔργα ἐκδιηγούμενον. Ἔνθεν τοι καὶ ὁ ἐκλαμπρότατός μοι αὐθέντης τὴν αὐθεντικὴν ἐπωνυμίαν ὡς προγονικὸν κλῆρον καὶ μισθὸν τῶν οἰκείων διαδεξάμενος ἀρετῶν, οὐ τοσοῦτον τῷ ὑπεροχικῷ ἀξιώματι, ὅσον τοῖς προτερήμασι σεμνυνόμενος, μᾶλλον δὲ οὐχ οὕτω τοῖς προτερήμασιν, ὅσον τῇ πίστει ἐγκαλλωπιζόμενος καὶ μεγαλυνόμενος, δι' ἧς καὶ τῶν προσόντων αὐχημάτων αὐτῷ καὶ μεγαλουργῶν κατορθωμάτων ὑπῆρξεν ἐπίβολος καὶ νυμφικῶν ἤδη θαλάμων θυγατρὸς παμφιλτάτης αὐτουργὸς ἅμα καὶ θεατὴς ἠξιώθη γενέσθαι παρὰ Θεοῦ τοιούτοις ἀγαθοῖς δώροις τοὺς πιστοὺς αὐτοῦ θεράποντας ἐπαξίως ἀμειβομένου.

5. Μητέρα δὲ πλουτεῖ φιλότεκνον καὶ φιλόστοργον τὴν ἐμήν γε σεβασμιωτάτην καὶ ἐκλαμπροτάτην κυρίαν κυρίαν Ἑλένην, τὴν ἐξ ἐπιφανῶν καὶ πρωτίστων ταυτησὶ τῆς Βασιλευούσης γενῶν, πρὸς πατρὸς ὁμοῦ καὶ μητρὸς τὰς ῥοὰς ἐφελκομένην τοῦ αἵματος καὶ τοῖν γενοῖν καταλλήλως μυρίοις ὅσοις καλοῖς ἐπικεκοσμημένην κατά τε ψυχὴν καὶ σῶμα εὐώδεσι χαρίτων ἄνθεσιν, ἀνθ' ὧν καὶ τὸ Δαβιτικόν ἐστιν ἰδεῖν ἐπ' αὐτὴν πληρούμενον, οἷα δὴ «μητέρα ἐπὶ τέκνοις εὐφραινομένην»[2]. Τοιαῦτα τῇ περιφανεστάτῃ νύμφῃ τὰ ἐξ ἑκατέρου τοῦ γένους ἐγκαλλωπίσματα καὶ μυρία ὅσα οἴκοθεν ἀξιέπαινα προτερήματα. Ὁ δὲ νυμφίος πατρὸς μὲν ἐπισήμου καὶ πρωτεύοντος τῶν ἐν τῇδε τῇ πολιτείᾳ ἀρχόντων καὶ μητρὸς τῶν εὐγενίδων τῆς Βύζαντος προελθὼν (φήμην ὀνόματος ἀγαθὴν ἐν τῷ βίῳ καὶ ἀξιομνημόνευτον ἀμφότεροι καταλελοιπότες), ἠθῶν εὐκοσμίᾳ καὶ τρόπων καλοκἀγαθίᾳ καὶ βίου σεμνότητι κοσμήσας ἐρρύθμισεν ἑαυτὸν παιδείᾳ καὶ σπουδῇ ἀνατεθραμμένος καὶ τῶν πρὸς εὔκλειάν τε καὶ ἔπαινον συντεινόντων ἀντιποιούμενος καὶ ἀρχόντων λογάσιν ἐφάμιλλος ὢν καὶ εἰς γάμου κοινωνίαν κληθεὶς ἐπάξιος.

6. Στίλβουσι τοίνυν ὥσπερ ἀστέρες λαμπρότατοι οἱ νεόνυμφοι οὐ μόνον τῇ ἔξω δὴ ταύτῃ καὶ κοσμικῇ εὐκληρίᾳ ἐγκαλλωπιζόμενοί τε καὶ λαμπρυνόμενοι, λαμπροτάτων καὶ ἐπισημοτάτων τυγχάνοντες γεννητόρων βλαστήματα, ἀλλά γε καὶ τοῖς ἐνδογενέσιν ἀγαθοῖς προτερήμασι τοὺς πλείστους ὑπερακοντίζοντες· καὶ ἵνα τὰ κατὰ μέρος τῶν γεννητόρων βλαστήματα παρεὶς τοῖς εἰδόσι, μακροτέρων δεόμενα λόγων καὶ νόμοις ἰδιάζουσιν ἐγκωμίων προσήκοντα, ἐπ' αὐτὸ τὸ τοῦ λόγου κεφάλαιον ἀναδράμω καὶ τὸν τῆς πανηγύρεως ὕμνον ἐπισφραγίσω, ἰδοὺ πάλιν εὐφροσύνης προσᾴδω ῥήματα, ὅτι ἡμέρα χαρᾶς καὶ ἀγαλλιάσεως ἡ παροῦσα ἐπέφανεν εἰς κοινὴν ἑστίασιν ἅπαντας συγκαλοῦσα καὶ τῇ ἑορτῇ ἐπαγάλλεσθαί τε καὶ εὔχεσθαι ἀναπείθουσα.

7. Εὐφραινέσθωσαν τοιγαροῦν οἱ ἐκλαμπρότατοι φύντες τὸν ὑπερήδιστον ἀσπασμὸν τῶν ποθουμένων στεφάνων ἤδη πληροφορούμενοι, οἳ καὶ τοῖς λοιποῖς φιλτάτοις τῶν ἴσων θεόθεν ἀξιωθείησαν, καὶ Θεῷ τῶν καλῶν πρυτάνει ᾀδόντων εὐχαριστήρια καὶ ἴδοιεν υἱοὺς καὶ θυγατέρας τῶν υἱῶν καὶ τῶν θυγατέρων ἀγαλλόμενοι ἐπὶ πᾶσι διὰ βίου παντός. Ἐπευχέσθωσαν εὐλογοῦντες σεβασμιώτατοι πατριάρχαι, τῇ πανσθενεστάτῃ δεξιᾷ τοῦ ὑψίστου σκεπόμενοί τε καὶ συντηρούμενοι, ἥ τε ἁγία καὶ ἱερὰ τῶν ἁγίων ἀρχιερέων χορεία ἐπακολουθείτω ταῖς ἱεραῖς εὐχαῖς καὶ εὐλογίαις τοῖς νεοστέπτοις. Συνεπευχέσθω τοῖς στεφανίταις ἥ τε περίδοξος καὶ ἐπιφανεστάτη παρουσία τῶν ἐνδοξοτάτων καὶ πανευγενεστάτων ἀρχόντων, οὓς ὁ δοτὴρ καὶ χορηγὸς τῶν ἀγαθῶν Ἰησοῦς Χριστὸς ἀξιώσοι ἀῤῥαβῶνας ἰδεῖν καὶ στεφάνους ἀσπάσασθαι τῶν οἰκείων φιλτάτων

---

[1]) Τὸ χωρίον τοῦτο φαίνεται διεφθαρμένον ἐν τῷ κώδικι· διότι μὲ τὸ *ἐγκωμίων* ὑπάρχει σημεῖον ἐρωτήσεως, μετὰ δὲ τὸ *μὲν* ἀνέγνων ἐκεῖ ἐν *γὰρ* καὶ μετὰ τὸ *τοιούτων* ἐν *ἐγκωμίων*, ὅπερ ἔτρεψα εἰς *ἐκγόνων*.

[2]) Ψαλμ. ριβ', 9.

www.dacoromanica.ro

εὐχαριστηρίους ᾠδὰς καὶ ὕμνους προσᾴδοντας Χριστῷ τῷ ἀρχηγῷ καὶ τελειωτῇ τῆς ἄρτι συναρμοσθείσης ταύτης συζυγίας· ἕς παράσχοι τοῖς νεοστέπτοις καὶ πᾶσιν ὑμῖν ζωῆς μακροημέρευσιν, ὑγιείας συντήρησιν, ὁμόνοιαν συνοικήσεως ἀδιάσπαστον, καρπὸν κοιλίας πολύγονον μετ' εὐτεκνίας εἰς μακροτάτην γῆρως βαθυτάτου καὶ πανευθύμου ἐπιχορηγῶν αὐτοῖς τὴν δρόσον τοῦ οὐρανοῦ καὶ τὴν πιότητα τῆς γῆς ἐν πᾶσι τοῖς ἀγαθοῖς, καὶ ἴδοιεν τέκνα τέκνων εὐφραινόμενοι μετ' ἀλλήλων ἐν μακρότητι βίου. Ἀμήν.

2.

*Ἑπόμενον τοῦ σοφωτάτου καὶ ἐλλογιμωτάτου οἰκουμενικοῦ διδασκάλου κυρίου Κριτίου.*

1. Μεγίστης τῳόντι ἡδονῆς καὶ τέρψεως ἀμυθήτου, ὦ ἱερὰ καὶ σεβασμία ἁγιωτάτη ἀκρότης πατριαρχῶν, συνάμα τὰς ψυχὰς ἡμῶν ἁπάντων πεπλήρωκεν ὁ τοῦ εὐγενεστάτου καὶ φιλτάτου υἱέως τῆς θεοσεβεστάτης αὐτοῦ ἐκλαμπρότητος σὺν ἀστειότητι καὶ χάριτι καὶ ἠθῶν εὐρυθμίᾳ καὶ εὐκοσμίᾳ προσφωνηθεὶς ἐπὶ τῇ λαμπροτάτῃ τῶν γάμων τελετῇ πανηγυρικὸς λόγος, κοσμούμενος μὲν τοῖς γλαφυρωτάτοις νοήμασι, καλλυνόμενος δὲ καὶ τῇ τοῦ λέγοντος εὐγενείᾳ καὶ οὐ κατὰ παῖδα ἀπομνημονεύσει. Εἰ δὲ ἡμᾶς ἐπὶ τοσοῦτον ηὔφρανέ τε καὶ κατεκήλησε τῇ τῆς ἐπαγγελίας ἡδύτητι, πολλῷ γε δήπουθεν τὸν φιλοστοργότατον φύντα· εἰ γάρ, ὥς φασι, φίλα πατράσι καὶ αὐτὰ τὰ τῶν παίδων ψελλίσματα, τίνα οὐκ ἂν φέροιεν ἡδονὴν τὰ μετὰ σπουδῆς καὶ συνέσεως ἐκείνων φροντίσματα καὶ μεμεριμνημένα σπουδάσματα μετὰ φιλοπονίας γινόμενα; Καὶ ἀγάμεθα ἄρ' οὖν τὸ ἐν ἁπαλῇ ἔτι καὶ κομιδῇ νεαζούσῃ τῇ ψυχῇ γενναῖον τοῦ φρονήματος, τὸ εὐφυὲς τοῦ νοός, τὸ ἀκριβὲς τῆς μνήμης, τὸ πρὸς παιδείαν καὶ μάθησιν δεξιόν, τὸ φιλόπονον. Εὖγε τῆς εὐφυΐας· ὡς κάλλιστα καὶ ἐναργῆ ὑποφαίνει τῆς ἐπιδόσεως τὰ γνωρίσματα, ἀνθ' ὧν εὐέλπιδες ἐσμὲν προϊούσης τῆς ἡλικίας ὥσπερ φυτὸν εὐγενὲς τῇ τῆς διδασκαλίας ἀρδείᾳ εἰς ὕψος περιφανὲς ἀναδραμεῖν καὶ καρποὺς ἀρετῶν ἐκβλαστῆσαι τοὺς ἡδίστους τε καὶ ὡραιοτάτους. Τοιγαροῦν εὐχαῖς θεοπειθέσι τε καὶ εὐπροσδέκτοις τῆς ὑμῶν παναγιότητος καὶ μακαριότητος καὶ πάσης τῆς ἱερᾶς ὁμηγύρεως ζήτω ἐς μακραίωνας καὶ ἐπιδότω ἡλικίᾳ τε ἅμα καὶ παιδείᾳ καὶ σοφίᾳ, καὶ τὸν ἐκλαμπρότατον φύντα τε καὶ τεκοῦσαν μέχρι γήρως λιπαροῦ καὶ βαθυτάτου ἐπιτερπέτω ταῖς εἰς ἀρετὴν προόδοις καὶ ἀναβάσεσι.

2. Τὰ μὲν οὖν εὐφυῶς καὶ μετὰ πολλῆς χάριτος ἀρτίως προσφωνηθέντα ὡς ἱκανῶς παραδεδηλωκότα τοῦ μυστηρίου τὴν δύναμιν καὶ τὰς νενομισμένας εὐχὰς ἐκτεθεικότα καὶ τὰς καθηκούσας εὐφημίας εὐμεθόδως συνυφάντα οὐ τὴν τυχοῦσαν τοῖς ἀκροασαμένοις ἀνῆκε τὴν ἡδονὴν καὶ ἡμᾶς πραγμάτων ἀπήλλαξε· ὅπως δὲ καὶ τὰ παρ' ἡμῶν μετρίως γοῦν καὶ ἐπὶ ποσὸν μὴ ἐλλείψῃ, μήτε φανῶμεν πρὸς τὸν ἐκλαμπρότατον αὐθέντην ἀγνώμονες, πολλῶν ὑπόχρεοι ὄντες χαρίτων πρὸς τὴν αὐτοῦ ἐκλαμπρότητα, φέρε βραχέα τοῖς εἰρημένοις ἐπισυνάψαντες, ἐφ' ᾧ τὸ χρέος ἀφοσιώσασθαι καὶ οἷς ἂν ἥσθεῖεν οἱ ἀκροώμενοι, τὴν εὐγνωμοσύνην ἐκ τῶν ἐνόντων ἐνδειξώμεθα. Ὁ μὲν οὖν παρὼν καιρὸς μονονουχὶ φωνὴν ἀφιεὶς πανταχόθεν ἡμῖν τὰ τῆς θυμηδίας προΐσχεται καὶ χαίρειν ἀναπείθει ἐπὶ τῇ διττῇ τῶν καλῶν μετουσίᾳ καὶ τῇ ἐλλείψει τῶν ἀλγεινῶν· οὐδὲ γὰρ μόνον φαιδροτέρας καὶ προσηνεστέρας τὰς ἀπὸ τοῦ ἔαρος ἀκτῖνας ἡμῖν ἐπανιεὶς τῆς πρὶν χειμερίου δριμύτητος καὶ ὀδύνης ἀπήλλαξε μεθ' ἱλαρότητος ἐπιῤῥωννύων καὶ διαναπαύων τὰ σώματα· ἀλλὰ καὶ τὸν μαινόμενον πρὶν τῇ πανοπλίᾳ Ἄρην κρεῖττον ἢ κατ' εὐχὴν δείξας ἀποψιλωθέντα τῶν ὅπλων καὶ πείσας καταθέσθαι τὸ μάχιμον, τάς τε ἐνυαλίους τρικυμίας καταστορέσας διὰ τῆς ἀναλαμψάσης εἰρήνης (τὸ χρυσοῦν καὶ πρᾶγμα καὶ ὄνομα) ἡδονῆς ἀφάτου τὰς ψυχὰς ἡμῶν ἐμπέπληκεν.

3. Ἡ δὲ τελετὴ γάμων ἐνδόξων καὶ περιφανῶν αἰσίων τε καὶ εὐτυχῶν ἱερὰν ἁγιστείαν ἄγει· ὁ γὰρ ἐκλαμπρότατος καὶ εὐσεβέστατος αὐθέντης ἐξ ἀποῤῥήτων, ὁ τοῦ ἡμετέρου γένους μοναδικὸς φωστὴρ καὶ τῆς εὐσεβείας διάπυρος ζηλωτής, θείῳ νόμῳ πειθαρχῶν ἄνωθεν διαταχθέντι ἐξ αὐτῆς τῆς πρώτης διαπλάσεως τοῦ βροτείου γένους καὶ τὴν θέμιν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας εὐσεβοφρόνως τιμῶν τὴν λαμπροτάτην καὶ εὐγενεστάτην θυγατέρα αὐτοῦ Αἰκατερίνην εἰς γάμον ἐκδίδωσιν ἀνδρὶ νομίμῳ, τῷ τιμιωτάτῳ καὶ εὐγενεστάτῳ ἐν ἄρχουσι κυρίτζῃ

www.dacoromanica.ro

Δημητράκη· συζεύξας καὶ συναρμόσας καταλλήλως τὴν λαμπρὰν ταύτην νεονύμφων ξυνωρίδα καὶ τὴν γαμήλιον παστάδα τῆς φιλτάτης παιδὸς μεγαλοπρεπῶς καὶ ἡγεμονικῶς ὡς οἷόν τε συγκροτήσας σὺν κόσμῳ παντοδαπῷ εὐωχίᾳ τε πολυτελεστάτῃ καὶ ἐξαισίᾳ παρασκευῇ δεξιοῦται φιλοφρόνως τῆς Βασιλευούσης τῆσδε τῶν πόλεων τὸ ἐπίλεκτον καὶ προῦχον ἔκ τε τοῦ ἱεροῦ τάγματος καὶ ἀρχοντικοῦ συστήματος. Τὰ μὲν οὖν οὕτω λαμπρὰ καὶ θαυμάσια καὶ μυρίων ἐπαίνων ἐπάξια πολλῶν εὐτυχημάτων συνδρομῇ περικοσμιούμενα, ὡς εἶναι μυρμηκιὰν ἀγαθῶν (τοῦτο δὴ τὸ τῆς παροιμίας)[1], πολλούς τε ἐπαινέτας ἀναγκαίως ἐπιζητοῦντα, ὅπως ἐν μέρει διελόμενοι ἕκαστος ἑνὶ τῶν εὐφημεῖσθαι δικαίων προσανασχοίη τὸν νοῦν, ἐμὲ δὲ τέως ἐκτόπως ἐφιέμενον ταῖς δυναταῖς, εἰ καὶ μὴ ταῖς κατ' ἀξίαν, εὐφημίαις ἐνδιατρῖψαι καὶ τὸ τῆς εὐγνωμοσύνης ἀποτίσασθαι ὄφλημα, ἀνείργει τοῦ σκοποῦ τὸ τοῦ καιροῦ κατεπεῖγον καὶ ἡ τῆς εὐωχίας φαιδρότης, ἄλλως τε καὶ τὸ ἀσύντακτον καὶ ἀπαράσκευον καὶ τὸ ἐξ ὑπογύου ἐντετυχηκέναι τῷ πράγματι. Κἀπειδὴ περὶ τῶν λοιπῶν ἱκανῶς τὸ προσφώνημα πεπραγμάτευται καὶ τοὺς ἀκροωμένους τῇ ἡδύτητι ηὔφρανεν, ἵνα μὴ περιττὸς δόξω παλιλλογῶν, ἐκείνων ἀφέμενος τὸν ἐκλαμπρότατον αὐθέντην καὶ ἀξιάγαστον ἑστιάτορα διὰ βραχέων δώσω τῷ λόγῳ, οὐχ ὡς τοιούτων χρῄζοντα ἐγκωμίων, ἀλλ' ἐφ' ᾧ τὴν ἐμὴν εὐγνωμοσύνην ἐνδείξασθαι, κἂν ἡ αὐτοῦ μεγαλόνοια καὶ σύνεσις μετριάζειν ἀείποτε ἐν πᾶσιν εἰδυῖα οὐ πάνυ τοι περὶ τὰ τοιαῦτα ἐπτόηται· διὸ καὶ περὶ τὰ βραχέα ταυτὶ καὶ ἄκομψα καὶ ἐξ ὑπογυίου σχεδιασθέντα μηδὲ κατ' ἀξίαν τὴν αὐτοῦ λεγόμενα συγγνώμων ἔσται πάντως τῇ συνήθει μετριοφροσύνῃ καὶ φιλανθρωπίᾳ χρησάμενος.

4. Λαμπρὰ μὲν οὖν καὶ περίβλεπτα τῆς αὐτοῦ ἐκλαμπρότητος τὰ πάλαι τῶν προγόνων αὐχήματα, ὅσα τε πρὸς πατρὸς ὅσα τε πρὸς μητρὸς τὴν χρυσῆν ἀνάπτει τοῦ γένους σειράν, ἡρωϊκωτάτων ἡγεμόνων ἐπιδεικνύοντα κατάλογον, Γκίκαν φημὶ τὸν θαυμαστὸν ἅμα τῷ κλεινῷ Γρηγοράσκῳ τοὺς βοεβόδας καὶ τὸν περιώνυμον ἐπὶ σοφίᾳ ἀοίδιμον αὐθέντην ἐξ ἀπορρήτων Ἀλέξανδρον, οὗ καθ' ὁμωνυμίαν τε καὶ συνωνυμίαν οὐ μόνον τὸ ταὐτὸν τῶν ὀνομάτων, ἀλλὰ καὶ τὸ ἴσον τῆς τιμῆς καὶ τοῦ ἀξιώματος ἐν ἐφαμίλλῳ πλεονεκτημάτων χορῷ διεδέξατο ἡ αὐτοῦ ἐκλαμπρότης. Οὐχ ἧττον δὲ λαμπρὰ καὶ θαύματος ἄξια τὰ τῶν ἀνθούντων τέως ἐν τῇ τοῦ γένους διαδοχῇ μεγαλοπρεπεστάτων καὶ ἀξιαγάστων ἡγεμόνων ἐγκαλλωπίσματα τῆς συμφωσφορούσης δίκην ἀστέρων φαεινοτάτων καὶ τὴν ὑφήλιον δᾳδουχούντων ἐν τοῖς παροῦσι καιροῖς θαυμασίας τῶν αὐθεντῶν συγγενικῆς ξυνωρίδος· ὧν ὁ μὲν αὐτάδελφος Γρηγόριος βοεβόδας τὰ Δακῶν, ὁ δὲ ἐξάδελφος Κωνσταντῖνος βοεβόδας τὰ Μοισῶν χριστιανικώτατα καὶ φιλανθρωπότατα διέπουσι σκῆπτρα, καὶ ὧν τὸ κλέος ἀφ' ἡλίου ἀνίσχοντος ἄχρι καὶ δυομένου διαπεφοίτηκεν ἐπ' εὐσεβείᾳ καὶ χρηστότητι καὶ ἀρίστῃ μετὰ συνέσεως τῶν ὧν παρὰ Θεοῦ ἐπιτέτραφθον ἄμφω ἡγεμονιῶν διοικήσει.

5. Οὕτως οὖν ἐπὶ προγόνων καὶ συγγενῶν εὐγενείᾳ σεμνυνομένη ἡ αὐτοῦ ἐκλαμπρότης οὔκουν ἀρκοῦντα ἑαυτῇ ἡγήσατο τοῦτο κόσμον, ἀλλὰ τοῖς ἐκ προαιρέσεως ἀρετῆς ὡς οἷόν τε ἑαυτὸν κατεκόσμησε καὶ ἐρρύθμισε καὶ τὸ εὐγενὲς τῆς ψυχῆς διαφερόντως τετίμηκε νοὸς τελειότητι, ἐπιστημῶν ἀναλήψει, ἠθῶν κοσμιότητι, πράξεων ἐπαινουμένων ἀσκήσει, διαλέκτων πολλῶν εἰδήσει. Καὶ ἐπανθεῖ μὲν οὖν τῇ αὐτοῦ ἐκλαμπρότητι προηγουμένως ἡ εὐσέβεια, συμπαρομαρτεῖ δὲ καὶ πᾶς ὁ τῶν λοιπῶν ἐμφύτων τε καὶ ἐπικτήτων ἀρετῶν θίασος ὡς ἐν λειμῶνι εὐανθεστάτῳ τε καὶ πολυανθεστάτῳ· σημεῖον δὲ ἡ περὶ τὸ ὁμογενὲς συμπάθεια καὶ τὸ πρὸς τοὺς δεομένους φιλάνθρωπον, ὁ περὶ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν θερμότατος ζῆλος, δι' ὃν ταῖς συμπιπτούσαις ἑκάστοτε περιστάσεσι ταύτῃ τε τῇ κοινῇ μητρὶ καὶ τοῖς ἐν αὐτῇ προϊσταμένοις καὶ ὅλως τῷ ἱερῷ τῶν ἀρχιερέων συλλόγῳ κηδεμονικῶς λίαν συνηγορεῖ καὶ συντρέχει σθένει παντί. Οὐ μὴν ἀλλὰ καὶ ἰδίως ἑνὶ ἑκάστῳ τῶν ἐκ τοῦ λοιποῦ τῆς πολιτείας συστήματος οὐ παύεται συνεισφέρουσα τὰς ἐν ταῖς χρείαις ἐπικουρίας καὶ προστασίας καὶ δεφενδεύσεις, κοινὸς λιμὴν προβεβλημένη τοῖς οἱᾳδήτινι περιστάσει συνεχομένοις· ὧν ἕνεκα πλεονεκτημάτων δικαίως τὸ θεῖον αὐτῇ ἀμειβόμενον ἐν μὲν τῷ ἐκκλησιαστικῷ κλήρῳ τῷ τοῦ μεγάλου λογοθέτου κλήρῳ τετίμηκεν, ἐν δὲ τῷ βασιλικῷ κράτει ἐπὶ τὸ τοῦ γενικοῦ κατ' ἀξίαν ἀνήχθη ἀξίωμα καὶ ἐπὶ

[1]) Ἴδε Corpus paroem. τ. 2, σ. 3.

www.dacoromanica.ro

τῆς βασιλικῆς στοᾶς μετὰ συνέσεως καὶ εὐφραδείας εὐφυῶς χρηματίζει τῷ ἄνακτι ὑπὸ πάντων ἐπὶ τούτῳ θαυμαζομένη.

6. Ἀλλ' ἐνταῦθα γενομένοις τοῦ λόγου θαυμάζειν ἔπεισι καὶ ἐκπλήττεσθαι τὰς ἐν τούτῳ τῷ λειτουργήματι ἀτρύτους διαπονήσεις αὐτῆς, τὰς συννοίας, τὰς μεμεριμνημένας φροντίδας, τὰς μεταφράσεις, τὰς ἀγρυπνίας, τὰς ἐν τοῖς ἀρχείοις εἰσόδους τε καὶ ἐξόδους, τὰς περὶ τὰς ἐντεύξεις τῶν πρέσβεων διαμοχθήσεις καὶ διασμιλεύσεις, τὸ πρὸς τοσαῦτα καὶ τηλικαῦτα δυσχερῆ καὶ ἐπίπονα διαρκὲς καὶ ἀκαταγώνιστον τῆς γενναίας τῳόντι καὶ ἀδαμαντίνης ψυχῆς αὐτῆς, κἀπὶ τούτοις τὰς βασιλικὰς ἐκστρατείας, αἷς ἀνάγκη συνεκστρατεύειν τὴν αὐτοῦ ἐκλαμπρότητα· τοὺς ἐκεῖσε παρομαρτοῦντας ἐναυλίους κινδύνους, ὧν τὴν ἐπὶ λεπτοῦ ἀφήγησιν καὶ ἄκων διὰ τὸ πλῆθος παρίημι εἰς συντομίαν ὑπὸ τοῦ καιροῦ συνωθούμενος. Ἑνὶ δὲ τούτῳ ἐπισφραγίζω τὸν λόγον, ὅτι τῷ περιόντι τῆς φρονήσεως καὶ μεγαλονοίας καὶ τῷ ὑπερφέροντι τῆς συνέσεως κἀν ταῖς γενομέναις τῶν βασιλειῶν συνθήκαις τε καὶ σπονδαῖς εὐφυῶς ὡς οἷόν τε καὶ σὺν ἀκεραιότητι γνώμης τῷ ἄνακτι διετέλει καθυπουργοῦσα, ᾧ παρὰ Θεοῦ διακονεῖν ἐτάχθη· καὶ τὸ πρόθυμον καὶ εὐθὲς καὶ μεμεστωμένον τοῦ νοὸς ἐν τῷ ὑποβάλλειν τὰ συνοίσοντα ἔργοις ἐπιδειξαμένη καὶ κοινωνὸς τῶν ἀποῤῥήτων τοῦ βασιλικοῦ κράτους ἀξιοπιστότατος καὶ ἐχέγγυος ἀναφανεῖσα ἆθλον ἀρετῆς καὶ τῶν γενναίων φιλοπονημάτων γέρας ἐπάξιον τὴν τῆς ἡγεμονίας τιμὴν παρὰ τοῦ κρατοῦντος φιλοτιμεῖται καὶ θεσπίσματι ἐπὶ βασιλικοῦ διπλώματος ἐκδοθέντι ἡγεμὼν ἐπαξίως ἀναγορεύεται καὶ κηρύσσεται καὶ τῇ λαμπρᾷ καὶ περιφανεῖ τῶν συγγενῶν ἡγεμόνων δυάδι ἐν ἰσότητι ἀξιώματος τρίτος αὐθέντης καταλέγεται καὶ ἐξονομάζεται. καὶ συνεκλάμπει τοιγαροῦν καὶ συνδοξάζεται τοῖς συγγενέσι τῶν ἡγεμόνων φιλοῦσα καὶ φιλουμένη καὶ φίλτρον ἀλλήλοις ἐμβάλλουσα καὶ συνάγουσα καὶ συνέχουσα ἐν ἀγάπῃ, οἷά που τὰ ἔναγχος περὶ τῆς μεταξὺ τῶν ἡγεμόνων κεκυρωμένης διαλλαγῆς καὶ βεβαίας εἰρήνης καὶ τῆς ἐς τοὐπιὸν ἐν τῷ ἀσφαλεῖ ὁμονοίας γενναίως καὶ μεγαλοφυῶς διαπραχθέντα ὑπὸ τῆς αὐτοῦ ἐκλαμπρότητος ἐναργῶς παριστῶσι· καὶ εἴησαν μὲν οὖν συζῶντες καὶ συνευδαιμονοῦντες τῶν ἡγεμόνων ἑκάτεροι συνάμα τῇ αὐτοῦ ἐκλαμπρότητι, καὶ τῶν θρόνων ἕκαστος καὶ τῆς ἧς ἐκληρώθη τιμῆς ἀραρότως ἐπειλημμένη καὶ ἀστεμφῶς ἡδρασμένη ἐς μῆκος βίου καὶ κύκλα ἡλίου ἀπειρίῃ συνεκλάμποντα.

7. Τοιγαροῦν, παναγιώτατοι καὶ μακαριώτατοι δεσπόται συνάμα τῇ ἱερᾷ τῶν ἀρχιερέων χορείᾳ, εὐχαῖς ὑμετέραις θεοπειθέσιν ἐπιῤῥωσθέντες χεῖρας ἱκέτιδας τῷ δοτῆρι τῶν ἀγαθῶν Θεῷ ἱκέσιον προσάγομεν δέησιν, ὅπως τοῖς μὲν νεονύμφοις ἐπιβραβεύσῃ ὑγείαν καὶ μακροβιότητα, ἕνωσιν ψυχῆς τε καὶ σώματος, συνοίκησιν ὁμότροπον, ὁμόψυχον ἀγάπην ἀδιάσπαστον ἐν πᾶσι κατὰ τὸ «Κύριος κατοικίζει μονοτρόπους ἐν τῷ οἴκῳ[1]», καρπὸν κοιλίας γόνιμον μετ' εὐτεκνίας καὶ διαδοχῆς γένους, εὐτυχίαν καὶ ἀφθονίαν ἀπὸ πάντων τῶν ἀγαθῶν ψυχῆς τε καὶ σώματος, καὶ γῆρας λιπαρὸν καὶ βαθύτατον· τῷ δὲ ἐκλαμπροτάτῳ καὶ εὐσεβεστάτῳ αὐθέντῃ, τῷ φιλοστοργοτάτῳ τῆς νεονύμφου πατρί, καὶ τῇ ἐκλαμπροτάτῃ ἀρχοντίσσῃ καὶ φιλοστοργοτάτῃ μητρὶ δῴη ἡ ἐξ ὕψους χάρις ὑγείαν καὶ εὐτυχίαν ἀνέκλειπτον μετὰ μακροβιότητος καὶ διηνεκῶς ἐπιτέρπεσθαι ἐπὶ τῇ διαδοχῇ τῶν φιλτάτων καὶ εὐφραίνεσθαι προφητικῶς καθορῶσι κύκλῳ τῆς αὐθεντικῆς αὐτῶν τραπέζης τὰ εὐγενέστατα φίλτατα καὶ υἱοὺς τῶν υἱῶν ἐν ἀδιασείστῳ εὐημερίᾳ· καὶ γένοιτο ἐκτελέσαι φαιδρῶς καὶ περιδόξως καὶ τῶν λοιπῶν φιλτάτων εὐτυχεῖς καὶ παναισίους τοὺς γάμους· συνδιαφυλάττοι καὶ τὴν ἐκλαμπροτάτην κυρίαν δόμναν Ῥοξάνδραν, τὴν φιλοστοργοτάτην μητέρα τῆς αὐτοῦ ἐκλαμπρότητος, ἐν ἄκρᾳ ὑγείᾳ εὐφραινομένην ἐπὶ τῇ τῶν φιλτάτων υἱῶν τε καὶ ἐκγόνων διαδοχῇ· περιφρουροίη δὲ καὶ πάντας τοὺς συνελθόντας ἐν τῇ λαμπρᾷ ταύτῃ καὶ περιφανεῖ εὐωχίᾳ ἐνδοξοτάτους τε καὶ εὐγενεστάτους ἄρχοντας ἐν ὑγείᾳ καὶ μακροβιότητι, δωρούμενος πᾶσι τῆς ὁμοίας ἀπολαύειν ἐν τοῖς τῶν φιλτάτων γάμοις εὐφροσύνης καὶ τέρψεως καὶ χαριζόμενος αὐτοῖς τὰ ἐφικτὰ καὶ καταθύμια.

---

[1]) Ψαλμ. ξζ', 7.

www.dacoromanica.ro

## ΚΔ'.

# ΤΑ ΛΕΙΠΟΝΤΑ ΤΗι ΕΚΔΟΣΕΙ
# ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΑΛΩΣΙΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΠΟΛΙΤΙΚΩΝ
# ΑΘΑΝΑΣΙΟΥ ΚΟΜΝΗΝΟΥ ΥΨΗΛΑΝΤΟΥ.



www.dacoromanica.ro

www.dacoromanica.ro

## ΤΑ ΛΕΙΠΟΝΤΑ ΤΗ͂Ι ΕΚΔΟΣΕΙ
## ΤΩΝ ΜΕΤΑ ΤΗΝ ΑΛΩΣΙΝ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΚΑΙ ΠΟΛΙΤΙΚΩΝ

# ΑΘΑΝΑΣΙΟΥ ΚΟΜΝΗΝΟΥ ΥΨΗΛΑΝΤΟΥ

(Προσθήκη εἰς κεφ. κ' βιβλίου ΙΙ', σελ. 124).

*Ἔτει σωτηρίῳ 1608.*

Τὸν Ἱεροσολύμων Σωφρόνιον τὸν δ' παραιτηθέντα διὰ τὸ γῆρας διεδέχθη ὁ Θεοφάνης. Ἐπὶ τούτου τοιαῦτα ἠκολούθησαν. Οἱ Φράροι ἐπὶ τῶν Τζερκέζων οὐκ ἴσχυον εἰς τὴν Ἱερουσαλήμ, καί τινες Φραντζεσκάνοι ἐλθόντες εἰς τὴν Ἱερουσαλὴμ οὐκ ἐδέχθησαν αὐτοὺς οἱ κρατοῦντες Τζερκέζοι καὶ ἐδίωκον· ἀλλ' αὐτοὶ δελεάσαντες τὸν τότε πατριάρχην Ἄραβα τῇ συνήθει αὐτῶν ὑποκρίσει παρεκίνησαν νὰ γένῃ ἐγγυητὴς ὑπὲρ αὐτῶν· ὃ καὶ ἐγένετο μὲ χοτζέτι τῆς κρίσεως μέχρι τοῦδε σῳζόμενον· ὥστε ἂν ἔλειπεν ἡ τοῦ πατριάρχου ἐκείνου φιλοξενία, δὲν ἤθελαν κατοικήσει ποτὲ εἰς τὴν Ἱερουσαλήμ. Εἰς αὐτοὺς λοιπὸν ἔδωκεν ὁ πατριάρχης κατοικίαν, ὡς μὴ ὤφελε, τὸ μοναστήριον τῆς Ἁγίας Σιών. Ἀλλὰ λαβόντες αὐτὸ παρ' αὐτῶν οἱ Σαρακηνοὶ καὶ διδασκαλεῖον ποιήσαντες, δέδωκαν οἱ Ἴβηρες τοῖς Φράτορσι δι' ἐνοικίου τὸ ἔνδον τῆς Ἱερουσαλὴμ μοναστήριον Ἰωάννου τοῦ Θεολόγου. Ἐπικρατήσαντος δὲ τοῦ σουλτὰν Σελίμη τῆς Ἱερουσαλὴμ ἔτει 1517, ἤρξαντο οἱ Φράροι ἐν πολλοῖς κακουργεῖν, χρώμενοι τῷ ἀργυρίῳ· καὶ πρῶτον μὲν ἰδιοποιήσαντο τὸ τῶν Ἰβήρων ῥηθὲν μοναστήριον· δεύτερον παρήλλαξαν τὴν ἀκρίβειαν τῶν ὀρθοδόξων ἠθῶν· τὸν γὰρ πορνεύσαντα ἱερέα, ἢ φονεύσαντα, ἢ ἄλλην ἁμαρτίαν θανάσιμον ποιήσαντα καὶ ὑπὸ τοῦ πατριάρχου ἐπιτιμηθέντα ἐδέχοντο αὐτοὶ καὶ συνεχώρουν παρ' ἐνορίαν ἐνεργοῦντες· συνεχώρουν δὲ καὶ τοῖς λαϊκοῖς τὰς τῶν νηστειῶν καταλύσεις, τὰς ἀθεμιτογαμίας, πορνείας, μοιχείας, φόνους, ἐπιβουλάς, μάχας καὶ τὰ τούτοις ὅμοια. Ὅθεν παμπληθεῖς τῶν ἐν Παλαιστίνῃ ὀρθοδόξων προσετέθησαν τῷ παπισμῷ. Τρίτον, ἐπεκράτησαν τῆς ἐν τῇ Βηθλεὲμ μεγάλης ἐκκλησίας καὶ τοῦ σπηλαίου καὶ τὸ ἥμισυ τοῦ Γολγοθᾶ ἐπὶ Σωφρονίου· ἀλλ' ὁ Θεοφάνης ἔλαβε καὶ τὸ Ἅγιον Σπήλαιον καὶ τὸν Γολγοθᾶν τῇ ἀποφάσει τοῦ κριτοῦ, καὶ διαδρὰς τὰς ἐπιβουλὰς τῶν Φράρων ἦλθεν εἰς τὴν Πόλιν· συνῆλθον καὶ οἱ Φράροι καὶ ἐκρίθησαν μετὰ τοῦ πατριάρχου εἰς τὸ Διβάνι καὶ ἔλαβεν ὁ πατριάρχης τὰ προσκυνήματα παρ' αὐτῶν μὲ χάτι-σερίφι τοῦ τότε βασιλεύοντος σουλτὰν Μουράτη ἔτει σωτηρίῳ 1633 καὶ τοῦ Χιτζρὲ 1043, ἤτοι τὴν Ἀποκαθήλωσιν, τὸν Γολγοθᾶν, τὸ Ἅγιον Σπήλαιον τῆς Βηθλεὲμ καὶ τὸν ἐν τῇ Βηθλεὲμ κῆπον, τὸν πλησίον τοῦ βήματος τῆς μεγάλης ἐκκλησίας, καὶ τὴν νότιον αὐλήν, ἐν ᾗ ἦσαν καὶ μνήματα χριστιανῶν. Τῷ δὲ ἔτει 1634 δόντες οἱ Φράροι τῷ σουλτὰν Μουράτῃ φλωρία 16 χιλιάδες καὶ τῷ βεζίρῃ γρόσια 25000 καὶ τῷ μουφτῇ καὶ ἄλλοις τὰ ἀνήκοντα λαμβάνουσι πάλιν τὰ προσκυνήματα, ἐξαπατηθέντος τοῦ βασιλέως ὑπὸ τοῦ βεζίρη. Ἀλλὰ προσκλαυθεὶς ὁ πατριάρχης Θεοφάνης τῷ καϊμακάμῃ τῆς Πόλεως Καρᾶ-Μουσταφᾶ-πασᾶ λαμβάνει ἄδειαν νὰ φανερώσῃ τῷ βασιλεῖ τὴν τοῦ βεζίρη ἀπάτην. Ὅθεν δικάζεται πάλιν ὁ κὺρ Θεοφάνης μὲ τοὺς Φράρους ἐν τῷ βασιλικῷ βήματι, ἤτοι καλαπᾶ-διβάνι, καὶ δίδονται πάλιν τοῖς Ῥωμαίοις τὰ προσκυνήματα καὶ λαμβάνει ὁ Θεοφάνης καὶ ἄλλο χάτι-σερίφι τοῦ σουλτὰν Μουράτη, βεβαιωτικὸν διὰ τὰ προσκυνήματα, καὶ ποιεῖ συνθήκην νὰ πλη-

www.dacoromanica.ro

ρώνῃ κατ' ἔτος εἰς τὸ τζαμὶ τοῦ σουλτὰν 'Αχμέτη φλωρία Βενέτικα 420. 'Εγράφη δὲ εἰς τὸ χάτ-σερίφι τὸ νὰ μὴν ἐνοχλῆται πλέον παρὰ τῶν Φράρων.

Προσέτι οἱ 'Αρμένιοι ἑτοιμάζοντο ποιῆσαι πρῶτοι τὴν τάξιν τοῦ φωτὸς ἐν τῷ Μεγάλῳ Σαββάτῳ τοῦ Πάσχα, ἵνα δράξωνται συνηθείας τοῦ ἔχειν τὰ πρωτεῖα. Καὶ δῆτα, ὄντος τοῦ σουλτὰν Μουράτη εἰς τὴν 'Αδριανούπολιν μετὰ τοῦ βεζίρη 'Ιμπραΐμ-πασᾶ, τοῦ καὶ ἐξ 'Αρμενίων, οἱ πιστοὶ τῆς Πόλεως εἰς τινας χιλιάδας συναριθμούμενοι ἔτρεξαν ἐκεῖσε, ἵνα ἀπαντήσωσι τὰ τῶν 'Αρμενίων περὶ τούτου κινήματα· ἐβοήθει δὲ τοῖς 'Αρμενίοις παρὰ τὸν βεζίρην καὶ ὁ 'Απαζά-πασας. Κριθέντος οὖν οἱ 'Ρωμαῖοι μετὰ τῶν 'Αρμενίων εἰς τὸν καζασκέρην, ἐνίκησαν οἱ 'Ρωμαῖοι τοὺς 'Αρμενίους, καίτοι ἔχοντας ἰλάμι τοῦ καδῆ τῆς 'Ιερουσαλήμ, δηλωτικὸν τοῦ ὅτι ἔχουσι δίκαιον· ἀλλ' ἐλθόντος εἰς τὴν Πόλιν τοῦ σουλτὰν Μουράτη, οἱ 'Αρμένιοι διενείμαντο τοῖς κρατοῦσι γρόσια 400 χιλιάδας καὶ ἔμελλον νικῆσαι. Μαθὼν δὲ παρὰ τοῦ ποσταντζίπασι ἐμμέσως τὰ πάντα ὁ σουλτὰν Μουράτης καὶ τὸ ὅτι ὁ 'Απαζά-πασας ἔλαβε περὶ τούτου παρὰ τῶν 'Αρμενίων ἑξήντα πουγγεῖα, καὶ εὑρὼν ταῦτα ὁ βασιλεὺς ἐν τῷ ταμείῳ αὐτοῦ διώκει τοὺς 'Αρμενίους, φονεύει αὐτῶν προεστῶτας τέσσαρας καὶ εἱρκτῇ παραδοὺς 78 'Αρμενίους ἔλαβε παρ' αὐτῶν χρήματα πολλὰ καὶ ἔδωκε τοῖς 'Ρωμαίοις χάτι-σερίφι, ἵνα ἔχωσι τὰ πρωτεῖα.

Προσέτι, γενομένης πυρκαϊᾶς ἐν τῷ Γαλατᾷ καὶ Φαναρίῳ, κατεκάησαν ἐννέα ἐκκλησίαι ἐπὶ τοῦ σουλτὰν 'Ιπραΐμη καὶ τὸ μετόχιον τοῦ 'Αγίου Τάφου τὸ ἐν τῷ Διπλοφαναρίῳ, ὅπερ ἦν ποτε οἶκος τῶν Κατακουζηνῶν τῆς Βλαχίας, ἔχον ἐν ἑαυτῷ καὶ σμικροτάτην ἐκκλησίαν. Τοῦ δὲ πατριάρχου Θεοφάνους ἀγοράσαντος αὐτὸ καὶ ποιήσαντος μετόχιον, ἐμπρησθέντος τανῦν, οἱ γουναρᾶδες ἐζήτησαν παρὰ τοῦ βεζίρη ἄδειαν τοῦ οἰκοδομῆσαι τὴν αὐτοῦ ἐκκλησίαν ὡς καὶ πρότερον· ὁ δὲ ἀπέστειλεν αὐτοὺς εἰς τὸν καζιασκέρην τῆς 'Ρούμελης, προστάξας ποιῆσαι καταγραφὴν τῆς καείσης ἐκκλησίας διὰ νὰ οἰκοδομηθῇ. Οἱ δὲ γουναρᾶδες δόντες χρήματα ἱκανὰ ἐποίησαν τὴν καταγραφὴν πολλὰ μείζονα τῆς ἀληθοῦς καὶ ἐκτίσθη ἡ ἐκκλησία πενταπλασία τῆς πρώτης. Κτισθεῖσαν δὲ τὴν ἐκκλησίαν ἐσφάλισεν ὁ Κωνσταντινουπόλεως Παρθένιος ὁ ἀπὸ 'Αδριανουπόλεως, ὁ ἐπιλεγόμενος Νέος καὶ Γολιάθ, καὶ οὐ συνεχώρει λειτουργεῖν ἐν αὐτῇ· ἀλλ' ἐπὶ συμφωνίᾳ τοῦ μὴ ἔχειν ποσῶς ἐνορίαν καὶ τελεῖν αὐτὴν ὑπὸ τῇ μικρᾷ ἐκκλησίᾳ τοῦ ἁγίου Γεωργίου, τῇ κειμένῃ ἐπὶ τῷ κάστρῳ τῆς Πύλης τοῦ Φαναρίου, ἠνέῳξε πάλιν ὁ Παρθένιος τὴν νεόκτιστον αὐτὴν ἐκκλησίαν· αὐτὴ δὲ ἡ ἐπὶ τῆς Πύλης τοῦ Φαναρίου ἐκκλησία γέγονε πολλῷ ὕστερον μεστζίτι ἐπὶ τοῦ σουλτὰν 'Αχμέτη τοῦ τρίτου καὶ ἔστι μέχρι τοῦδε μεστζίτι.

Διὰ ταῦτα ὑπέπεσε χρέει βαρυτάτῳ ὁ πατριαρχικὸς θρόνος τῆς 'Ιερουσαλήμ, καὶ τοσούτῳ, ὅπερ οὐκ ἦν δυνατὸν πληρωθῆναι. 'Ο Κωνσταντινουπόλεως Κύριλλος ὁ Λούκαρις ἐπὶ τῆς γ' αὐτοῦ πατριαρχείας ἐβοήθησε τὰ μέγιστα· διδάξας γὰρ ἔν τε τῇ Κωνσταντινουπόλει καὶ τῷ Γαλατᾷ παρεκίνησε τοὺς χριστιανοὺς σφόδρα καὶ ἐβοήθησαν ἱκανῶς τῷ 'Αγίῳ Τάφῳ. Εἶτα προσκαλεσάμενος εἰς τὸ Πατριαρχεῖον ἄρχοντας καὶ ἀρχομένους καὶ τοὺς ξένους ναυάρχους καὶ ποιήσας κατάστιχον ἤθροισε χρήματα ἱκανά. Περιῆλθε δὲ καὶ ὁ Θεοφάνης τήν τε Μακεδονίαν καὶ Θετταλίαν χάριν ἐλεημοσύνης· εἶτα ἀπῆλθε καὶ εἰς τὴν 'Ιβηρίαν καὶ ἔδωκεν ἐξουσίαν τῷ ἐπισκόπῳ Κουκατέρων νὰ ὀνομάζεται μητροπολίτης καὶ νὰ φορῇ σάκκον. 'Εφιλοδωρήσατο δὲ τῷ Θεοφάνει ὁ Τεϊμοράζης μέπες, ἤτοι βασιλεὺς τοῦ Καχετίου, καὶ ποτήριον λιθοκόλλητον 12 χιλιάδων γροσίων, ὅπερ ὁ Θεοφάνης κομίσας εἰς τὴν Κωνσταντινούπολιν καὶ ἐκ παρακινήσεως τοῦ σαϊτζῆ Σκαρλάτου δοῦναι εἰς τὸ χρέος θελήσας ἐνεχείρισε τοῖς λιθογνώμοσιν 'Εβραίοις, οἵτινες ἔκλεψαν τοὺς πολυτίμους τῶν λίθων τοῦ ποτηρίου.

Σέρβοι μοναχοὶ ὑποκείμενοι τῷ ἀρχιεπισκόπῳ Πεκίου εἶχαν κατοικήσει πρὸ πολλοῦ εἰς τὴν μονὴν τοῦ 'Αρχαγγέλου τὴν ἐν τῇ 'Ιερουσαλὴμ καὶ ἐξουσίασαν αὐτήν· καὶ παρακινούμενοι ὑπὸ τῶν δασμοφοριῶν ἐγένοντο κοινόβιοι τοῖς εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα οἰκοῦσι καὶ οὐ συνεφώνουν τῷ πατριάρχῃ τῶν 'Ιεροσολύμων, ὡς καὶ οἱ Ἴβηρες, καὶ ἔτιον τοὺς φόρους αὐτῶν χωρίς· καὶ ἐρχομένοις τοῖς προσκυνηταῖς προϋπήντουν οἱ 'Αρχαγγελοαγιοσαββῖται καὶ ἐλάμβανον αὐτοὺς εἰς τὸ μοναστήριον αὐτῶν καὶ ὁ πατριάρχης ἐζημιοῦτο. Ταλαιπωρούμενοι δὲ ὑπὸ τῶν 'Αράβων οἱ 'Αγιοσαββῖται ἔκτισαν πύργον ἀντικρὺ τοῦ μοναστηρίου αὐτῶν, καταδα-

www.dacoromanica.ro

πανήσαντες γρόσια 12 χιλιάδας. Ὅθεν ὑπόχρεοι γενόμενοι ἀμφότεροι ἐπώλησαν πᾶν εἴτι καὶ ἂν εἶχον ἐν τοῖς μοναστηρίοις αὐτῶν καὶ τέλος ἠναγκάσθησαν ὑπὸ τοῦ χρέους φυγεῖν. Ὅθεν ἠγέρθησαν οἱ Φράγγοι μὲν λαβεῖν τὴν μονὴν τοῦ ἁγίου Ἀρχαγγέλου, οἱ δὲ Ἀρμένιοι τὴν τοῦ ἁγίου Σάββα· καὶ ὁ Θεοφάνης μετὰ πολλοὺς κόπους καταβαλὼν γρόσια 54 χιλιάδων τὸ χρέος τῶν δύο μοναστηρίων τοῖς χρεωφειλέταις ἔλαβε μὲν καὶ τὰ δύο μοναστήρια, ἀλλ' ὁ χαρατζῆς καὶ οἱ ἄλλοι ἐξουσιασταὶ ἐζήτουν ἀπὸ τὸν Θεοφάνην καὶ τοὺς φόρους, ὁποῦ ἐπλήρωναν ἐκεῖνα τὰ μοναστήρια πρότερον ἐκ συνηθείας· ἥντινα συνήθειαν ἀναίρεσεν ὁ Θεοφάνης διὰ πολλῶν ὁρισμῶν· καὶ τὸ αὐτὸ πεποίηκε καὶ ὁ μετ' αὐτὸν πατριαρχεύσας Παΐσιος. Βεβαρυμένος οὖν καὶ πάλιν ὁ Θεοφάνης ὑπὸ ἀνυποίστου χρέους ἀπῆλθεν εἰς τὸν ἡγεμόνα τῆς Μολδαβίας Βασίλειον βοεβόδαν τὸν Ἀλβανίτην, ὅστις ἐπλήρωσε χρέος τοῦ Ἁγίου Τάφου 56 χιλιάδας φλωρία Οὐγκαρικά. Εἶτα διορθώσας ὁ Θεοφάνης τὸ ἐν τῇ Παλαιστίνῃ μοναστήριον τοῦ ἁγίου Σάββα, κρημνισμὸν ἐπαπειλοῦν, ὑπέπεσε πάλιν εἰς χρέος καὶ ἔστειλεν εἰς τὴν Αἴγυπτον τὰ ἱερὰ σκεύη τοῦ Ἁγίου Τάφου καὶ τὴν κορώναν αὐτοῦ ἀπεμποληθῆναι, ἐπὶ τοῦ πατριάρχου Ἀλεξανδρείας Γερασίμου τοῦ α'· ἅπερ ἰδὼν ἐν ταῖς χερσὶ τῶν Ἑβραίων ἄρχων τις τοὔνομα Σεϊδουλλὰχ καὶ λυπηθεὶς ἀπέστειλε τῷ κὺρ Θεοφάνει φλωρία 10000, ἐσφραγισμένα τῇ τοῦ Ἀλεξανδρείας Γερασίμου σφραγῖδι, καὶ ὑπεστράφησαν τὰ σκεύη καὶ ἡ κορώνα ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Ἱερουσαλὴμ καὶ ἐπληρώθη τὸ χρέος.

Πρὸ δὲ τούτων ὁ ἡγεμὼν τῆς Μολδαβίας Ῥάδουλ βόδας, ὁ ἐπιλεγόμενος Μέγας, ἐπὶ τῆς β' αὐτοῦ ἡγεμονείας εἶχεν ἀφιερώσει τῷ Ἁγίῳ Τάφῳ ἐπὶ Θεοφάνους τὸ μοναστήριον τοῦ Γαλατᾶ, κείμενον ἀντικρὺ τοῦ Γιασίου τῆς Μολδαβίας, κτισθὲν ποτε ὑπὸ τοῦ αὐθέντου τῆς Μολδαβίας Πέτρου τοῦ ζ', τοῦ ἐπιλεγομένου Τζελτζέλ, καὶ ἀφιερωθὲν τῷ Κιόδῳ. Ὁ αὐτὸς Θεοφάνης ἔλαβε διὰ τὸν Ἅγιον Τάφον καὶ τὸ μοναστήριον τοῦ ἁγίου Γεωργίου, κείμενον ἐν Βουκουρεστίῳ τῆς Βλαχίας· καὶ τὸ μὲν μετόχιον τὸ ἐν Κωνσταντινουπόλει μὲ τὴν ἐκκλησίαν καὶ μὲ τὸν ἄνωθεν κῆπον, ὡς εἴρηται, τὸν ἠγόρασεν ὁ Θεοφάνης, τὸν δὲ δυτικὸν κῆπον ἠγόρασεν ὁ διάδοχος αὐτοῦ Ἱεροσολύμων Παΐσιος, ὃν ἐπώλησεν ὕστερον ὁ κὺρ Χρύσανθος, μετὰ τὴν πυρκαϊὰν τοῦ Παλατᾶ τὴν ἐπὶ τοῦ σουλτὰν Ἀχμέτη τοῦ γ'.

Πατριαρχεύσας δὲ ὁ Θεοφάνης ἔτη 37 ἐκοιμήθη ἐν Κωνσταντινουπόλει ἔτει σωτηρίῳ 1645 καὶ ἐτάφη ἐν τῇ μονῇ τῆς Θεοτόκου τῇ ἐν τῇ νήσῳ τῆς Χάλκης. Ὁ Κωνσταντινουπόλεως Παρθένιος ὁ δεύτερος ὁ ἀπὸ Ἰωαννίνων καὶ ἀπὸ Ἀδριανουπόλεως, ὁ ἐπικληθεὶς Γολιὰθ καὶ Κεσκίνης, ἠθέλησε νὰ κάμῃ πατριάρχην Ἱεροσολύμων τὸν μητροπολίτην Βεῤῥοίας Ἰωαννίκιον· ἀλλὰ μέσον τῶν Ἱεροσολυμιτῶν, τῇ συνεργείᾳ τοῦ Βασιλείου βοεβόδα ἡγεμόνος τῆς Μολδαβίας, ἐμποδίσθη.

Τοῦ πατριάρχου Θεοφάνους τὰς πράξεις, περιηγήσεις, οἰκοδομὰς καὶ πάντα τὸν βίον ὅρα πλατυτέρως παρὰ Δοσιθέῳ ἐν τῷ περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων βιβλίῳ ια$^{ῳ}$, κεφαλαίῳ ζ$^{ῳ}$, παραγράφῳ ϛ$^{ῳ}$ τοῦ πρώτου τόμου.

Οἱ Ἰησουῖται κακίᾳ φερόμενοι κατηγόρησαν τὸν οἰκουμενικὸν πατριάρχην Κύριλλον τὸν Λούκαριν ὡς καλβινόφρονα. Οἱ Ῥῶσσοι ταῦτα ἀκούσαντες ἠρώτησαν τὸν Θεοφάνην διατρίβοντα τότε ἐν Γιασίῳ, ἔτει σωτηρίῳ 1630, εἰ ἀληθεύει ἡ κατηγορία, καὶ ὁ Θεοφάνης ἀπεκρίθη τοῖς Ῥώσσοις ἐν ιδ' κεφαλαίοις, ἀποδεικνὺς ψεῦδος καὶ συκοφαντίαν τὰ λαληθέντα καὶ ἀθῳῶν τὸν Λούκαριν.

(Προσθήκη εἰς κεφ. κζ' βιβλίου ΙΙ', εἰς σελ. 145, μετὰ τὸ «Σηλυβρίας»).

— — Προσηνέχθη δὲ τότε τὸ λείψανον ἐν Κωνσταντινουπόλει ἐκ τοῦ Βελιγραδίου τῆς Σερβίας, μετὰ τὸ ἁλωθῆναι ὑπὸ τῶν Τούρκων, καὶ κεῖται τανῦν ἐν Γιασίῳ, ἐν τῷ μοναστηρίῳ τῶν Τριῶν Ἱεραρχῶν.

## *Ἔτει σωτηρίῳ 1642.*

Γίνεται σύνοδος ἐν τῇ Κωνσταντινουπόλει ἐπὶ Παρθενίου τοῦ Γέροντος, τοῦ καὶ ἀπὸ Ἀδριανουπόλεως, κατὰ μῆνα Μάϊον καὶ ἀναθεματίζονται τὰ προῤῥηθέντα 18 κεφάλαια.

www.dacoromanica.ro

### *Ἔτει σωτηρίῳ 1645.*

### *Πατριαρχεία Παρθενίου τοῦ Νέου.*

Παρθένιος ὁ Γέρων οὐκ ἀγαπῶν τὰς μακρὰς ἀκολουθίας καὶ ἀγρυπνίας κτᾶται ἔγκλημα καθαιρέσεως διὰ τὴν ἀμέλειαν τῆς ἀκολουθίας τῆς ἐπιτεταγμένης καὶ ᾀσματικῆς λεγομένης παρὰ τοῦ Συμεὼν τοῦ Θεσσαλονίκης· ὅθεν πατριαρχεύσας ἔτη πέντε καὶ μῆνας δύο ἐξορίζεται εἰς τὴν Κύπρον Σεπτεμβρίου τῇ ιζ' καὶ ἀναβιβάζεται εἰς τὸν θρόνον ὁ ἀπὸ Ἀδριανουπόλεως Παρθένιος ὁ Νέος, Ἰωαννίτης τὴν πατρίδα, ὅστις καὶ Ὀξὺς καὶ Κεσκίνης καὶ Γολιὰθ ἐπωνομάσθη· ἐχρημάτιζε δὲ πρὸ τῆς Ἀδριανουπόλεως καὶ Ἰωαννίνων μητροπολίτης, ἀνὴρ σεμνός, ἔντιμος καὶ μεγαλοπρεπής, καὶ πατριαρχεύων τανῦν δραστήριος καὶ τυραννικὸς ἐγένετο. Ὅθεν ἐπηύξησε καὶ τὰ τῶν ἱερέων ἐμβατοίκια· καὶ πλεονέκτης μὲν ἦν, οὐκ ἔξωσε δὲ τινὰ τῶν ἀρχιερέων ζώντων τῆς αὐτοῦ ἐπαρχίας.

Παΐσιος ὁ ἡγούμενος τοῦ παρὰ τῷ Γιασίῳ μοναστηρίου Γαλατᾶ τῇ συνδρομῇ τοῦ ἡγεμόνος τῆς Μολδαβίας Βασιλείου βοεβόδα ψηφίζεται πατριάρχης Ἱεροσολύμων, καὶ ὁ Κωνσταντινουπόλεως οὗτος Παρθένιος ὁ Νέος διὰ φόβον οὐκ ἀντειπὼν ἔπεμψεν εἰς Γιάσιον ἐξάρχους τὸν Λαρίσσης καὶ ἄλλους καὶ ἐχειροτόνησαν αὐτὸν ἐν Γιασίῳ, ἔνθεον ἄνδρα ἀπὸ Δημιτζάνας καὶ αὐτὸν καὶ συγγενῶν τοῦ Θεοφάνους. Ὅρα τὰ περὶ τούτου καὶ τὰς περιηγήσεις αὐτοῦ παρὰ Δοσιθέῳ τόμῳ β' περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, βιβλίῳ ιβ', κεφαλαίῳ α', παραγράφῳ ι', καὶ κεφαλαίῳ β', παραγράφῳ α' καὶ β'.

Χειροτονηθέντος οὖν ἐν Γιασίῳ καὶ ἐλθόντος εἰς Βυζάντιον ἵνα κ<ατέλθῃ> εἰς Ἱερουσαλήμ, ὁ οἰκουμενικὸς Παρθένιος οὗτος ὁ Νέος ἐζήτει παρ' αὐτοῦ χρήματα· ἀλλ' ὁ κῦρ Παΐσιος οὐκ ἔδωκεν αὐτῷ οὐδὲ ὀβολόν. Ἐπανελθόντος δὲ τοῦ κῦρ Παϊσίου ἀπὸ τῆς Ἱερουσαλὴμ καὶ ἀπελθόντος εἰς Μοσκοβίαν χάριν ἐλέους, ἔγραψε κατ' αὐτοῦ ὁ Παρθένιος ὁ Νέος πρὸς τὸν βασιλέα Ἀλέξιον Μιχαηλοβίτζην πλάττων αἰτίας· ἀλλ' οὐδὲν ἀνύσας, παλιννοστήσαντα τὸν κῦρ Παΐσιον ἐκεῖθεν, ἵνα ἀπέλθῃ εἰς τὴν Ἱερουσαλήμ, καὶ ἐλθόντα εἰς Βυζάντιον διέβαλεν εἰς τὸν βεζίρην ὡς δῆθεν ἐπίβουλον τῆς βασιλείας· ὅστις μεταπεμψάμενος αὐτὸν καὶ γνοὺς ἄνθρωπον ὀρθόν τε καὶ δίκαιον ἀφῆκεν ἐλεύθερον, λαβὼν παρ' αὐτοῦ δώρου χάριν φλωρία 4000. Ἐπανελθόντος δὲ τοῦ Παϊσίου ἀπὸ τῆς Ἱερουσαλὴμ καὶ εἰς Βλαχοπογδανίαν ἀπελθόντος, πάλιν κατέτρεχεν αὐτὸν ὁ Παρθένιος ὁ Νέος*, προσθεὶς ἐπιβουλεύειν τῇ βασιλείᾳ τόν τε Μολδαβίας ἡγεμόνα Βασίλειον καὶ τὸν τῆς Βλαχίας ἡγεμόνα Ματαίην. Ὅθεν ἐνεργήσαντες οἱ ἡγεμόνες εἰς τὴν Πόρταν διά τε τοῦ Παυλακίου καὶ ἄλλων φίλων καὶ διὰ πολλῶν χρημάτων, διὰ νὰ παύσουν τὰ κακὰ τὰ προστεθέντα τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ τὰ τυραννικὰ καὶ βίαια ἤθη, ἀπεκτάνθη ὁ Παρθένιος, ὡς ῥηθήσεται, τῷ ἔτει 1651.

Οἱ Χαμπέσιοι, οἱ ὁμόπιστοι τοῖς ἐν τῇ Αἰγύπτῳ Κόπταις, εἶχαν λάβη παρὰ τῶν σουλι τάνων Τζερκέζων τῆς Αἰγύπτου μέρος τῆς πόρτας τοῦ Ἁγίου Τάφου, ἐν τῷ ἀνατολικῷ μέρεδηλαδὴ τῷ λεγομένῳ τοῦ Ἀβραάμ· κὰν τῇ μεγάλῃ ἐκκλησίᾳ τοῦ Ἁγίου Τάφου εἶχαν τὰς καμάρας τὰς πρὸς τὸν νότιον μέρος τοῦ Ἁγίου Κουβουκλίου καὶ ἄλλα τινά, καὶ εἶχον καὶ ἄλλας οἰκίας ἐν τῇ Ἱερουσαλήμ. Μετὰ δὲ παρέλευσιν χρόνων οἱ Ἀρμένιοι ὡς Θεοπασχῖται καλῶς ὁμιλοῦντες τοῖς Χαμπεσίοις, Ἰακωβίταις, ὡς Θεοπασχίταις καὐτοῖς, δελεάσαντες αὐτοὺς ἔλαβον παρ' αὐτῶν τὰς ἐν τῇ Βηθλεὲμ οἰκίας τῶν Χαμπεσίων καὶ ἔκτισαν αὐτὰς μείζονας καὶ ἐκυρίευσαν αὐτῶν. Δελεάσαντες δὲ καὶ τοὺς Κόπτας λειτουργοῦσιν ἐν τῇ κατὰ τὴν Βηθλεὲμ τραπέζῃ αὐτῶν· καὶ δελεάσαντες καὶ τοὺς πατριάρχας τῆς Ἱερουσαλήμ, τοὺς πρὸ τοῦ Γερμανοῦ Ἄραβας ὄντας καὶ αὐτόχθονας τῆς Παλαιστίνης, ἔλαβον τὸν Ἅγιον Ἰάκωβον μὲ ἐνοίκιον ἐτήσιον πενῆντα φλωρία, καὶ κατ' ὀλίγον κόψαντες τὸ ἐνοίκιον ἐκυρίευσαν καὶ τοῦ Ἁγίου Ἰακώβου. Εἶτα συγκοινωνήσαντες ταῖς τραπέζαις καὶ ταῖς οἰκίαις τῶν Χαμπεσίων ἐφαρμάκωσαν αὐτοὺς ἕνα πρὸς ἕνα ὡς κακότροποι καὶ φονεῖς, καὶ ἐκυρίευσαν τῶν μοναστηρίων καὶ τῶν λοιπῶν Χα-

*) Ἐν τῇ ῳᾳ' «πολλῷ ὕστερον, ἔτει δηλαδὴ σωτηρίῳ 1650, ἐπὶ τῆς δευτέρας δηλαδὴ πατριαρχείας αὐτοῦ, ἀλλ' οὐκ ἐπὶ τῆς πρώτης».

www.dacoromanica.ro

πεσιακῶν οἰκιῶν, ἐξ ὧν ἦν καὶ εἷς ἀλογόμυλος ἀντικρὺ τῆς θύρας τοῦ Πατριαρχείου. Ὁ πατριάρχης Παΐσιος ἐζήτησε παρὰ τῶν Ἀρμενίων τὸν μῦλον, διὰ νὰ ἐμποδισθῇ ἡ ἀσχημοσύνη· ἀλλ' αὐτοὶ ἐλοιδόρησαν αὐτόν. Ὅθεν ὁ πατριάρχης Παΐσιος ἐλθὼν εἰς τὴν Κωνσταντινούπολιν ἔλαβε χάτι-σερίφι ἐπὶ τοῦ σουλτὰν Ἰπραΐμη τοῦ ἀδελφοῦ τοῦ σουλτὰν Μουράτη τοῦ δ', διὰ ὅλα τὰ Χαπεσιακὰ κτήματα, καὶ ἀπελθὼν εἰς τὴν Ἱερουσαλὴμ ἔλαβεν εἰς τὴν ἐξουσίαν του πάντα, τά τε ἐν τῇ Ἱερουσαλὴμ καὶ τὰ ἐν τῇ Βηθλεέμ, καὶ τὸ μοναστήριον αὐτῶν καὶ τὰ ὅσα εἶχον ἔνδον τῆς ἐκκλησίας τοῦ Ἁγίου Τάφου, καὶ τὰς κανδήλας αὐτῶν τὰς ἐν τῷ Ἁγίῳ Κουβουκλίῳ καὶ τὰς ἐν τῇ Ἁγίᾳ Ἀποκαθηλώσει. Ἀλλὰ κακῇ τύχῃ Χουσεΐν-πασᾶ τινι γενομένῳ μετ' οὐ πολὺ ἡμεμόνι Γάζης καὶ Ἱερουσαλὴμ δόντες οἱ Ἀρμένιοι πλῆθος χρυσίου ἀνεκτήσαντο δι' αὐτοῦ, ἁρπάσαντες ἀπὸ τῶν Ῥωμαίων πάντα τὰ Χαπεσιακά· ἁρπάζουσι δὲ καὶ τὴν μίαν πόρταν τοῦ Σπηλαίου τοῦ ἐν τῇ Βηθλεέμ. Εἶτα, διὰ νὰ βεβαιωθῇ καὶ ὁρισμῷ βασιλικῷ ἡ ἁρπαγή τους, κατακρατουμένου τοῦ κὺρ Παϊσίου ὑπὸ τοῦ Χουσεΐν-πασᾶ ἐν τῇ Ἱερουσαλήμ, ἀπῆλθον εἰς τὴν Πόλιν οἱ Ἀρμένιοι τρεῖς φοραῖς, πλῆθος χρημάτων καὶ δώρων προχέοντες, τὸ πρῶτον μὲν τῷ ἔτει 1649· ἀλλ' οὐδὲν ἤνυσαν τότε, κρεμασθέντων τῶν βοηθούντων αὐτοῖς ἀγάδων διὰ τὴν τοῦ σουλτὰν Ἰπραΐμη καθαίρεσιν ὑπὸ τῶν ἀποστατῶν. Τῷ δ' αὐτῷ ἔτει βασιλεύσαντος τοῦ ἑπταετοῦς σουλτὰν Μεχμέτη τοῦ δ' καὶ γενομένου βεζίρη τοῦ ἐξ Ἀρμενίων Σουλεϊμὰν-πασᾶ ἐπὶ τῆς δευτέρας πατριαρχείας τοῦ ἀπὸ Ἡρακλείας Ἰωαννικίου, πάλιν κινοῦνται οἱ Ἀρμένιοι μὲ δόσιν πολλῶν χρημάτων εἰς τὸν βεζίρην· ὅστις μεταπέμπεται τὸν Κωνσταντινουπόλεως Ἰωαννίκιον καὶ ζητεῖ δοῦναι γνώμην· ὁ δὲ ἀπεκρίθη εἶναι τὴν ἀπόκρισιν ἔργον οὐκ αὐτοῦ, ἀλλὰ τοῦ Ἱεροσολύμων (εὖγε τῆς ἀποκρίσεως). Ὅθεν ὁ βεζίρης βοηθεῖ τοῖς Ἀρμενίοις· ἀλλ' ἐξωσθεὶς οὐκ ἔφθασε τελειῶσαι τὸ ἔργον, ὡς ἐσκοπεῖτο, ὑπὸ τῆς κατακραυγῆς τοῦ ἐν Κωνσταντινουπόλει πλήθους ἐπὶ ποσὸν ἐμποδισθείς.

Γίνεται οὖν ἄλλος βεζίρης καὶ πάλιν κινοῦνται οἱ Ἀρμένιοι ἔτει σωτηρίῳ 1653, καὶ βοηθεῖ αὐτοῖς ὁ βεζίρης καὶ σκοπεῖται νὰ κάμῃ χάτι-σερίφι διὰ βοήθειαν τῶν Ἀρμενίων· ἀλλ' οὐκ ἔφθασε τελειῶσαι αὐτό, καταβιβασθεὶς τῆς ἀρχῆς· καὶ γενομένου βεζίρη τοῦ Κιοπρουλῆ Μεχμὲτ-πασᾶ, δηλοποιοῦσιν αὐτῷ οἱ χριστιανοὶ τὰ κατὰ τοῦ Παϊσίου ἐν τῇ Ἱερουσαλήμ. Ὅθεν ὁ βεζίρης πέμψας ἀγᾶν φέρει τὸν κὺρ Παΐσιον εἰς τὴν Κωνσταντινούπολιν· καὶ ἐλθὼν ἔτει σωτηρίῳ 1656, Ἰανουαρίου ιζ', κρίνεται μετὰ τῶν Ἀρμενίων εἰς τὸ Διβάνι διὰ τὴν Ἁγίαν Βηθλεὲμ καὶ διὰ τὰ ἀφιερώματα τῶν Χαπεσίων· καὶ νικηθέντων τῶν Ἀρμενίων ἐδόθη χάτι-σερίφι τῷ Παϊσίῳ διὰ τὰ προσκυνήματα καὶ τοὺς προῤῥηθέντας τόπους· καὶ εἰς τὸ χάτι αὐτὸ ἀνεφέροντο ῥητῶς καὶ τὰ χάτι-σερίφια τοῦ χαλίφου Ὀμὲρ-ἴπνου-Χιτὰπ καὶ τοῦ σουλτὰν Σουλεϊμάνη καὶ τοῦ σουλτὰν Μουράτη καὶ τοῦ σουλτὰν Ἰπραΐμη διὰ συνεργείας τοῦ δραγομάνου τῆς Πόρτας Παναγιώτου τοῦ Νικοσίου· καὶ ἔλαβεν ὁ βεζίρης παρὰ τοῦ κὺρ Παϊσίου διὰ τὸ χάτι-σερίφι αὐτὸ πουγγεῖα τριάντα, καὶ ἀπελθὼν μουμπασίρης εἰς τὴν Ἱερουσαλὴμ ἐδίωξε τοὺς Ἀρμενίους καὶ παρεδόθησαν τοῖς Ῥωμαίοις τὰ προσκυνήματα ἔτει σωτηρίῳ 1657, Μαΐου α'. Ἀλλ' ὁ μιαρὸς Ἄνθιμος ὁ Σικοῦρτος, ἐπίτροπος τοῦ Ἁγίου Τάφου, φθόνῳ φερόμενος κατὰ τοῦ πατριάρχου Παϊσίου ἔδωκε τοῖς Ἀρμενίοις τὸν Ἅγιον Ἰωάννην, τὸν ἔξω τῆς Ἁγίας Πόρτας ὄντα, καὶ τὰς τέσσαρας καμάρας τὰς οὔσας ἐπὶ τῆς Ἁγίας Πόρτας, καὶ τὸν Ἅγιον Ἰάκωβον, καὶ ἔμειναν εἰς τοὺς Ῥωμαίους μόνα τὰ Χαπεσιακὰ τὰ προῤῥηθέντα· καὶ ταῦτα ἐτόλμησεν ὁ κακο-Ἄνθιμος διὰ τοῦ ῥηθέντος Χουσεΐν-πασᾶ, ὅστις καὶ ἐκράτει τὸν μουμπασίρην τζαούσην εἰς τὴν Ἱερουσαλὴμ καὶ οὐκ ἀφίη ἀπελθεῖν εἰς τὴν Κωνσταντινούπολιν. Μανζιλευθεὶς δὲ ὁ Χουσεΐν-πασᾶς ἀπῆλθεν εἰς τὴν Γάζαν καὶ ἐδόθη ἡ Ἱερουσαλὴμ τῷ ἡγεμόνι Δαμασκοῦ Ταγιᾶ-όγλοῦ. Ἦλθε καὶ ὁ τζαούσης εἰς τὴν Πόλιν καὶ μετὰ τοῦ Παϊσίου ἀπῆλθον εἰς τὸν βεζίρην, ὄντα εἰς τὴν ἀνακαίνισιν τῶν ἔξω φρουρίων Σηστοῦ καὶ Ἀβύδου, καὶ μηνύσας τῷ βεζίρῃ τὰ γενόμενα ὁ τζαούσης καὶ εἰπὼν ὅτι ἥρπασε παρὰ τῶν Ῥωμαίων καὶ χρήματα, ἠρωτήθη ὁ Παΐσιος παρὰ τοῦ βεζίρη, πόσα ἔλαβεν. Ἀπεκρίθη ὁ Παΐσιος «διακόσια πουγγεῖα» καὶ ἐδωρήσατο ταῦτα τῇ βασιλείᾳ. Ὅθεν ὁ βεζίρης πέμψας εἰς τὴν Γάζαν ἔλαβε τὰ ἄσπρα παρὰ τοῦ Χουσεΐν-πασᾶ, καὶ λαβὼν καὶ τὸν Ἅγιον Ἰάκωβον παρὰ τῶν Ἀρμενίων ἔδωκε τοῖς Ῥωμαίοις.

www.dacoromanica.ro

Ὁ ἡγεμὼν τῆς Βλαχίας Ματαίης ὁ Πασαράπας ἔδωκε τῷ Παϊσίῳ ἑπτὰ χιλιάδας γρόσια, διὰ νὰ ἀνακαινίσῃ τὴν στέγην τοῦ ἐν τῇ Βηθλεὲμ ναοῦ· ἀλλ' οὐδὲν ἴσχυσεν.

Ὁ καϊμακάμης ἤτοι ἀνθύπατος τῆς Πόλεως συκοφαντεῖ τὸν Παΐσιον ὡς κατασκευάσαντα κορώναν (εἶχε γὰρ κάμῃ πρὸ μικροῦ μίαν ὡς πατριάρχης), διὰ νὰ στείλῃ τῷ βασιλεῖ τῆς Μοσκοβίας, καὶ φυλακῇ παραδίδωσι σκοπῷ τοῦ χρηματολογῆσαι. Τοῦ δὲ Παϊσίου μὴ πληρώνοντος καὶ τὴν φυλακὴν ὑπομένοντος, φοβηθεὶς μήπου προσκλαυθῶσιν οἱ Ῥωμαῖοι τῷ βασιλεῖ, πέμπει τὴν κορώναν εἰς τὴν Ἀδριανούπολιν πρὸς τὸν βεζίρην Κιοπρουλῆ, συκοφαντῶν τὸν Παΐσιον ὡς τῆς βασιλείας ἐπίβουλον· ἀλλ' οἱ πατέρες ταῦτα προγνόντες ἔδραμον εἰς τὴν Ἀδριανούπολιν καὶ ἔδωκαν εἴδησιν τῶν γεγονότων τῷ Κιοπρουλῇ. Ἐλθούσης δὲ τῆς κορώνης μετὰ ταῦτα καὶ ἀποδειχθέντος ἐκ τῶν ἐπιγεγραμμένων γραμμάτων ὅτι ἐστὶ τοῦ Παϊσίου, ἐπέμφθη τῷ Παϊσίῳ νὰ τὴν φορῇ ὡς ἔθος, δοθείσης τοιαύτης ἀδείας τοῖς πατριάρχαις παρὰ τῶν Ὀθωμανῶν βασιλέων· καὶ ἐπρόσταξεν ὁ βεζίρης τὸν ἀνθύπατον ἐλευθερῶσαι τῆς φυλακῆς τὸν Παΐσιον. Εἶτα πέμψας εἰς τὸν πόλεμον τῆς Κρήτης ὁ βεζίρης τὸν ἀνθύπατον ἐκεῖσε πεφόνευκεν.

Τῷ δὲ ἔτει 1657 ἀπῆλθεν ὁ κὺρ Παΐσιος εἰς Πάνορμον, Πέργαμον, Ἀρτάκην, Μηχανιῶνα, Καλόλημνον, Συκῆν, Μουδανιὰ καὶ Κατιρλὶ χάριν ἐλεημοσύνης, κἀκεῖθεν εἰς τὴν Κωνσταντινούπολιν.

Καὶ τῷ ἔτει 1658 ἀπῆλθεν εἰς τὴν Ἰβηρίαν διὰ τοῦ Πόντου ἀπὸ τοῦ Κόνδοσι λιμένος τῆς Τζερκεζίας μέχρι τοῦ Κοὺρς λιμένος τῆς Μεγκρελίας· κἀκεῖθεν εἰς Ἰβηρίαν φθάσας χάριν ἐλεημοσύνης, μετὰ πολλὰ ἔφθασεν εἰς τὸ Νεοχώριον τὸ παρὰ τῷ Σωσθενίῳ τῆς Προποντίδος. Ἐκεῖσε ὄντι ἀφιέρωσε τῷ Παναγίῳ Τάφῳ ὁ προπάππος μου χατζῆ Νικόλαος τόπον ἀπὸ τὸ ποστάνι του, ἐν ᾧ ἦν καί τις μικρὰ ἐκκλησία ἐπ' ὀνόματι τιμωμένη τοῦ ἁγίου Γεωργίου. Ἐκτίσθησαν ὕστερον καὶ πλείω κελλία εἰς τὸν τόπον αὐτὸν διὰ τὴν ἐκκλησίαν καὶ σπίτι πατριαρχικὸν ὑπὸ τοῦ Ἱεροσολύμων Δοσιθέου. Κυριάρχης δὲ τοῦ ποστανίου κατὰ κληρονομίαν μέχρι σήμερον εἰμὶ ἐγώ.

Ὄντος δὲ τοῦ κὺρ Παϊσίου εἰς τὴν Ἰβηρίαν, ὁ Βελῆς ἡγεμὼν τῆς Ἱερουσαλὴμ ἐτυράννησε καὶ ἐζημίωσε πολλὰ καὶ τοὺς κατοικητὰς καὶ τὸν ἀποστολικόν της θρόνον· ὅθεν προσκλαυθέντες τῷ σουλτάνῳ, ὄντι τότε εἰς τὴν Προῦσαν, ἐξώσθη τῆς ἡγεμονείας ὁ Βελῆς.

Οἱ Ἀρμένιοι ἔδωκαν χρήματα πολλὰ τῷ Σουλεϊμὰν-ἀγᾷ κεχαγιᾷ τοῦ ῥεῒζ-ἐφένδη, διὰ νὰ λάβουν εἰς τὴν ἐξουσίαν τους τὸν Ἅγιον Ἰάκωβον. Συνεφώνησαν μὲ τὸν δραγομᾶνον τῆς Πόρτας Παναγιώτην Νικόσιον, ἐμπαθῶς ἔχοντα κατὰ τοῦ κὺρ Παϊσίου. Ἀνήγγειλαν τῷ βεζίρῃ οἱ Ἀρμένιοι, ὅτι πρὸ 300 χρόνων ἦσαν κυριάρχαι τοῦ Ἁγίου Ἰακώβου. Ἐρωτηθεὶς κρυφίως ὁ Παναγιώτης παρὰ τοῦ βεζίρη διὰ τὴν ἀλήθειαν ἐβεβαίωσε τὸ ψεῦδος τῶν Ἀρμενίων διὰ μνησικακίαν τὴν πρὸς τὸν Παΐσιον (εὖγε τῆς συνειδήσεως καὶ τοῦ χριστιανισμοῦ). Ὅθεν ὁ βεζίρης Κιοπρουλῆς ἔδωκε φερμάνι τοῖς Ἀρμενίοις, διὰ νὰ λάβουν εἰς τὴν ἐξουσίαν τους τὸν Ἅγιον Ἰάκωβον καὶ ἐν τῇ Βηθλεὲμ πόρταν καὶ κῆπον καὶ δύο οἴκους τῶν Χαπεσίων, καὶ κατακρατοῦσιν αὐτὰ μέχρι τῆς σήμερον.

Ὠκοδόμησεν οἴκους ἐν τῇ Ἰόππῃ ὁ Παΐσιος πρὸς κατάλυμα τῶν διὰ θαλάσσης ἐρχομένων προσκυνητῶν, οἵτινες μέχρι τοῦδε κατέλυον ἐπὶ τῆς ψάμμου συγκαιόμενοι ὑπὸ τοῦ ἡλίου καὶ ψυχραινόμενοι ὑπὸ τοῦ ψύχους τῆς νυκτός, οἵ τε Ἄραβες ἔκλεπτον τὰ πράγματα αὐτῶν· μιμηθέντες δὲ τὸν Παΐσιον ἔκτισαν ἐκεῖσε ὕστερον οἴκους οἵ τε Ἀρμένιοι καὶ οἱ Λατῖνοι.

Τοῦ ἐν Λύδδῃ ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου, ἐν ᾧ ἐστι καὶ ὁ τάφος τοῦ ἁγίου, ἔλαβόν ποτε τὸ ἥμισυ οἱ Σαρακηνοὶ καὶ ἔκαμαν μεστζίτι καὶ μεϊρεσέν· ὕστερον δὲ λαβόντες καὶ οἱ Ὀθωμανοὶ τὸ ἕτερον ἥμισυ ἔμειναν ἄνευ ἐκκλησίας οἱ χριστιανοί. Ὅθεν διὰ χρημάτων ὁ Παΐσιος ἔλαβε τὸ ἥμισυ τοῦ ναοῦ, ἤτοι τὸ ἀπὸ τῆς μέσης ἕως εἰς τὸ λῆγον πέρας τοῦ ναοῦ.

Μεταξὺ τῆς Ἱερουσαλὴμ καὶ τῆς Βηθλεὲμ κεῖται ναὸς τοῦ προφήτου Ἠλιοὺ μετὰ περιοχῆς· ἧστινος φθαρείσης ἀνενεώσατο τὸ μέρος τὸ πρὸς δυσμὰς ὁ Παΐσιος πληρεστάτῃ δαπάνῃ χρημάτων.

Ἰσοὺφ ὁ Σαλαχαδίνης λαβὼν τὴν Ἱερουσαλὴμ παρὰ τῶν Λατίνων ἔκτισε τὰ παράθυρα τοῦ ναοῦ τοῦ Ἁγίου Τάφου καὶ ἐλειτούργουν οἱ ἱερεῖς ἐν ζόφῳ· ἀλλ' ὁ Παΐσιος ἠνέωξε

www.dacoromanica.ro

τὸ τοῦ βήματος καὶ ἄλλα πολλά, καὶ γέγονε φωτεινὸς ὁ θεῖος οὗτος ναός, καὶ διωρίσθη γίγνεσθαι καὶ τὴν λειτουργίαν ὅταν ἡμεῖς θέλομεν καὶ οὐχ ὡς τὸ πρότερον ἀορίστως.

Τὸν ἐν τῷ μετοχίῳ τῷ ἐν Κωνσταντινουπόλει δυτικὸν κῆπον ἠγόρασεν ὁ κῦρ Παΐσιος.

Ἀπελθὼν εἰς τὴν Ἀδριανούπολιν καὶ ἐντυχὼν τῷ βεζίρῃ Κιουπρουλῇ καὶ δοὺς αὐτῷ σαμουρόγουναν ἔκλαιε ζητῶν τὸν Ἅγιον Ἰάκωβον· ὁ δὲ βεζίρης ἀπατηθεὶς πάλιν παρὰ τοῦ ῥεΐζ-ἐφένδῃ οὐκ ἤκουσε τοῦ πατριάρχου.

Ἀπὸ Κωνσταντινουπόλεως κατὰ μῆνα Σεπτέμβριον τοῦ ἔτους 1660 ἀπῆλθεν εἰς τὴν Κίο, Προῦσαν, Μιχαλίτζι, Πέργαμον καὶ Καλλίπολιν χάριν ἐλεημοσύνης· μικράν τε τινὰ ἀθροίσας ἦλθεν εἰς Λέσβον ἀσθενῶν ὑπὸ αἱμοῤῥοΐδων, κἀκεῖθεν εἰς Χίον· καὶ ὑπὸ τῆς λύπης οὐδὲ τῆς νόσου ἀναλαμβάνων, καίτοι χρώμενος ἰατροῖς, εἶτα ἀπῆλθεν εἰς τὴν Κῶ, Ἰουδρουμι, ἤτοι Ἁλικαρνασσόν, καὶ Ῥόδον· κἀκεῖθεν ἐπιβὰς πλοίου, ἵνα εἰς Ἀττάλειαν ἀπέλθῃ, παραλλάξας τὸ Καστελλόριζον, θνήσκει ἐν τῷ πλοίῳ ὑπὸ τῆς ἀσθενείας ἔτει σωτηρίῳ 1660, Δεκεμβρίου β', πατριαρχεύσας ἔτη 16, καὶ ἐτάφη ἀντίπερα τοῦ Καστελλορίζου, ἀλλὰ μακρὰν αὐτοῦ ὡσεὶ μίλια 10, ἐν τῇ κορυφῇ σκοπιᾶς τινος παρὰ τῇ θαλάσσῃ κειμένης.

### *Τὰ λοιπὰ τῆς πατριαρχείας Παρθενίου τοῦ Νέου, τοῦ καὶ Γολιὰθ ἐπικαλουμένου.*

### *Ἔτει σωτηρίῳ τῷ αὐτῷ 1645.*

Ἐτίμουν οἱ πατριάρχαι Κωνσταντινουπόλεως τοὺς εἰς τὴν Βασιλεύουσαν — — — —

(Προσθήκη εἰς κεφ. λα' βιβλίου ΙΙ', εἰς σελ. 160, μετὰ τὰς λέξεις «*ἀσθενεῖ εἰς τὴν Κωνσταντινούπολιν*».

— — Ἐπισκέπτεται αὐτὸν ὁ σουλτὰν Μεχμέτης ἀσθενοῦντα καὶ ἐρωτᾷ, ποῖον νὰ κάμῃ ἐπίτροπόν του· ὁ δὲ ἀπεκρίθη τὸ ὅτι δὲν ἠξεύρει ἀξιώτερον ἄλλον ἀπὸ τὸν υἱόν του. Ὅθεν καταστρέψαντος τὸν βίον τοῦ Μεχμὲτ-πασᾶ, γίνεται βεζίρης ὁ τὸ κάστρον τῆς Κρήτης πολιορκῶν υἱὸς αὐτοῦ Φαζὶλ Ἀχμὲδ-πασᾶς ὁ Κιοπρουλόγλους ὁ προῤῥηθείς, καὶ παρετάθη τὸ βεζαρέτι του ἔτη δέκα πρὸς τοῖς ἑπτά, περίφημος γενόμενος διὰ τὴν φρόνησιν, παιδείαν, σταθερότητα καὶ εὐγλωττίαν του. Πρῶτος αὐτὸς ἐν τῇ τῶν Ὀθωμανῶν βασιλείᾳ διεδέχθη τὸν πατέρα του κατὰ τὴν μεγίστην ἀξίαν τοῦ ἐπιτρόπου, καὶ μετέδωκεν αὐτὴν ὁ Κιοπρουλῆς οἱονεὶ κληρονομίαν τινὰ τῷ τε υἱῷ Ἀχμὲτ-πασᾷ καὶ μετ' ἐκεῖνον τῷ ἐγγόνῳ αὐτοῦ Μουσταφᾶ-πασᾷ.

Πυρκαϊὰ ἐν Κωνσταντινουπόλει εἰς τὸ Κοντοσκάλι, καὶ καίονται ἐκκλησίαι ἑπτὰ Κοντοσκαλίου καὶ Βλάγκας. Τὸν Ἀντιοχείας Κύριλλον τὸν δεύτερον πατριαρχεύσαντα ἔτη δύο καὶ θανόντα διεδέχθη Μακάριος ὁ τρίτος.

### *Ἔτει σωτηρίῳ 1660.*

### *Κατάστασις τῆς Ὀρθοδοξίας ἔν τισι τόποις τῆς Μικρᾶς Ἀσίας.*

Ἡ ἐν τῇ Ποντοηρακλείᾳ ἐκκλησία κατεκάη λανθανόντως ὑπὸ τοῦ ἱερέως· ὅθεν καὶ διεσκορπίσθησαν ἐκεῖθεν οἱ χριστιανοί. Ἐν τῇ Ἀμάστριδι εἰσὶ πολλαὶ ἐκκλησίαι καὶ καμπαναρία, ἀλλ' οὐδεὶς χριστιανός. Ἐν τῇ Οἰνοπόλει, ἥντινα καὶ Ἀβώνου Τεῖχος λέγει ὁ Λουκιανός, εἰσὶ πέντε χωρία ὀρθόδοξοι, ἕως ὀγδοήκοντα οἰκίας ποσούμενοι. Ἡ δὲ Στεφάνη ἡ παρὰ τῇ Σινώπῃ ὑπὸ Ῥώσσων ἠρημώθη. Ἡ Ἀμινσός, Μιλησίων κτίσμα, οὐκ ἔχει χριστιανὸν οὐδένα, οὔτε ἡ Νεοκαισάρεια, ἀλλ' ἐν μόνῃ τῇ Ἀμασείᾳ εἰσὶν ὀλιγοστοί. Τὸ Πολεμώνιον, ἄλλως Ἴνεος, περὶ οὗ μάχεται ὁ Νεοκαισαρείας μετὰ τοῦ Ἀμασείας, ἐστὶν ἀληθῶς τοῦ Νεοκαισαρείας. Ἐν τῇ Κερασοῦντι καὶ ἐν τῇ Τριπόλει τῇ παρὰ τῇ Τραπεζοῦντι εὑρίσκονται μερικοὶ χριστιανοί, ἐν δὲ τῷ τῆς Τριπόλεως κάστρῳ οὐδείς, ἀλλὰ μόνον ναὸς τῆς Θεοτόκου ἀξιόλογος, ὃν βουληθέντες σαρακηνίσαι οἱ Ὀθωμανοὶ ἐκωλύθησαν δείγμασι πασιδήλοις. Ὅθεν ἐν ἑκάστῃ Κυριακῇ εἰσερχόμενοι λειτουργοῦσιν ἐκεῖ οἱ χριστιανοὶ μέχρι τῆς σήμερον. Ἡ Τραπεζοῦς καὶ ἡ ἐν αὐτῇ ἐκκλησία τοῦ ἁγίου Βασιλείου ἐκτίσθησαν παρὰ Ἰουστινιανοῦ τοῦ Μεγάλου· μητρόπολις δὲ τοῦ Τραπεζοῦντος μετὰ τὴν ὑπὸ τῶν Ὀθωμανῶν ἅλωσιν ἦν ἡ ἐκκλησία τοῦ ἁγίου



www.dacoromanica.ro

Φιλίππου, ἔξω τῆς πόλεως κειμένη, εἰς ἣν ἐλειτούργησε καὶ ὁ Ἱεροσολύμων Παΐσιος ἀπὸ τῆς Ἰβηρίας ἐπανερχόμενος· ἥντινα τῷ ἔτει 1674 ἐσαρακήνισαν οἱ Ὀθωμανοί. Ἀπὸ Σουρμένων ἕως Γκουρίας καὶ τοῦ ποταμοῦ Τζορόχι ἐσαρακήνισαν οἱ Λαζοὶ καὶ οὐκ ἔμεινεν ἤδη οὐδεμία ἐκκλησία ἢ ἱερεὺς ἐν ὅλῃ ἐκείνῃ τῇ ἐπαρχίᾳ. Τὸ μοναστήριον τοῦ Σουμελᾶ τῆς Τραπεζοῦντος ἀπέχει ὁδὸν ἡμερῶν δύο, ἐν τοῖς ὄρεσι κείμενον ἐπὶ κρημνῶν καὶ δυσβάτων τόπων· εἰς ὃ οἱ ἀποδημοῦντες εἰσέρχονται διὰ κλίμακος. Ἔστι δὲ εἰκὼν τῆς Θεοτόκου ἐν τῷ Σουμελᾷ ὡσεὶ πηχυαία καὶ λέγεται ἱστορηθῆναι παρὰ τοῦ Λουκᾶ. Εἰσὶ τανῦν ἐν τῇ Τραπεζοῦντι ἐκκλησίαι τῶν γειτονιῶν καὶ μοναστήριον τῆς Θεοτόκου, Θεοσκέπαστος ἐπιλεγόμενον. Μεταξὺ τῶν δύο βουνῶν, ὅπου ἐστὶν ὁ ποταμὸς ὁ ἀπὸ τοῦ Σουμελᾶ καταβαίνων, τῇ τῆς Θεοτόκου βοηθείᾳ αἱ εὑρισκόμεναι κῶμαι χριστιανίζουσιν· ὁμοίως καὶ τὰ ἀπὸ τοῦ ὄρους Σουμελᾶ χωρία ἕως Κανὶν εἰσὶ χριστιανικά· ὅρος δέ ἐστι τοῦτο τὸ Κανίν. Ἔξω τῆς Θεοδοσιουπόλεως ἔν τινι ὄρει ἐστὶν ἐκκλησία μικρά· εἰσὶ δὲ ὀρθόδοξοι ἱκανοὶ ἔν τε τῇ πόλει καὶ ἐν πολλοῖς χωρίοις. Οἱ παπισταὶ ἐπαπίστησαν ἐν αὐτοῖς Ἀρμενίους τινάς.

*Ἔτει σωτηρίῳ 1661.*

Ὁ Κωνσταντινουπόλεως Παρθένιος ὁ Μογιλάλος, ὁ Βασίλειος βεβόδας παρὼν ἐν τῇ Κωνσταντινουπόλει (ἡγεμονεύοντος Μολδαβίας τοῦ υἱοῦ αὐτοῦ Στεφάνου), ὁ δραγομάνος τῆς Πόρτας Παναγιώτης ὁ Νικόσιος καὶ ἡ σύνοδος τῶν ἐνδημούντων ἀρχιερέων τε καὶ ἀρχόντων τῶν παρευρεθέντων, ψηφίζεται εἰς πατριάρχην Ἱεροσολύμων τὸν Σιναΐτην Νεκτάριον. Καὶ δῆτα πέμπουσι τὸν Φιλιππουπόλεως Γαβριήλ, ἵνα τελειώσῃ τὸ ἔργον· ὅστις φθάσας εἰς Ἰόππην ἤκουσε τὴν εἰς τὴν Γάζαν ἔλευσιν τοῦ Νεκταρίου. Θανόντος γὰρ τοῦ Σιναίου Ἰωάσαφ, προχειρισθεὶς ἐπίσκοπος ὁ Νεκτάριος ἤρχετο χειροτονηθῆναι· ἀλλὰ χειροτονεῖται πατριάρχης Ἱεροσολύμων ἔσω τοῦ Ἁγίου Τάφου τῇ Κυριακῇ τῶν Βαΐων.

Σκεπάζει κελλία τινὰ ὄντα διεφθαρμένα· ἀγοράζει τοὺς οἴκους πλησίον τοῦ Προδρόμου γρόσια 1700. Ἐλθὼν διὰ Γάζης εἰς τὸ Ῥέμλι οἰκοδομεῖ κατοικίας (μὴ οὔσας πρότερον) πρὸς κατάλυμα τῶν τοῦ θρόνου πατέρων.

Ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν ἔτει 1662 Σεπτεμβρίῳ· κἀκεῖθεν ἀπῆλθεν εἰς τὸ Γιάσιον ἔτει 1663 Σεπτεμβρίῳ· κἀκεῖθεν εἰς τὴν Βλαχίαν ἔτει 1664 Ἀπριλίῳ· εἶτα εἰς Ῥουστζοῦκι, Ῥάσγρατα, Προβάτου, Βάρναν, Τύρνοβον, Ἀδριανούπολιν, ὅπου ἦν καὶ ὁ σουλτὰν Μεχμέτης ὁ δ'· κἀκεῖθεν εἰς Βυζάντιον ἀσθενῶν ὑπὸ τοῦ κόλλικος πρὸ πολλοῦ καὶ τῆς ζωῆς ἀπεγνωσμένος· ἀλλ' ἀπελθὼν εἰς τὸ ἁγίασμα τῆς Ζωοδόχου Πηγῆς, ἁγιασμὸν ἐπιτελέσας καὶ πιὼν ἐξ αὐτοῦ ἐν ἀκαρεῖ ἀφῆκεν αὐτὸν ὁ κόλλιξ καὶ ἕως θανάτου οὐκέτι προσεπάλαισεν αὐτῷ.

Τὰ πέτρινα οἰκοδομήματα, ὧν τὸ ἕν ἐστι βιβλιοθήκη, δέδωκε τῷ Ἁγίῳ Τάφῳ ὁ πρωτογουνάριος Μανολάκης ὁ Καστοριανός, καὶ ὁ αὐτὸς διὰ προτροπῆς τοῦ πατριάρχου Νεκταρίου ἀνεκαίνισε τὴν στέγην τοῦ ναοῦ τῆς Βηθλεέμ, ἀποστείλας διὰ τοῦ Φιλοθέου μοναχοῦ εἰς Ἰόππην ξύλα 40 δεκαπεντεπηχυαῖα καὶ ὀκτοπηχυαῖα 80, καὶ σανίδας καὶ σίδηρον καὶ ἥλους, προσεπιμετρήσας καὶ τῷ πατριάρχῃ διὰ τὴν οἰκοδομὴν καὶ φλωρία 20000 καὶ σταυρὸν πολύτιμον.

Εἶτα διὰ Καλλιουπόλεως, Λέσβου, Σμύρνης, Χίου καὶ Ῥόδου ἐπανῆλθεν εἰς τὴν Ἱερουσαλὴμ ἔτει 1665 Σεπτεμβρίῳ. Ἔθετο τὰ ἅγια λείψανα ἐν θήκαις κρυσταλλίναις, δήσας ἔξωθεν ἀργυρῷ καταδέσμῳ καὶ ἐν ἑκάστῳ βαλὼν ἔξωθεν χάρτην δηλοῦντα τίνος ἁγίου ἐστὶ λείψανον· καὶ κατασκευάσας δύο ἀντίπηγας ἔβαλεν αὐτὰ ἔσω· ἔδησε δὲ μετὰ χρυσίου, ὅσον κατὰ τὰς γωνίας, καὶ τὸ εὑρισκόμενον τίμιον ξύλον ἐν τῇ Ἱερουσαλήμ· κατὰ δὲ τὸ πλάτος ἔβαλε κρύσταλλα καὶ ἐν ἑνὶ μέρει ἐποίησε θυρίδιον μετὰ κλειδός, ἵνα κλείηται καὶ πάλιν ἀνοίγηται χάριν προσκυνήσεως. Ἀνεκαίνισε τὰ κελλία καὶ τὰ τείχη τὰ σεσαθρωμένα τῆς λαύρας τοῦ ἁγίου Σάββα, καὶ ἔκτισε καὶ κελλίον μεγάλον πρὸς κατάλυμα τῶν ξένων· κἂν τῷ μοναστηρίῳ τοῦ Ἀρχαγγέλου ἔτει 1667 πολλὰ ἀνεκαίνισεν.

Δελεάσαντες οἱ Φράροι ἐν τῇ Ἱερουσαλὴμ τὸν ἐπίτροπον τοῦ πατριάρχου Λαυρέντιον ἔλαβον δολίως ἀπὸ τῶν Ῥωμαίων τὰ πρωτεῖα ἔν τε τῷ Κουβουκλίῳ τοῦ Ἁγίου Τάφου καὶ ἐν

www.dacoromanica.ro

ταῖς λιτανείαις· περὶ ὧν μεσιτεύσας ὁ ρεσιδέντες τῆς Νεμτζίας ἐποίησεν αὐτοῖς καὶ ὁρισμόν. Ὅθεν γέγονε μάχης προπαρασκευὴ μεταξὺ Ῥωμαίων καὶ Φράγκων. Ἀνῆλθεν οὖν ὁ Νεκτάριος εἰς τὴν Κωνσταντινούπολιν ἔτει 1668, πατριαρχεύοντος τοῦ οἰκουμενικοῦ πατριάρχου Μεθοδίου τοῦ ἀπὸ Ἡρακλείας, καὶ διὰ τὰς πολλάς του ἀσθενείας παρῃτήθη τοῦ θρόνου καὶ τότε συνέθετο τὸ ἐπωφελὲς καὶ ἀναγκαιότατον κατὰ Λατίνων σύνθεμα, καὶ ζήσας ἔτη τὰ πάντα, ἐν οἷς ἐπατριάρχευσεν, ἔτη μόνον ὀκτὼ μετέβη εἰς τὰς αἰωνίους μονάς.

*Ἔτει σωτηρίῳ 1662.*

## ΚΕΦΑΛΑΙΟΝ ΤΡΙΑΚΟΣΤΟΝ ΔΕΥΤΕΡΟΝ.

### *Πατριαρχεία Διονυσίου τοῦ Γ', τοῦ ἀπὸ Λαρίσσης.*

Πατριαρχεύσαντος τοῦ Παρθενίου ἔτη τέσσαρα καὶ μῆνας δύο καὶ παραίτησιν τοῦ θρόνου ποιησαμένου, λαβόντος τε αὐτοῦ τὴν Προῦσαν προεδρικῶς, ἀναβιβάζεται εἰς τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον τρίτος τῷ τοιούτῳ ὀνόματι Διονύσιος ὁ ἀπὸ τῆς νήσου Ἄνδρου καὶ μητροπολίτης Λαρίσσης, ὁ ἐπικληθεὶς Σπανός τε καὶ Πάρδαλις Ἀγρία, Ἰουνίου τῇ κθ', ἡμέρᾳ Κυριακῇ. Τοῦτον ὑπερεπαινεῖ ὁ Ἱεροσολύμων Δοσίθεος, μετὰ Τιμόθεον λέγων «οὐκ ἔχων τὸν συγκρινόμενον αὐτῷ πατριάρχην Κωνσταντινουπόλεως ἕως τῆς ὥρας ταύτης ἐπὶ φρονήσει καὶ ζωῇ ἐναρέτῳ». Καὶ τούτῳ ἀφιέρωσεν ὁ αὐτὸς Δοσίθεος τὸ βιβλίον αὐτοῦ, ᾧ ὄνομα Καταλλαγή. Διὰ προτροπῆς τοῦδε τοῦ πατριάρχου Διονυσίου ὁ πρωτογοννάριος Μανολάκης ὁ Καστοριανὸς συνεστήσατο σχολεῖα ἔν τε τῇ Κωνσταντινουπόλει καὶ Χίῳ καὶ Ἄρτῃ δι' ἰδίων ἐξόδων.

Ἰωαννίκιον τὸν ἀπὸ Βεῤῥοίας πατριαρχεύσαντα τοῦ πατριαρχικοῦ θρόνου Ἀλεξανδρείας ἔτη ἐννέα καὶ θανόντα διεδέχθη ὁ Παΐσιος, χειροτονηθεὶς ἐν τῷ λεγομένῳ Παλαιὸν Μισίρι. Αὕτη δὲ ἡ Βέῤῥοια ἔστιν ἡ ἐν τῇ Συρίᾳ τουρκιστὶ λεγομένη Χαλέπι.

*Ἔτει σωτηρίῳ 1663.*

Πυρκαϊὰ εἰς τὴν Πόλιν καὶ καίονται αἱ οἰκίαι τῶν Ἑβραίων, αἱ οὖσαι ἀπὸ τὸ Βαλιτὲ-χάνι καὶ αἱ ἀπὸ τοῦ Ζινδὰν-καπισὶ ἕως τοῦ τείχους τοῦ Βυζαντίου, καὶ ἐδιώχθησαν τοῦ λοιποῦ ἀπὸ ἐκεῖνα τὰ μέρη οἱ Ἑβραῖοι, εὐαρίθμων τινῶν οἴκων ἑβραϊκῶν σῳζομένων τανῦν μόνον εἰς τὸ Παλοὺκ-παζάρι.

Ἥνωσεν ὁ πατριάρχης τῇ μητροπόλει τοῦ Φιλίππων καὶ Δράμας τὰς δύο ἐπαρχίας τοῦ Ζιχνῶν καὶ Νευροκόπου διὰ συνόδου τοπικῆς.

*Ἔτει σωτηρίῳ 1666.*

### *Δευτέρα πατριαρχεία τοῦ αὐτοῦ Παρθενίου τοῦ ἀπὸ Προύσης, τοῦ ἐπιλεγομένου Μογιλάλου.*

Ἐπανακάμψας ἀπὸ τῆς Βλαχίας ὁ προῤῥηθεὶς πατριάρχης Παρθένιος ὁ δ', ὁ ἀπὸ Προύσης καὶ Μογιλάλος ἐπικαλούμενος, ἀναβιβάζεται τὸ δεύτερον εἰς τὸν πατριαρχικὸν οἰκουμενικὸν θρόνον κατὰ τὴν κε' τοῦ Δεκεμβρίου, ἐξώσας τὸν Διονύσιον.

Ἑβραῖός τις Κωνσταντινουπολίτης τοὔνομα Σαπετάϊ Σεβὶ μετὰ τὸν διωγμὸν τὸν μετὰ τὴν ῥηθεῖσαν πυρκαϊὰν ἐλθὼν εἰς τὴν Σμύρνην κἀκεῖθεν εἰς Γάζαν καὶ Ἱερουσαλὴμ καὶ ἐπανελθὼν εἰς τὴν Σμύρνην προσποιεῖται τὸν Μεσίαν, ὡς ἐγένετο πάλαι ποτὲ ἐν τῇ Κρήτῃ. Ἀπατᾷ τοὺς Ἑβραίους καὶ φθείρει παρθένους αὐτῶν, καὶ γίνονται ἄτοπα πολλὰ καὶ κινήματα Ἰουδαίων ἀπό τε Λεχίας, Δύσεως, Ἀφρικῆς καὶ δυτικῶν ἐπαρχιῶν τῶν ὑπὸ τοῖς Ὀθωμανοῖς. Μεταπέμπεται αὐτὸν ὁ βεζίρης ἀπὸ Καλλιουπόλεως καὶ εἱρκτῇ παραδοὺς ἐξορίζει εἰς τῆς Ἀβύδου τὸ φρούριον. Μὴ ἡσυχαζόντων δὲ τῶν Ἰουδαίων, τοῦ σουλτὰν Μεχμέτη τοῦ δ' ὄντος εἰς τὴν Ἀδριανούπολιν καὶ τοῦ βεζίρη ἀπελθόντος εἰς τὴν Κρήτην, ὁ ἀνθύπατος τῆς Κων-

www.dacoromanica.ro

σταντινουπόλεως μεταπέμπεται δέσμιον τὸν Σαπετάϊν καὶ πέμπει εἰς τὴν Ἀδριανούπολιν πρὸς τὸν σουλτᾶνον καὶ φοβηθεὶς ἐτούρκισεν. Εἶτα, μὴ παυσαμένων τῶν αὐτοῦ ἀτοπημάτων, ἐξωρίσθη εἰς τὴν Κορώνην κἀκεῖσε τὴν ψυχὴν ἐξέμεσεν. Ἀλλ' ὕστερον τῷ ἔτει 1663 νέος τις Ἑβραῖος ἐν τῇ Θεσσαλονίκῃ προσποιεῖται τὸν Μεσίαν καὶ ἐπίστευσαν αὐτῷ οἱ Ἑβραῖοι· καὶ μεταπεμφθεὶς ὑπὸ τοῦ σουλτάνου σαρακηνίζει, καὶ ἐπανελθὼν εἰς τὴν Θεσσαλονίκην εἶχον αὐτὸν οἱ Ἑβραῖοι ὡς Μεσίαν καὶ δι' αὐτοῦ ἐτούρκισαν ἔν τε τῇ Θεσσαλονίκῃ καὶ Σέῤῥαις ὑπέρμετροι Ἑβραίων καὶ χαχάμηδες ὀγδοηκονταετεῖς πλεῖστοι ὅσοι.

